ροις οὐχ αὕτη ἡ δόξα ἦν· ἀλλ' οἱ βουλόμενοι κόσμον τινὰ προσ-
εῖναι, τοῖς ὅλοις ἐξήλλαττον ἰδιώτην, καὶ κατέφευγον εἰς τὴν
ποιητικὴν φράσιν, μεταβολαῖς τε πολλαῖς χρώμενοι καὶ ὑπερβο-
λαῖς, καὶ ταῖς ἄλλαις τροπικαῖς ἰδέαις, ὀνομάτων τε γλωττημα- lxiv
τικῶν καὶ ξένων χρήσει, καὶ τῶν οὐκ εἰωθότων σχηματισμῶν τῇ
διαλλαγῇ, καὶ τῇ ἄλλῃ καινολογίᾳ καταπληττόμενοι τὸν ἰδιώτην.
δηλοῖ δὲ τοῦτο Γοργίας τε ὁ Λεοντῖνος, ἐν πολλοῖς πάνυ φορτι-
κήν τε καὶ ὑπέρογκον ποιῶν τὴν κατασκευὴν, καὶ οὐ πόῤῥω διθυ-
ράμβων ἔνια φθεγγόμενος, καὶ τῶν ἐκείνου συνουσιαστῶν οἱ περὶ
Λικύμνιόν τε καὶ Πῶλον. ἥψατο δὲ καὶ τῶν Ἀθήνησι ῥητόρων ἡ
ποιητική τε καὶ τροπικὴ φράσις, ὡς μὲν Τίμαιός φησι, Γοργίου ἄρ-
ξαντος, ἡνίκα Ἀθήναζε πρεσβεύων κατεπλήξατο τοὺς ἀκούοντας

φιλάνθρωπον καὶ πλεῖστα δυναμένην ὠφελῆσαι λαβών. ἔστι δὲ ἤδη, τίνες εἰσὶν ἀξιολογώτατοι τῶν ἀρχαίων ῥητόρων τε καὶ συγγραφέων, καὶ τίνες αὐτῶν ἐγένοντο προαιρέσεις τοῦ τε βίου καὶ τοῦ λόγου καὶ τί παρ' ἑκάστῳ δεῖ λαμβάνειν ἢ φυλάττεσθαι. Sed evenit, ut, cum hic Lysiam, ille Isæum, alius alium ex Dionysio exscriberet, divulsa hæc tabulata, ut in naufragia magna nave fatiscente, quænam aut unde essent ignorarentur. TAYLOR.

Ἁπτόμενος] Vel forte ἁπτομένοις, scil. ὀνόμασι. MARKLAND.

Ἀλλ' οἱ βουλόμενοι] Locum sic lego: ἀλλ' οἱ βουλόμενοι κόσμον τινὰ προσθεῖναι τοῖς λόγοις ἐξήλλαττον ἰδιώτην. Τοῖς λόγοις legit Sylburgius etiam ad Dionys. et Victor. ad Aristot. Rhetor. qui habet et τὸν ἰδιώτην, pariter ut Cant., Wolf. ἰδιωτικὴν, nulla necessitate. Dionys. enim in seqq. οὐκ ἐν τῷ διαλλάττειν ἰδιώτην, ἀλλ' ἐν τῷ μιμεῖσθαι, et alibi, τὴν πρὸς ἰδιώτην ἔχειν ὁμοιότητα. TAYLOR. Repete syllabam postremam vocis penultimæ, ἐξήλλαττον τὸν ἰδιώτην, scil. λόγον. sic infra: τὸν δὲ κόσμον οὐκ ἐν τῷ διαλλάττειν τὸν ἰδιώτην, ἀλλ' ἐν τῷ μιμεῖσθαι λαμβάνει. Iterum: ἡ τῆς συνθέσεως τῶν ὀνομάτων ἡδονὴ, μιμουμένη τὸν ἰδιώτην. Diog. Laertius Stilpone: ἦν δὲ ὁ Στίλπων καὶ ἀφελὴς καὶ ἀνεπίπλαστος, πρός τε τὸν ἰδιώτην εὔθετος. vide eundem in Platone, ubi λόγος dividitur in πολιτικὸν, ῥητορικὸν, ἰδιωτικὸν, etc. quem et ἰδιώτην passim appellant Scriptores: ut non opus sit Wolfii τὴν ἰδιωτικήν. MARKLAND. In ed. Roberti Stephani, Ald. et Sylburg. locus sic distinctus legitur: προσεῖναι τοῖς ὅλοις, ἐξήλλαττον ἰδιώτην. Hinc primus Sylburg. legendum censuit τοῖς λόγοις. Sed Henr. Stephanus bene locum distinxit, ut nunc legitur apud Taylorum et Heid., posito commate post ὅλοις. Ergo locus non eget emendatione τοῖς ὅλοις, i. e. διόλου, ὅλως. Sic Diogenes Laert. de Aristotele p. 177. ed. Steph. τοῖς γὰρ ὅλοις φιλοπονώτατος ἐγένετο, et apud alios, v. c. Demosthenem, sæpe sic occurrit. Cæterum scribendum est τὸν ἰδιώτην. Tantum de verbis. De re, v. Aristotel. Rhetor. III. 1. 26, 27. ἐπεὶ δ' οἱ ποιηταὶ λέγοντες εὐήθη, διὰ τὴν λέξιν ἐδόκουν ποιήσασθαι τήνδε τὴν δόξαν, διὰ τοῦτο ποιητικὴ πρώτη ἐγένετο λέξις, οἷον ἡ Γοργίου, καὶ νῦν ἔτι οἱ πολλοὶ τῶν ἀπαιδεύτων τοὺς τοιούτους οἴονται τοὺς τοιούτους διαλέγεσθαι κάλλιστα. τοῦτο δὲ οὐκ ἔστιν, ἀλλ' ἑτέρα λόγου καὶ ποιήσεως λέξις ἐστί. MATTH.

Ἥψατο δὲ — ἡ ποιητικὴ — φράσις] Pro ἥψαντο δὲ καὶ οἱ Ἀθ. ῥήτορες τῆς ποιητικῆς τε καὶ τροπικῆς φράσεως. ut paulo post, ἥψατο Ἰσοκράτης αὐτῆς. utrumque recte. IDEM.

Ἡνίκα] Dignus est hac de re locus apud Hermogenis Scholiasten p. 6. qui adscribatur, præsertim cum is in paucorum manibus versetur. Γοργίας δέ τις Λεοντῖνος (Λεοντῆ δέ ἐστι πόλις τῆς Σικελίας) μαθητεύει τῷ σιτίᾳ [lege Τισίᾳ] καὶ μετὰ τὸ μαθεῖν ὑποστρέφει οἴκαδε. εἴπωμεν δὲ καὶ πῶς ἐν Ἀθήναις ἤκμασεν ἡ ῥητορική. γενομένου πολέμου μεταξὺ Λεοντίνων καὶ ἄλλων ἐπιχωρίων, ἐδεήθησαν οἱ Λεοντῖνοι συμμαχίας ἐκ τῶν Ἀθηναίων· καὶ δὴ βουλεύονται, τίνα ὤφελον στεῖλαι ἱκανὸν πρὸς αὐτοὺς, καὶ πέμπουσι τὸν Γοργίαν πρὸς Ἀθηναίους, ὡς εἰδότα τὸ πείθειν. ἐλθόντος δὲ τοῦ Γοργίου εἰς Ἀθήνας, ἐπεδείξατο ἐκεῖ λόγον καὶ εὐδοκίμησε πάνυ, ὥστε, ἡνίκα ἐπεδείξατο λόγον ὁ Γοργίας, ἑορτὴν ἄπρακτον ἐποίουν

ἐν τῇ δημηγορίᾳ· ὡς δὲ τἀληθὲς ἔχει, ὁ καὶ παλαιότερον ἀεὶ θαυμαζόμενος Θουκυδίδης τοὔνομα, δαιμονιώτατος τῶν συγγραφέων, ἔν τε τῷ ἐπιταφίῳ καὶ ἐν ταῖς δημηγορίαις ποιητικῇ κατασκευῇ χρησάμενος, ἐν πολλοῖς ἐξήλλαξε τὴν ἑρμηνείαν εἰς ὄγκον ἅμα καὶ κόσμον ὀνομάτων ἀηθέστερον. Λυσίας δὲ τοιοῦτον οὐδὲν ἤσκησεν (ἐν γοῦν τοῖς σπουδῇ γραφομένοις δικανικοῖς καὶ συμβουλευτικοῖς λόγοις) ποιῆσαι πλὴν εἴ τι μικρὸν ἐν τοῖς πανηγυρικοῖς. περὶ γὰρ τῶν ἐπιστολικῶν αὐτοῦ καὶ ἑταιρικῶν, καὶ τῶν ἄλλων, οὓς μετὰ παιδιᾶς ἔγραψεν, οὐδὲν δέομαι λέγειν. ὁμοίως δὲ τοῖς ἰδιώταις διαλέγεσθαι δοκῶν, πλεῖστον ὅσον ἰδιώτου διαφέρει. καὶ ἐπεὶ ποιητὴς κράτιστος λόγων, λελυμένης ἐκ μέτρου λέξεως, ἰδίαν τινὰ λόγων εὑρηκὼς ἁρμονίαν, ᾗ τὰ ὀνόματα κοσμεῖ τε καὶ ἡδύνει, μηδὲν ἔχοντα ὀγκῶδες μηδὲ φορτικόν. ταύτην δευτέραν τὴν ἀρετὴν κελεύω παρὰ τοῦ ῥήτορος τούτου λαμβάνειν, εἴ τινες ἀξιοῦσι τὸν αὐτὸν ἐκείνῳ διαλέγεσθαι τρόπον. ἐγένοντο μὲν οὖν πολλοὶ τῆς προαιρέσεως ταύτης ζηλωταὶ, συγγραφεῖς τε καὶ ῥήτορες· ἔγγιστα δὲ αὐτῆς μετὰ Λυσίαν ἥψατο τῶν πρεσβυτέρων νέος ἐπασκήσας Ἰσοκράτης· καὶ οὐκ ἂν ἔχοι τις εἰπεῖν, προσωτέρω τούτων σκοπῶν, ἑτέρους ῥήτορας ἰσχὺν καὶ δύναμιν τοσαύτην ἐν ὀνόμασι κυρίοις καὶ κοινοῖς ἀποδειξαμένους.

δ΄. Τρίτην ἀρετὴν ἀποφαίνομαι περὶ τὸν ἄνδρα τὴν σαφήνειαν, οὐ μόνον τὴν ἐν τοῖς ὀνόμασιν, ἀλλὰ καὶ τὴν ἐν τοῖς πράγμασιν. ἔστι γάρ τις καὶ πραγματικὴ σαφήνεια, οὐ πολλοῖς γνώριμος. τε-

οἱ Ἀθηναῖοι, καὶ λαμπάδας τοὺς λόγους αὐτοῦ ὠνόμασαν. κατέσχον δὲ αὐτὸν ἐν Ἀθήναις, τὴν συμμαχίαν πέμψαντες ἐν τῇ Λεοντίνῃ [fort. Λεοντῇ. ἐν autem pro εἰς]. κατ' ἐκεῖνο δὲ καιρῷ [Leg. κατ' ἐκεῖνον δὲ καιρὸν] πολλοὶ τῶν Ἀθηναίων τῶν ἐπὶ φιλοσοφίᾳ διαπρεψάντων ἐάσαντες αὐτὴν τὴν φιλοσοφίαν [hæc duo vocabula τὴν φιλοσ. abundant] τὴν ῥητορικὴν ἐπαιδεύοντο. διόπερ φασὶ καὶ Πλάτωνα διαφθονοῦντα ἐπὶ τῷ τοιούτῳ [f. ἐπὶ τούτῳ] ποιῆσαι δὲ Γοργίαν, τὸν διάλογον, ἐν ᾧ πολλὰ κατατρέχει τῆς ῥητορικῆς. Idem.

Ποιῆσαι] Aut delendum hoc voc. est, aut pro ἤσκησεν paulo ante leg. φαίνεται et tum ποιήσας in participio. verum præfero priorem rationem. Reisk.

Ἐπεὶ] Partem ultimam vocis secundæ, πει, ortam puto ex sequenti syllaba ποι. Forte: καὶ ἔστι ποιητὴς κράτιστος λόγων, λελυμένης ἐκ μέτρου λέξεως ἰδίαν τινὰ εὑρηκὼς ἁρμονίαν, etc. Vix enim dubito, quin ultimum istud λόγων ex linea superiori perperam repetitum fuerit. Si Codices addicerent, libenter legerim, καὶ ἔστι πεζῶν ποιητὴς κράτιστος λόγων. Markland. Pro ἐπεὶ leg. videtur ἐστί. reliqua sana sunt. eandem sententiam repetit. Matth. Mihi videtur leg. καί ἐστι ποιητὴς κράτιστος ἐκμέτρου λέξεως. omissis illis λόγων λελυμένης. λέξις ἔκμετρος (uno vocabulo) est dictio metro exsoluta. Reisk.

Ἔχοντα] Malim ἔχουσαν. ut ad ἁρμονίαν redeat, non ad ὀνόματα. Idem.

Ἔγγιστα] Bene hoc conjungitur cum ἥψατο, melius, quam si dixisset ἄριστα. Matth.

Ἐπασκήσας] Ἐπαγμάσας Cant. Non longe a vero. In duas classes distribuit Oratores Græcos Dionysius, ut in hujus operis exordio. Ἔσονται δὲ οἱ μὲν παραλαμβανόμενοι ῥήτορες τρεῖς μὲν ἐκ τῶν πρεσβυτέρων, Λυσίας, Ἰσοκράτης, Ἰσαῖος· τρεῖς δὲ ἐκ τῶν ἐπακμασάντων τούτοις, Δημοσθένης, Ὑπερίδης, Αἰσχίνης. Lego itaque: τῶν πρεσβυτέρων νέοις ἐπακμάσας Ἰσοκράτης. Ille enim inter antiquiores natus (Olymp. sc. LXXXVI, 1. Lysiæ inter ætatem et Isæi) utrosque tam Lysiam, quam Isæum vivendo superavit, et paucis diebus post prælium ad Chæroneam commissum obiit, decimo septimo anno ante decessum Demosthenis, annos fere C. natus. Taylor. Bene habet ἐπασκήσας, verum vicina non item. Mihi leg. videtur: ἥψατο τὸ τῶν πρεσβυτέρων ἔθος ἐπασκήσας. perpoliens, emendans. Reisk.

κμαίρομαι δὲ, ὅτι τῆς μὲν Θουκυδίδου λέξεως καὶ Δημοσθένους, οἳ
δεινότατοι πράγματα ἐξειπεῖν ἐγένοντο, πολλὰ δυσείκαστά ἐστιν
ἡμῖν καὶ ἀσαφῆ καὶ δεόμενα ἐξηγητοῦ· ἡ δὲ Λυσίου λέξις ἅπασά
ἐστι φανερὰ, καὶ σαφὴς καὶ τῷ πάνυ πόῤῥω δοκοῦντι πολιτικῶν
ἀφεστάναι λόγων. καὶ εἰ μὲν δι' ἀσθένειαν δυνάμεως ἐγίνετο τὸ lxv
σαφὲς, οὐκ ἄξιον ἦν αὐτὸ ἀγαπᾷν· νῦν δὲ ὁ πλοῦτος τῶν κυρίων
ὀνομάτων, ἐκ πολλῆς αὐτῷ περιουσίας ἀποδείκνυται ταύτην τὴν
ἀρετήν. ὥςτε τὴν σαφήνειαν αὐτοῦ ζηλοῦν ἄξιον· καὶ μὴν τό γε
βραχέως ἐκφέρειν τὰ νοήματα μετὰ τοῦ σαφοῦς, χαλεποῦ τοῦ πρά-
γματος ὄντος φύσει, τοῦ συναγαγεῖν ἄμφω ταῦτα, καὶ κεράσαι με-
τρίως· ᾗ μάλιστα οὐδενὸς ἧττον τῶν ἄλλων ἀποδείκνυται Λυσίας
χρώμενος. ὥςτε οὐδὲν τοῖς διὰ χειρὸς ἔχουσι τὸν ἄνδρα οὔτε ἀκυ-
ρολογίας οὔτε ἀσαφείας δόξαν λαβεῖν. τούτου δὲ αἴτιον, ὅτι οὐ
τοῖς ὀνόμασι δουλεύει τὰ πράγματα παρ' αὐτῷ, τοῖς δὲ πράγμασιν
ἀκολουθεῖ τὰ ὀνόματα. τὸν δὲ κόσμον οὐκ ἐν τῷ διαλλάττειν τὸν
ἰδιώτην, ἀλλ' ἐν τῷ μιμεῖσθαι, λαμβάνει. Καὶ οὐκ ἐπὶ μὲν τῆς
ἑρμηνείας τοιοῦτός ἐστιν, ἐν δὲ τοῖς πράγμασιν ἄκαιρός τις καὶ

Ἅπασα] F. ἅπασιν. Ita certe Scholiastes Hermogenis p. 379. initio, qui respexit hunc locum. MATTH.

Καὶ τῷ πάνυ] Ex Demosthenis Philipp. III. ὥσπερ περίοδος, ἢ καταβολὴ πυρετοῦ, — καὶ τῷ πάνυ πόῤῥω δοκοῦντι νῦν ἀφεστάναι, προσέρχεται. MARKLAND.

Ὥστε τὴν] Locus hic in omnibus Dionysii editt. male interpungitur et male intelligitur. Tu mecum restitue: ὥστε τὴν σαφήνειαν αὐτοῦ ζηλοῦν ἄξιον, καὶ μὴν τό γε βραχέως ἐκφέρειν τὰ νοήματα μετὰ τοῦ σαφοῦς· χαλεποῦ τοῦ πράγματος ὄντος φύσει τοῦ συναγαγεῖν ἄμφω ταῦτα· (perspicuitatem sc. et brevitatem) καὶ κεράσαι μετρίως· ᾗ μάλιστα ἢ οὐδενὸς ἧττον τῶν ἄλλων ἀποδείκνυται Λυσίας χρώμενος. Ultima correctio debetur H.Stephani ingenio, quam Sylburgius assequi non potuisse videtur. TAYLOR. Tenebras huic loco offuderunt una et altera levis depravatio, et Distinctiones male positæ. Totum ita lego et distinguo: καὶ μὴν τῷ γε βραχέως ἐκφέρειν τὰ νοήματα μετὰ τοῦ σαφοῦς (χαλεποῦ τοῦ πράγματος ὄντος φύσει, τοῦ συναγαγεῖν ἄμφω ταῦτα, καὶ κεράσαι μετρίως), μάλιστα, ἢ οὐδενὸς ἧττον τῶν ἄλλων, ἀποδείκνυται Λυσίας χρώμενος. Omittas Parenthesin, et connexionem perspicies. χρώμενος τῷ ἐκφέρειν τὰ νοήματα, est χρώμενος τῇ ἐκφορῇ τῶν νοημάτων, Infinitivus pro Nomine Substantivo. μάλιστα ἢ pro ᾗ μάλιστα, Stephano debes. Legi quoque potest, ἢ μάλιστα ἢ οὐδενὸς ἧττον etc. MARKLAND. Videtur τὸ in illis καὶ μὴν τό γε βραχέως defendi posse, ut aptum ex ἄξιον ζηλοῦν. Etiam illa facultas cum brevitate perspicuitatem copulandi digna est admiratione. Deinde legi velim ᾗ [qua ex parte, aut qua de causa] μάλιστα ἢ οὐδενός γε ἧττον — Λυσίας ἐῤῥωμένος. *validus, robustus.* REISK.

Σαφοῦς] Σαφῶς præferendum censet Taylor e Cantabrig. IDEM.

Ὥστε οὐδὲν] Male me habet οὐδέν. Fort. ὥστε οὐδὲν — δόξαν παρασχεῖν. aut οὐδένα τῶν δ. χ. ἐχόντων τὸν ἄνδρα — δόξαν λαβεῖν. Cæterum ἀκυρολογίας verbum, vel ἀκυριολογίας, quod habet codex Helmstad. non rejiciendum. nam de proprietate sermonis loquitur. ἀκυρολογία etiam legitur apud Eustath. ad Dionys. p. 9. Sed κυριολογίαν habet Longin. p. 156. ed. Cel. Mori, et κυριολεξίαν Schol. Sophoclis edit. Steph. p. 40. et Eustath. l. l. p. 24. et κυριωνυμία p. 29. MATTH. Dictum quidem est præter morem, οὐδὲν λαμβάνει δόξαν, videtur tamen intelligi et ferri posse. Nullus Lysiæ locus capit suspicionem — penes eos, qui eum tractant. ἀκυρολογία recte habet; alterum, quod Helmstad. dat, analogiæ adversatur. κυριολογία recte dicitur ab adjectivo κύριος. verum ἀκυριολογία dici nequit, quia non ἀκύριος, sed ἄκυρος usurpatur. REISK.

Ἀκυρολογίας] Non est hujus loci. Neque enim *Brevitati* opponitur ἀκυρολογία, sed ἀκαιρολογία. Ita modo: οὐκ — ἐν τοῖς πράγμασιν ἄκαιρός τις καὶ μακρός· συνέστραπται δὲ, εἴ τις καὶ ἄλλος καὶ πεπύκνωται. Ἀκαιρολογίας est, τῶν οὐκ ἀναγκαίων τι λέγειν, ut mox loquitur Dionysius. TAYLOR.

Ἐν τῷ μιμεῖσθαι] Imo vero ἐν τῷ καλῶς (vel εὐσχημόνως, vel πρεπόντως) μιμεῖσθαι. REISK.

μακρός· συνέστραπται δὲ, εἴ τις καὶ ἄλλος, καὶ πεπύκνωται τοῖς νοήμασι. καὶ τοσούτου δεῖ τῶν οὐκ ἀναγκαίων τι λέγειν, ὥςτε καὶ πολλὰ τῶν χρησίμων ἂν δόξειε παραλιπεῖν. οὐ μὰ Δί᾽ ἀσθενείᾳ εὑρέσεως αὐτὸ ποιῶν, ἀλλὰ συμμετρήσει τοῦ χρόνου, πρὸς ὃν ἔδει γενέσθαι τοὺς λόγους. βραχὺς γεμὴν οὕτως, ὡς μὲν ἰδιώτῃ δηλῶσαι βουλομένῳ τὰ πράγματα, ἀποχρῶν, ὡς δὲ ῥήτορι περιουσίαν δυνάμεως ἐνδείξασθαι ζητοῦντι, οὐχ ἱκανός. μιμητέον δὲ καὶ τὴν βραχύτητα τὴν Λυσίου. μετριωτέρα γὰρ οὐκ ἂν εὑρεθείη παρ᾽ ἑτέρῳ ῥήτορι.

έ. Μετὰ ταύτας ἀρετὴν εὑρίσκω παρὰ Λυσίᾳ πάνυ θαυμαστὴν, ἧς Θεόφραστος μέν φησιν ἄρξαι Θρασύμαχον, ἐγὼ δ᾽ ἡγοῦμαι Λυσίαν. καὶ γὰρ τοῖς χρόνοις οὗτος ἐκείνου προέχειν ἔμοιγε δοκεῖ· λέγω δ᾽ ὡς ἐν ἀκμῇ κοινῇ βίου γενομένων ἀμφοῖν· καὶ, εἰ μὴ τοῦτο δοθείη, τό γέ τοι περὶ τοὺς ἀληθινοὺς ἀγῶνας ἐκείνου μᾶλλον τετρίφθαι. οὐ μέντοι διαβεβαιοῦμαί γε, ὁπότερος ἦρξε τῆς ἀρετῆς ταύτης κατὰ τὸ παρὸν, ἀλλ᾽ ὅτι Λυσίας μᾶλλον ἐν αὐτῇ διήνεγκε, τοῦτο θαῤῥῶν ἂν ἀποφηναίμην. τίς δ᾽ ἔστιν ἣν φημι ἀρετήν; ἡ συστρέφουσα τὰ νοήματα καὶ στρογγύλως ἐκφέρουσα λέξις, οἰκεία πάνυ καὶ ἀναγκαία τοῖς δικανικοῖς λόγοις, καὶ παντὶ ἀληθεῖ ἀγῶνι. ταύτην ὀλίγοι μὲν ἐμιμήσαντο, Δημοσθένης δὲ καὶ ὑπερεβάλετο· πλὴν οὐχ οὕτως εὐτελῶς, οὐδὲ ἀφελῶς, ὥςπερ Λυσίας, χρησάμενος αὐτῇ, ἀλλὰ περιέργως καὶ πικρῶς· λεγέσθω γὰρ, ὡς
lxvi ἐμοὶ φαίνεται. ὑπὲρ ὧν κατὰ τὸν οἰκεῖον διαλέξομαι καιρόν.

ϛ'. Ἔχει δὲ καὶ τὴν ἐνάργειαν πολλὴν ἡ Λυσίου λέξις. αὕτη δέ ἐστι δύναμίς τις ὑπὸ τὰς αἰσθήσεις ἄγουσα τὰ λεγόμενα. γίνεται δὲ ἐκ τῆς τῶν παρακολουθούντων λήψεως. ὁ δὲ προσέχων τὴν

Ἱκανὸς] Alii dant ἱκανῶς. quos probo. verum tum ἀποχρώντως quoque erit leg. Idem.

έ. Ἐν ἀκμῇ κοινῇ βίου] Sententia est hæc: Thrasymachi mediam ætatem cum ætate Lysiæ media si comparamus, inveniemus Lysiam vetustiorem esse, seu prius ætatem suam mediam egisse, quam Thrasymachum. Idem.

Τῷ γε τι] Recte Stephanus, τῷ γέ τοι. Τῷ τετρίφθαι, scil. προεῖχεν: quod intelligendum est ex præcedentibus. τῷ τετρίφθαι pro τῇ τριβῇ, ut paulo ante τῷ ἐκφέρειν pro τῇ ἐκφορῇ. Markland. Ego ex Helmstad. et conjectura mea vetusta protuli τό γε τοι, scil. δοθείη. hoc quidem si minus concedatur, istud certe concedetur —ἐκείνου redit ad Thrasymachum, et in τετρίφθαι subauditur τοῦτον, scil. Lysiam. Rejsk.

ϛ'. Ἐνάργειαν] In Editt. Dionysii semper ἐνέργειαν. Veram lectionem, quam in Oratorum volumine expressit Stephanus, et nos eum secuti exhibemus, quoque deprehendit olim et pluribus confirmavit Sylburgius, quem ad Dionysium vide. Eam figuram ceteri Rhetores φαντασίαν vocant, ut Longinus Sect. 15. et Quintilian. VI, 2. " Quas Græci phantasias vocant, nos sane visiones appellamus, per quas imagines rerum absentium ita repræsentantur animo, ut eas cernere oculis ac præsentes habere videamur." Idem Longin. l. 1. Ὡς δ᾽ ἕτερόν τι ἡ ῥητορικὴ φαντασία βούλεται καὶ ἕτερον ἡ παρὰ ποιηταῖς, οὐκ ἂν λάθοι σε· οὐδ᾽ ὅτι τῆς μὲν ἐν ποιήσει τέλος ἐστὶν ἔκπληξις, τῆς δ᾽ ἐν λόγοις ἐνάργεια. Taylor. Etiam apud Aristotel. Rhet. 3. 10. 14. et 3. 11. in eadem re sæpius fit mentio ἐνεργείας. Sed ἐνέργεια rerum est, ἐνάργεια orationis. Exempla idem commemorat ibidem. Latius de tota re disserit Demetrius Phalereus a §. 215. ad 227. quem consuluisse neminem pœnitebit. Matth.

Τῶν παρακολουθούντων] Demetrius Phaler. §. 224. τὰ παρεπόμενα τοῖς πράγμασιν

διάνοιαν τοῖς Λυσίου λόγοις, οὐχ οὕτως ἔσται σκαιὸς ἢ δυσάρεστος, ἢ βραδὺς τὸν νοῦν, ὃς οὐχ ὑπολήψεται τὰ δηλούμενα ὡς γινόμενα ὁρᾷν, καὶ ὥσπερ παροῦσιν οἷς ἂν ὁ ῥήτωρ εἰσάγῃ προσώποις ὁμιλεῖν. ἐπιζητήσει τε οὐθὲν εἰκὸς, τοὺς μὲν ἄνδρας αἰτοῦσα εἰ ταθείη, τοὺς δὲ διανοηθῆναι, τοὺς δὲ εἰπεῖν.

ζ'. Κράτιστος γὰρ δὴ πάντων ἐγένετο ῥητόρων φύσιν ἀνθρώπων κατοπτεῦσαι, καὶ τὰ προσήκοντα ἑκάστοις ἀποδοῦναι πάθη τε καὶ ἤθη καὶ ἔργα. Ἀποδίδωμί τε οὖν αὐτῷ καὶ τὴν εὐπρεπεστάτην ἀρετὴν, καλουμένην δὲ ὑπὸ τῶν πολλῶν ἠθοποιΐαν. ἁπλῶς γὰρ οὐδὲ εὑρεῖν δύναμαι παρὰ τῷ ῥήτορι τούτῳ πρόσωπον οὔτε ἀνηθοποίητον, οὔτε ἄψυχον. τριῶν τε ὄντων, ἐν οἷς καὶ περὶ ἃ τὴν ἀρετὴν ταύτην συμβέβηκεν εἶναι, διανοίας τε καὶ λέξεως, καὶ τρίτης τῆς συνθέσεως, ἐν ἅπασι τούτοις αὐτὸν ἀποφαίνομαι κατορθοῦν. οὐ γὰρ διανοουμένους μόνον ὑποτίθεται χρηστὰ καὶ ἐπιεικῆ καὶ μέτρια τοὺς λέγοντας, ὥστε εἰκόνας εἶναι δοκεῖν τῶν ἠθῶν τοὺς λόγους, ἀλλὰ καὶ τὴν λέξιν ἀποδίδωσι τοῖς ἤθεσιν οἰκείαν· ᾗ πέφυκεν αὐτὰ ἑαυτῶν κράτιστα δηλοῦσθαι, τὴν σαφῆ καὶ κυρίαν καὶ κοινὴν καὶ πᾶσιν ἀνθρώποις συνηθεστάτην. ὁ γὰρ ὄγκος καὶ τὸ ξένον, καὶ τὸ ἐξ ἐπιτηδεύσεως ἅπαν, ἀνηθοποίητον. καὶ συντίθησί γε αὐτὴν ἁπλῶς πάνυ καὶ ἀφελῶς· ὁρῶν, ὅτι οὐκ ἐν τῇ περιόδῳ καὶ τοῖς ῥυθμοῖς, ἀλλ' ἐν τῇ διαλελυμένῃ λέξει γίνεται τὸ ἦθος. καθόλου δὲ, ἵνα καὶ περὶ ταύτης εἴπω τῆς ἀρετῆς, οὐκ οἶδ' εἴ τις ἄλλος ῥητόρων τῶν γε τῇ ὁμοίᾳ κατασκευῇ χρησαμένων τοῦ λόγου, εἴτε ἥδιον συνέθηκεν, εἴτε πιθανώτερον. δοκεῖ μὲν γὰρ ἀποίητός τις εἶναι καὶ ἀτεχνίτευτος ὁ τῆς ἁρμονίας αὐτοῦ χαρακτήρ. καὶ

appellat, et §. 222. δεῖ τὰ γενόμενα οὐκ εὐθὺς λέγειν, ὅτι ἐγένετο, ἀλλὰ κατὰ μικρὸν, κρεμῶντα τὸν ἀκροατὴν, καὶ ἀναγκάζοντα συναγωνιᾷν. Hoc fecit Ctesias in narratione de morte Cyri, qui locus plane est egregius. IDEM.

Λήψεως] Imo vero ὑπολήψεως. et sic nullus dubito in codd. fuisse, licet Taylor aberrarit in sede indicanda. REISK.

Ἐπιζητήσει] Desperatissimum hunc locum, vix una litera mutata, ita refingo :— προσώποις ὁμιλεῖν· ἐπιζητήσειν τε οὐθὲν εἰκὸς, τοὺς μὲν ἂν δρᾶσαι, τοὺς δὲ παθεῖν ἴδῃ, τοὺς δὲ διανοηθῆναι, τοὺς δὲ εἰπεῖν. *qui vero Lysiæ orationes attente consideravit, non adeo lævus aut morosus aut hebes erit, ut non ea, quæ narrantur, tanquam facta coram cernere, et inter eas, quas induxerit orator, personas, tanquam præsentes, versari se putet: neque probabile est eum amplius aliquid requisiturum, si videat, hos quidem agere, illos vero pati; hos vero cogitare, illos autem eloqui.* Opponuntur δρᾶσαι et παθεῖν, quemadmodum διανοηθῆναι et εἰπεῖν. Magnum vero hoc Oratoris nostri Elogium. MARKLAND. Vehementer admiror et collaudo solertiam et sagacitatem ingenii Marklandiani, proboque postrema δρᾶσαι, τοὺς δὲ παθεῖν. quæ dubio vacare videntur. Verum primis in verbis adhuc adhæresco. Nihil equidem h. l. expedio, nisi hoc fortassis, ut εἰκάζων suspicer leg. esse pro εἰκός. et requiret nihil, opinans, alios agere, alios pati, alios cogitare, alios loqui. REISK.

ζ'. Κράτιστος γὰρ δὴ] Particulam γὰρ addidi ex Helmstad. IDEM.

Οὐδὲ] Οὐδὲν vult Sylburg. IDEM.

Καὶ τὸ ξένον, καὶ τὸ ἐξ ἐπιτηδ.] prima tria vocabula addidi, quibus vulgatæ carent. IDEM.

Ἁρμονίας] Lege ἑρμηνείας cum σχ. Hermog. p. 379. qui totum hunc locum citat. Adeo neglectus ille Scholiastes, et unice typis impressus, toties iteratas Dionysii editiones puritate vincit. TAYLOR. Legendum opinor ἑρμηνείας: idem quod ὁ τῆς λέξεως χαρακτὴρ, infra. MARKLAND. Male, ut videtur, h. l. Taylor vulgatæ ἁρμονίας

οὐ θαυμάσαιμ' ἂν, εἰ πᾶσι μὲν τοῖς ἰδιώταις, οὐκ ὀλίγοις δὲ καὶ τῶν φιλολόγων, ὅσοι μὴ μεγάλας ἔχουσι τριβὰς περὶ λόγους, τοιαύτην τινὰ παράσχοι δόξαν, ὅτι ἀνεπιτηδεύτως καὶ οὐ κατὰ τέχνην, αὐτομάτως δέ πως καὶ ὡς ἔτυχε σύγκειται. ἔστι δὲ παντὸς μᾶλλον ἔργου τεχνικοῦ κατεσκευασμένος. πεποίηται γὰρ αὐτῷ τοῦτο τὸ
lxvii ἀποίητον, καὶ δέδεται τὸ λελυμένον· καὶ ἐν αὐτῷ τῷ μὴ δοκεῖν δεινῶς κατεσκευάσθαι, τὸ δεινὸν ἔχει. τὴν ἀλήθειαν οὖν τις ἐπιτηδεύων, καὶ φύσεως μιμητὴς γίνεσθαι βουλόμενος, οὐκ ἂν ἁμαρτάνοι τῇ Λυσίου συνθέσει χρώμενος. ἑτέραν γὰρ οὐκ ἂν εὕροι ταύτης ἀληθεστέραν.

ή. Οἴομαι δὲ καὶ τὸ πρέπον ἔχειν τὴν Λυσίου λέξιν οὐθενὸς ἧττον τῶν ἀρχαίων ῥητόρων, κρατίστην ἁπασῶν ἀρετὴν καὶ τελειοτάτην, ὁρῶν αὐτὴν, πρός τε τὸν λέγοντα καὶ πρὸς τοὺς ἀκούοντας, καὶ πρὸς τὸ πρᾶγμα — ἐν τούτοις γὰρ δὴ καὶ πρὸς ταῦτα τὸ πρέπον — ἀρκούντως ἡρμοσμένην. καὶ γὰρ ἡλικίᾳ καὶ γένει καὶ παιδείᾳ καὶ ἐπιτηδεύματι, καὶ βίῳ, καὶ τοῖς ἄλλοις, ἐν οἷς διαφέρει προσώπων τὰ πρόσωπα· τὰς οἰκείας ἀποδίδωσι φωνάς· πρός τε τὸν ἀκροατὴν συμμετρεῖται τὰ λεγόμενα οἰκείως, οὐ τὸν αὐτὸν τρόπον δικαστῇ τε καὶ ἐκκλησιαστῇ καὶ πανηγυρίζοντι διαλεγόμενος ὄχλῳ. διαφοράς τε αὐτῷ λαμβάνει κατὰ τὰς ἰδέας τῶν πραγμάτων ἡ λέξις. ἀρχομένῳ μὲν γάρ ἐστι καθεστηκυῖα καὶ ἠθική, διηγουμένῳ δὲ, πιθανὴ καὶ ἀπερίεργος· ἀποδεικνύντι δὲ, στρογγύλη καὶ πυκνή· αὔξοντι δὲ καὶ παθαινομένῳ, σεμνὴ καὶ ἀληθινή·

præfert lectionem ἑρμηνείας. non enim de elocutione in universum disputat, sed de parte elocutionis, h. e. compositione, quod e verbis συνέθηκε, σύγκειται, κατεσκευασμένος, δέδεται, et aliis apparet. Eodem autem sensu antea dixit ἁρμονίαν et sæpissime alibi. Matth.

Πεποίηται] Hunc locum sic legit σχ. Hermog. pag. 411. πεποίηται γὰρ αὐτοῦ τὸ ἀποίητον, καὶ οὐ λέλυται τὸ λελυμένον· καὶ τὸ μὴ δοκοῦν δεινῶς κατασκευάσθαι (corrige κατεσκευάσθαι) δεινῶς ἔχει. Alibi, sc. p. 379. Καὶ ἐν αὐτῷ τὸ μὴ δοκεῖν — τὸ δεινὸν ἔχει. Hucusque in editis Dionysii, τῷ μὴ δοκεῖν. Taylor.

ή. Ἡρμοσμένη] Sylburgius legit ἡρμοσμένον, vel ἥρμοσται. Forte, ἡρμοσμένον ἂν εἴη. Markland. Addidi unam literam ν vulgari lectioni, accusativum, pro nominativo, ἡρμοσμένην, pro ἡρμοσμένη, ad mentem Matthæi, cujus hæc est ad h. l. annotatio: "Facillime restitui potest hic locus sic: οἴομαι δὲ καὶ τὸ πρέπον ἔχειν τὴν Λυσίου λέξιν οὐθενὸς ἧττον τῶν ἀρχαίων ῥητόρων, κρατίστην ἁπασῶν ἀρετὴν καὶ τελειοτάτην, ὁρῶν αὐτὴν (scil. Lysiæ dictionem) πρός τε τὸν λέγοντα, καὶ πρὸς τοὺς ἀκούοντας, καὶ πρὸς τὸ πρᾶγμα (ἐν τούτοις γὰρ δὴ καὶ πρὸς ταῦτα τὸ πρέπον), ἀρκούντως ἡρμοσμένην. Dixit autem πρὸς ταῦτα, quia præcessit πρός τε τὸν λέγοντα κ. τ. λ. Perspicuitatis causa intelligere possis ἐξετάζεται. Eodem ferme modo p. 67. 11. ἐν οἷς καὶ περὶ ἅ." Reisk.

Συμμετρεῖται] Imo vero συμμετρεῖ in activo. commensurat, scil. Lysias. Docet insequens διαλεγόμενος. adæquat Lysias verba ad modum cujusque. Aut alias mox leg. sit διαλεγομένη, scil. ἡ λέξις. quod est durum. Idem.

Δικαστῇ κ. τ. λ.] Tria genera causarum h. l. indicat. Hujus divisionis rationem reddit Aristoteles Rhetor. 1. 3. 1. seqq. Matth.

Κατὰ τὰς ἰδέας] Secundum partes orationis. Nam mox de exordio, narratione, demonstratione, et peroratione exponit. Idem.

Καθεστηκυῖα] Cicero Orat. c. 8. eandem ob rem laudat Demosthenem. Itaque hic — summissius a primo — exsultavit audacius. Ceterum ut hic dicitur λέξις καθεστηκυῖα, ita apud Galeum in Opuscul. mythol. p. 536. διάνοια. Polyb. T. II. p. 593. θάλασσα γαληνὴ καὶ καθεστηκυῖα. Philo p. 691. ed. Colon. Allobr. βλέμμα καὶ φωνὴ et p. 872. Idem.

ἀνακεφαλαιουμένῳ δὲ, διαλελυμένη καὶ σύντομος. Ληπτέον δὲ καὶ τὸ πρέπον τῆς τάξεως παρὰ Λυσίου.

θ'. Ὅτι μὲν γὰρ πιθανὴ καὶ πειστικὴ καὶ πολὺ τὸ φυσικὸν ὑποφαίνουσα, καὶ πάνθ' ὅσα τῆς τοιαύτης ἰδέας ἔχεται, πρὸς εἰδότας οὐδὲν ἴσως δεῖ λέγειν. δι' ὄχλου γὰρ ἤδη τοῦτό γε, καὶ οὐδείς ἐστιν, ὅςτις οὐχὶ καὶ πείρᾳ καὶ ἀκοῇ μαθὼν, ὁμολογεῖ πάντων ῥητόρων αὐτὸν εἶναι πιθανώτατον. ὥςτε καὶ ταύτην τὴν ἀρετὴν ληπτέον παρὰ τοῦ ῥήτορος.

ι'. Πολλὰ καὶ καλὰ λέγειν ἔχων περὶ τῆς Λυσίου λέξεως, ἣν
λαμβάνων καὶ μιμούμενος ἄν τις ἀμείνων γένοιτο τὴν ἑρμηνείαν,
τὰ μὲν ἄλλα, τοῦ χρόνου στοχαζόμενος, ἐάσω· μίαν δὲ ἀρετὴν ἔτι
τοῦ ῥήτορος ἐπιδείξομαι, κρίνας καλλίστην τε καὶ κοινοτάτην καὶ
μόνην, τὴν μάλιστα τῶν ἄλλων τὸν Λυσίου χαρακτῆρα δυναμένην
βεβαιῶσαι· ἣν ὑπερεβάλετο μὲν οὐδεὶς τῶν ὕστερον, ἐμιμήσαντο
δὲ πολλοὶ, καὶ παρ' αὐτὸ τοῦτο κρείσσους ἑτέρων ἔδοξαν εἶναι, τὴν
ἄλλην δύναμιν οὐδὲν διαφέροντες· ὑπὲρ ὧν, ἂν ἐγχωρῇ, κατὰ τὸν
οἰκεῖον διαλέξομαι τόπον. τίς δέ ἐστιν ἥδε ἀρετὴ, ἥτις πᾶσιν ἐπαν- lxviii
θοῦσα τοῖς ὀνόμασι; καὶ τίς ἡ χάρις· πρᾶγμα παντὸς κρεῖττον

Διαλελυμένη] Eandem ob causam Aristoteles Rhetor. 3. 19. 6. laudat hæc. εἴρηκα. ἀκηκόατε. ἔχετε. κρίνατε. Et similia habet Lysias in exitu or. contra Eratosthenem. Idem.

Ληπτέον δὲ] Cum conjecit Wolf. οὖν, vidit aliquid necessarium. Pressius cum MSS. δή. Mox pro τάξεως legerem λέξεως, pariter ut paragraphum exorditur Auctor. Οἴομαι δὲ καὶ τὸ πρέπον ἔχειν τὴν Λυσίου λέξιν. Nihil enim hic agitur de *dispositione* Orationis. Taylor.

Τάξεως] Conjectura Taylori, præferentis verbum λέξεως, quod et mihi in mentem venerat, multis argumentis firmari potest. Nam δὴ indicat conclusionem. Disputaverat autem de decoro elocutionis. Deinde τάξις refertur ad τὴν πραγματικὴν θεωρίαν. In hac autem parte loquitur de virtutibus λεκτικαῖς. Porro infra, ubi est conclusio totius loci, ita colligit: τὸ τοῖς ὑποκειμένοις προσώποις καὶ πράγμασι τοὺς πρέποντας ἐφαρμόττων λόγους. Hic nihil de τάξει. Præterea in dispositione fere non spectatur decorum, sed subtilitas et utilitas. Denique verbum πιθανὴ, quod statim sequitur, et verba πολλὰ καὶ καλὰ λέγειν ἔχων περὶ τῆς Λυσίου λέξεως, quæ paulo post leguntur, indicant hoc loco leg. esse λέξεως. De dispositione seu τάξει disputat infra. Reisk.

θ'. Γὰρ πιθανὴ] Pro γὰρ mavult Taylor γοῦν legi. vocabula duo καὶ πειστικὸν abesse a codd. Mstis idem annotavit. Sed bene constare cum τὸ πιθανὸν posse videntur. τὸ πιθανὸν est valens ad fidem faciendam, et assensum extorquendum. τὸ πειστικὸν autem valens ad mentes movendum atque impellendum aut flectendum. Infra quoque copulantur (§. ιά.) ἡ πιθανότης καὶ τὸ πειστικὸν καὶ ἡ χάρις. Idem.

ι'. Κοινοτάτην] F. δεινοτάτην. Sylburg. Modo καὶ μόνην καὶ μάλιστα, vel τὴν μόνην καὶ μάλιστα. Taylor. Pro κοινοτάτην, Sylburg. conjicit, dubius tamen, δεινοτάτην. Forte, κυριωτάτην: ut infra, τῶν κρατίστων τε καὶ κυριωτάτων ἐκλεκτικός. Deinde lego: καὶ μόνην (vel, καὶ ἢ μόνην), ἢ μάλιστα (vel, ἢ τὴν μάλιστα) τῶν ἄλλων, τὸν etc. Sic in Libello, περὶ τῆς Δημοσθ. δεινότητος· ἢ μόνον, ἢ μάλιστα τῶν ἄλλων ἐπαινοῦμεν. Philo Judæus lib. II. de Vit. Mos. p. 449. Ed. Turneb. de LXX. Interpretibus: συντρέχοντα τοῖς πράγμασιν ὀνόματα ἐξεῦρον, ἅπερ δὴ μόνα, ἢ μάλιστα, τρανώσειν ἔμελλεν ἐμφαντικῶς τὰ δηλούμενα· ita legendum pro μόνα μάλιστα: ut p. 442. περὶ ὧν ἢ μόνον ἢ μάλιστά εἰσιν οἱ πόλεμοι. Markland. Mihi videtur καὶ ἱκανωτάτην καὶ μόνην, ἢ μάλιστα τῶν ἄλλων leg. esse. quæ vel sola, aut certe imprimis præter reliquas Lysiæ virtutes, valeat vim et indolem ejus certis documentis docere. Ita cohærebit ἱκανωτάτην cum βεβαιῶσαι. Reisk.

Ἥδε ἀρετὴ] Τίς δέ ἐστιν ἥδε ἡ ἀρετὴ ἡ πᾶσιν. Sylburg.

Χάρις] Vox χάρις, quæ in *Quæstione* ponitur, debuit esse in Responsione. magna enim prædicat Dionysius de una quadam virtute, Lysiæ propria: et Lectorem tenet

λόγου καὶ θαυμασιώτατον. ῥᾷστον μὲν γάρ ἐστιν ὀφθῆναι· καὶ παντὶ ὁμοίως ἰδιώτῃ τε καὶ τεχνίτῃ φανερὸν, χαλεπώτατον δὲ λόγῳ δηλωθῆναι, καὶ οὐδὲ τοῖς κράτιστα εἰπεῖν δυναμένοις εὔπορον. Ὥστε εἴ τις ἀξιοίη λόγῳ διδαχθῆναι ταύτην τὴν δύναμιν, ἥτις ποτέ ἐστιν, οὐκ ἂν φθάνοι καὶ ἄλλων πολλῶν καὶ καλῶν πραγμάτων δυσεκλαλήτων ἀπαιτῶν λόγον. λέγω δὲ, ἐπὶ κάλλους μὲν σωμάτων, τί δήποτε τοῦτ' ἐστὶν, ὃ καλοῦμεν ὥραν· ἐπὶ κινήσεως δὲ μελισμοῦ καὶ πλοκῆς φθόγγων, τί λέγεται τὸ εὐάρμοστον· ἐπὶ συμμετρίας δὲ χρόνων, τίς ἡ τάξις καὶ τί τὸ εὔρυθμον· καὶ ἐπὶ παντὸς δὲ συλλήβδην ἔργου τε καὶ πράγματος, τίς ὁ λεγόμενος καιρὸς, καὶ ποῦ τὸ μέτριον. αἰσθήσει γὰρ τούτων ἕκαστον καταλαμβάνεται, καὶ οὐ λόγῳ. ὥσθ' ὅπερ οἱ μουσικοὶ παραγγέλλουσι ποιεῖν τοῖς βουλομένοις ἀκούειν ἀκριβῶς ἁρμονίας, ὥστε μηδὲ τὴν ἐλαχίστην ἐν τοῖς διηχήμασι δίεσιν ἀγνοεῖν τὴν ἀκοὴν ἐθίζειν, καὶ

suspensum, et scire avidum et quærentem tandem, Quænam est hæc Virtus et Vis, qua Tu dicis Lysiam a ceteris omnibus Oratoribus distingui? Cui respondet, Est *Gratia* vel *Decor*; *res, quæ verbis exprimi nequit, et maxime admirabilis.* Conjicio igitur Dionysium scripsisse: *καὶ τίς αὕτη ἡ δύναμις; χάρις, πρᾶγμα παντὸς κρεῖττον λόγου*, etc. Haurio hoc ex Sensu et sequentibus, ubi ad hæc *Quærentis* verba manifesto alludit: *ὥστε εἴ τις ἀξιοίη λόγῳ διδαχθῆναι ταύτην τὴν δύναμιν ἥτις ποτέ ἐστιν*, etc. et in præcedentibus mentionem fecerat Dionysius *ἀρετῆς* cujusdam et *δυνάμεως*, quas hoc loco repetit Ille, qui Quærens inducitur. Sic et infra: *τὸ κράτιστόν* (insere *οὖν*) *ἐστι τῶν Λυσίου ἔργων* (lego *ἀρετῶν*), *καὶ τὸ χαρακτηρικώτατον τῆς δυνάμεως, ἡ κοσμοῦσά τε καὶ ἀνθίζουσα τὴν λέξιν αὐτοῦ χάρις.* Porro: pro *θαυμασιώτερον* scribendum puto *θαυμασιώτατον*. quanquam enim *κρεῖττον παντὸς λόγου* (*quæ verbis non potest exprimi*) recte dicatur; valde tamen dubito, an *θαυμασιώτερον παντὸς λόγου* dici possit, sensu salvo. Markland. Fortasse sic legendus est hic locus: *τίς δέ ἐστιν ἥδε; χάρις, ἀρετὴ πᾶσιν ἐπανθοῦσα τοῖς ὀνόμασι.* Sic enim mox orationem *σχηματίζει* in his: *καὶ τίς ἡ χάρις*; ex qua æquabilitate oritur concinnitas. Matth. Ego olim sic constituebam (nunc enim in dubio relinquam ita, ut neutri ideo accedam, neque Marklando, neque Matthæo). In v. *ἀρετὴ* desinit interrogatio. tum incipit responsio: *ἡ τοῖς πᾶσιν ἐπανθοῦσα, τοῖς τ' ὀνόμασι καὶ τοῖς ἔργοις, ἡ χάρις.* est, inquam, illa rebus ex omnibus efflorescens, easque res, unde efflorescit, commendans, sive vocabula, sive res, gratia. Reisk.

Ἄριστον] Deest in Mst. locus tamen admonet, ut pro eo reponamus *ῥᾷστον*. Taylor. Lege, *ῥᾷστον*, *facillimum*: cui statim opponitur, *χαλεπώτατον δὲ λόγῳ δηλωθῆναι*, *difficillimum vero verbis declarari.* ita enim (non *λόγον*) cum Stephano legendum. Markland. Ego locum hunc totum ita constitui: *θαυμασιώτατον. ῥᾷστον μὲν γὰρ — καὶ τεχνίτῃ*, pro vulgari hac lectione: *θαυμασιώτερον. ἄριστον μὲν γὰρ — ἢ τεχνίτῃ.* item *λόγῳ δηλωθῆναι* dedi pro *λόγον δηλ.* Reisk.

Λόγον] Quia nimis pauca dixit hac de re Dionysius, consulendus est Demetrius Phalereus §. 128. 189. qui e veteribus rhetoribus, quantum scio, omnium optime de gratia et venusta oratione exposuit, exempla etiam commemoravit, quæ in hac re plus valent, quam regulæ et præcepta. Matth.

Μελισμοῦ] *Μελῶν* Codd. Quæ, si vera lectio sit, ut veram esse suspicor, nullum hic locum habent aut Victor. aut Galeus ad Demetrium Phaler. p. 236. (non 336.) aut Iun. de pictura Vett. ad quos nos amandat Sylburg. Taylor.

Ἔργου τε καὶ πράγματος] Hoc est *πράγματός τε καὶ πράγματος*. Scribe, *λόγου τε καὶ πράγματος*. Sic infra, *ἀχθόμενος λόγοις καὶ ἔργοις*. Markland. Non idem sunt, sed diversa, *ἔργον* et *πρᾶγμα*. Illud est, quod homines efficiunt manibus agitantque consiliis et exercent opera. hoc autem potest esse, quicquid est a natura, et conditio quæcunque hominumve rerumve. Reisk.

Μέτριον] Sylburg. vult. *μέτρον*. Idem.

Ὅσπερ οἱ μουσικοὶ] Articulum e Sylburgii præcepto addidi. Proximum insequens *ὥστε* abesse malim. Idem.

Διηγήμασι] *Διηχήμασι*, *dissonantiis*, ex mente P. Victorii Var. Lect. 13. 6. monente Sylburgio. Taylor. Victorius illo

μηδὲν ἄλλο ταύτης ἀκριβέστερον ζητεῖν κριτήριον, τοῦτο κἀγὼ τοῖς ἀναγινώσκουσι τὸν Λυσίαν, καὶ τίς ἡ παρ' αὐτῷ χάρις ἐστὶ βουλομένοις μαθεῖν, ὑποθείμην ἂν ἐπιτηδεύειν χρόνῳ πολλῷ καὶ μακρᾷ τριβῇ καὶ ἀλόγῳ πάθει τὴν ἄλογον συνασκεῖν αἴσθησιν. ταύτην μέντοι κρατίστην τε ἀρετὴν καὶ χαρακτηριστικωτάτην τῆς Λυσίου λέξεως ἔγωγε πείθομαι, εἴτε φύσεως αὐτὴν δεῖ καλεῖν εὐτυχίαν, εἴτε πόνου καὶ τέχνης ἐργασίαν, εἴτε μικτὴν ἐξ ἀμφοῖν ἕξιν ἢ δύναμιν, ᾗ πάντας ὑπερέχει τοὺς λοιποὺς ῥήτορας. καὶ ὅταν διαπορῶ περί τινος τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων, καὶ μὴ ῥᾴδιον ᾖ μοι διὰ τῶν ἄλλων σημείων τἀληθὲς εὑρεῖν, ἐπὶ ταύτην καταφεύγω τὴν ἀρετὴν, ὡς ἐπὶ ψήφων ἐσχάτην. ἔπειτα ἂν μὲν αἱ χάριτες αἱ τῆς λέξεως ἐπικοσμεῖν δοκῶσί μοι τὴν γραφὴν, τῆς Λυσίου ψυχῆς αὐτὴν τίθεμαι, καὶ οὐδὲν ἔτι πορρωτέρω ταύτης σκοπεῖν ἀξιῶ· ἐὰν δὲ μηδεμίαν ἡδονὴν μηδὲ ἀφροδίτην ὁ τῆς λέ- lxix

in loco nec a se consulto ita emendatum esse docuit, nec cur ita correxerit dixit, nec interpretationem adjecit, nec hanc ob causam laudavit locum Dionysii, sed ut explicaret, quid sit ἄλογος αἴσθησις, nec denique satis diligens fuit in describendo. nam ter in hoc loco ab editis libris Dionysii discrepat. Ergo eodem jure hæc emendatio librario et Victorio tribui potest, nec ulla adest causa, cur consilio potius, quam per imprudentiam, aut quia nihil aliud ei tum in mentem veniebat, ita scriptum esse dicamus. Sylburgii porro interpretatio tota pendet ex etymologia, et ut istud vocabulum caret auctoritate, ita apud musicos dissonans consueto vocabulo ἀσύμφωνον appellatur. διηχὴ quidem et διηχοῦν commemoratur, sed utrumque alienum ab hoc loco. Denique si vel maxime διήχημα probatum esset vocabulum, notaretque dissonantiam, tamen non video, cur potissimum fiat mentio διέσεως in dissonantiis. His ita examinatis veniebat in mentem e simili loco Dionysii ed. Sylburg. p. 10. 14. et Platonis p. 479. ed. Basil. A. 1556. legere ἐν τοῖς διαστήμασιν, *in intervallis*. Quam conjecturam auctoritate et judicio veterum musicorum probari, collatis Meibomii auctoribus musicæ in his locis potissimum, intellexi. Aristoxenus enim p. 14. de intervallis hæc habet: οὔτε γὰρ ἡ φωνὴ διέσεως τῆς ἐλαχίστης ἔλαττον ἔτι διάστημα δύναται διασαφεῖν, οὔθ' ἡ ἀκοὴ διαισθάνεσθαι, ὥστε καὶ συνιέναι τί μέρος ἐστὶν εἴτε διέσεως, εἴτ' ἄλλου τινὸς τῶν γνωρίμων διαστημάτων. Hic locus plane similis est nostro. Accedit Aristides Quintilianus p. 13. τούτων δὲ τῶν διαστημάτων ἐλάχιστόν ἐστιν ὡς ἐν μελῳδίᾳ δίεσις ἐναρμόνιος, εἶθ' ὡς παχύτερον εἰπεῖν, τὸ ταύτης διπλάσιον, ἡμιτόνιον. Et Martianus Capella de Nuptiis Philol. IX. p. 179. apud eundem Meibomium: "Dico, inquit, quicquid recte sonuerit, aut tonum esse, aut hemitonium, aut quartam partem toni, quæ diesis appellatur." et p. 180. "Diesis vero interpretatio est, ut supra dixi, quarta pars toni." et Vitruv. 4, 5. "Hinc intelligitur, cur alibi ἁρμονία seu συμφωνία ἡ διὰ πασῶν (octavam dicunt nostri) quatuor et viginti diesis habere dicatur." Ex his efficitur h. l. legendum esse διαστήμασιν, et δίεσιν h. l. esse quartam seu minimam partem toni. Est ergo sensus hujus loci: Musici profitentur discipulorum sensum ita acuere, ut etiam minimum intervallum (vel, ad verbum, quartam partem toni) in intervallis animadvertant. Matth. Nil equidem causæ video, cur Dionysio minus licuerit, quod alii διάστημα appellant, id idem διήχημα appellare. Nullus equidem dubitavi γ cum χ mutare, cuicunque inventio istæc debebitur, sive casui, sive consilio, sive Victorio, sive typographo. Reisk.

Ὑπ' αὐτῷ] Dedi ἡ παρ' αὐτῷ, secundum Helmstad. et Victorium. Idem.

Χαρακτηριστικωτάτην] Revocavi hanc vetustarum editionum lectionem, pro qua Taylor nescio cur χαρακτηρικωτάτην suffecerit. error enim typographi profecto non fuit. Idem.

Ψήφων] Opinor ψῆφον. Quæ paulo post sequuntur pessime distincta sunt. ita oportuit: — μήποτ' οὐ Λυσίου ᾖ λόγος· καὶ οὐκέτι βιάζομαι τὴν ἄλογον αἴσθησιν, οὐ δ' ἂν πάνυ δεινὸς εἶναι τά γ' οὖν ἄλλα μοι δοκῇ καὶ περιττῶς ἐξειργασμένος ὁ λόγος· τὸ μὲν εὖ γράφειν πολλοῖς οἰόμενος ὑπάρχειν, κατά τινας καὶ ἄλλους ἰδίους ἕξεως χαρακτῆρας (πολυειδὲς γὰρ τοῦτο), τὸ δ' ἡδέως καὶ κεχαρισμένως καὶ ἐπαφροδίτως, Λυσίᾳ. Recte vero κατά τινας καὶ ἄλλους· ut De δεινότ. Demosth. p. 197.

ξεως χαρακτὴρ ἔχῃ, δυσωπῶ καὶ ὑποπτεύω, μήποτ' οὐ Λυσίου ᾖ ὁ λόγος, καὶ οὐκ ἔτι βιάζομαι τὴν ἄλογον αἴσθησιν, οὐδὲ ἂν πάνυ δεινὸς εἶναι τά γ' οὖν ἄλλα μοι δοκῇ καὶ περιττῶς ἐξειργασμένος ὁ λόγος. τὸ μὲν εὖ γράφειν πολλοῖς οἰόμενος ὑπάρχειν κατά τινας καὶ ἄλλους ἰδίους λέξεως χαρακτῆρας — πολυειδὲς γὰρ τοῦτο —, τὸ δ' ἡδέως καὶ κεχαρισμένως καὶ ἐπαφροδίτως, Λυσίᾳ· τεκμηρίῳ γοῦν οὐκ ἄλλῳ τινὶ κρείττονι χρώμενος, ἢ τῷ καθ' ἡδονὴν ἑρμηνεύεσθαι τὰ ὑπὸ τούτου λεγόμενα, πολλοὺς ἤδη τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων, καὶ πεπιστευμένων ὑπὸ τοῦ πλήθους, ὡς εἰσιν ἐν τοῖς πάνυ γνησίοις Λυσίου, καὶ τά γε ἄλλα οὐκ ἀτόπως ἔχοντας, ὅτι τὴν χάριν οὐ προσβάλλουσι τὴν Λυσιακὴν, οὐδὲ τὴν εὐστομίαν ἔχουσιν ἐκείνης τῆς λέξεως, ὑποπτεύσας τε καὶ βασανίσας εὗρον οὐκ ὄντας Λυσίου. ὧν ἐστὶ καὶ ὁ περὶ τῆς Ἰφικράτους εἰκόνος· ὃν οἶδ', ὅτι πολλοὶ καὶ χαρακτῆρα ἡγήσαιντο ἂν καὶ κανόνα τῆς ἐκείνου δυνάμεως. οὗτος μέντοι ὁ λόγος, ὁ καὶ τοῖς ὀνόμασιν ἡρμηνεῦσθαι δοκῶν ἰσχυρῶς, καὶ τοῖς ἐνθυμήμασιν εἰρῆσθαι περιττῶς, καὶ ἄλλας πολλὰς ἀρετὰς ἔχων, ἄχαρίς ἐστι, καὶ πολλοῦ δεῖ τὸ Λυσιακὸν ἐπιφαίνειν στόμα· μάλιστα δ' ἐγένετό μοι καταφανὴς, ὅτι οὐχ ὑπ' ἐκείνου τοῦ ῥήτορος ἐγράφη, τοὺς χρόνους ἀναλογισαμένῳ. εἰ γὰρ ὀγδοηκονταετῆ γενόμενον θήσει τις τελευτῆσαι Λυσίαν, ἐπὶ Νίκωνος ἢ ἐπὶ Ναυσινίκου ἄρχοντος, ἑπτὰ ἔτεσιν ὅλοις ἂν εἴη προτεροῦσα τῆς γραφῆς τοῦ ψηφίσματος ἡ τελευτὴ τοῦ ῥήτορος. μετὰ

πολλὰ καὶ ἀλλὰ εἰκῆ τιθεὶς ὀνόματα. et ita alibi. Xenophon. Ἀπομν. lib. III. p. 772: καλὸν γὰρ εἴπερ τι καὶ ἄλλο τῶν ἐν ἀνθρώποις. Thucydides II, 51. πολλὰ καὶ ἀλλὰ παραλιπόντι ἀτοπίας. MARKLAND. ψῆφον. Huds. Scalig. REISK.

Ἠ ὁ λόγος] Articulum addidi. IDEM.

Λέξεως] Dedi ex Taylori præcepto, pro vulgari ἕξεως. IDEM.

Τεκμηρίῳ] Hæc quoque male distincta sunt, et leviter depravata. Lego: τεκμηρίῳ γοῦν οὐκ ἄλλῳ τινὶ κρείττονι χρώμενος, ἢ τῷ καθ' ἡδονὴν ἑρμηνεύεσθαι τὰ ὑπὸ τούτου λεγόμενα, πολλοὺς ἤδη τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων, — ὅτι τὴν χάριν οὐ προσβάλλουσι (l. προβάλλουσι) τὴν Λυσιακὴν, — ὑποπτεύσας τε καὶ βασανίσας, εὗρον οὐκ ὄντας Λυσίου. De hac re, scil. de genuinis et spuriis Lysiæ Orationibus dignoscendis Libellum scripsit Dionysius. MARKLAND. Delevi ᾧ, quod in vulgatis legitur pone λεγόμενα. verbum προσβάλλειν probum est et conveniens, atque exquisitum adeo, ductum ab aura efflante, adspirante e pomis recentibus, vino, hortis, similibus. REISK.

Ἐκείνης] Potest ferri, ut infra. Si quis tamen ἐκείνου malit (scil. τοῦ Λυσίου), per me licet. SYLBURG.

Εἰρῆσθαι] Vocem εἰρῆσθαι suspectam habeo, tametsi infra dicat ἐνθυμήματα λέγει. An εἰργάσθαι (vel ἐξειργάσθαι) περιττῶς? ut supra dixit: περιττῶς ἐξειργασμένος λόγος: et τῆς ἐξεργασίας τῶν ἐπιχειρημάτων, infra. MARKLAND.

Ἐπεμφαίνειν] ἐπιφαίνειν editi. ὑπεμφαίνειν Steph. cui consentiunt fere codices Sylburgii. Ille tamen vulgatam lectionem tuetur. ὑποφαίνειν Hudson. Scaliger quoque. TAYLOR. Ἐπιφαίνειν vera est lectio. Decepit viros doctos editio Aldina, in qua vitiose legitur ἐπ' ἐφαίνειν. Hanc exprimens H. Stephanus in textum recepit ἐπεμφαίνειν, ad marginem autem scripsit Π. [h. e. πότερον γραπτέον] ὑπεμφαίνειν. Ergo falsus Sylburgius, qui hanc lectionem codicibus tribuit. et Hudsonus supersedere poterat conjectura sua. Nam Rob. Stephanus et Sylburg. et MSS. omnes consentiunt in ἐπιφαίνειν. Et sic Dionysius in edit. Sylb. p. 123. 1. et Diogenes Laert. de re prorsus simili p. 70. ed. Steph. dialogi οὐκ ἐπιφαίνοντες τὴν Σωκρατικὴν εὐτονίαν. MATTH.

Ἐγένετό μοι] Sic dedi, pro vulgari ἐγένετο μέν. REISK.

γὰρ Ἀλκισθένην ἄρχοντα, ἐφ᾽ οὗ τὴν εἰρήνην Ἀθηναῖοί τε καὶ
Λακεδαιμόνιοι καὶ βασιλεὺς ὤμοσαν, ἀποδοὺς τὰ στρατεύματα
Ἰφικράτης, ἰδιώτης γίνεται, καὶ τὸ περὶ τῆς εἰκόνος ἦν τότε ἔτεσιν
ἑπτὰ πρότερον τῆς γραφῆς τετελευτηκότος Λυσίου, πρὸ τοῦ συν- lxx
τάξαι τοῦτον τὸν ἀγῶνα Ἰφικράτει. ὁμοίως δὲ καὶ τὴν ἀπολογίαν
τοῦ ἀνδρὸς, καὶ αὐτὴν εἰς Λυσίαν ἀναφερομένην, οὔτε τοῖς πρά-
γμασιν ἀτόπως ἔχουσαν, οὔτε τοῖς ὀνόμασιν ἀσθενῶς, δι᾽ ὑποψίας
ἔλαβον, οὐκ ἐπανθούσης τῇ λέξει τῆς Λυσιακῆς χάριτος· καὶ πα-
ραθεὶς τοὺς χρόνους, οὐκ ὀλίγοις ἔτεσιν εὗρον ὑστεροῦσαν τῆς
τελευτῆς τοῦ ῥήτορος, ἀλλὰ καὶ εἴκοσιν ὅλοις. ἐν γὰρ τῷ συμ-
μαχικῷ πολέμῳ τὴν εἰσαγγελίαν Ἰφικράτης ἠγώνισται, καὶ τὰς
εὐθύνας ὑπέσχηκε τῆς στρατηγίας, ὡς ἐξ αὐτοῦ γίνεται τοῦ λόγου
καταφανές. οὗτος δὲ ὁ πόλεμος πίπτει κατὰ Ἀγαθοκλέα καὶ Ἐλ-
πινίκην ἄρχοντας. ὅτι μὲν οὖν εἰσὶ λόγοι τοῦ ῥήτορος περί τε τῆς
εἰκόνος καὶ τῆς προδοσίας, οὐκ ἔχω βεβαίως εἰπεῖν. ὅτι δ᾽ ἑνὸς
ἀμφότεροι, πολλοῖς τεκμηρίοις ἔχοιμ᾽ ἂν εἰπεῖν. ἡ γὰρ αὐτὴ προ-
αίρεσίς τε καὶ δύναμις ἐν ἀμφοτέροις· ὑπὲρ ὧν οὐ καιρὸς ἐν τῷ

Καὶ τὸ περὶ] Hæc sunt Sphyngis Ænigmata. Conjicio: *καὶ πῶς ὁ περὶ τῆς εἰκόνος εἴη ἂν τοῦδε, ἔτεσιν ἑπτὰ πρότερον τῆς γραφῆς τετελευτηκότος Λυσίου, πρὸ τοῦ συντετάχθαι τοῦτον τὸν ἀγῶνα* (f. *λόγον*) *Ἰφικράτει*; *atqui quomodo Lysiæ esse potest oratio* De Imagine, *cum Lysias mortuus esset septem annis ante delationem* (vel *scriptionem*) *antequam hæc actio intenderetur* (vel *oratio componeretur*) *Iphicrati?* Fieri quidem potest, ut pro *τοῦτον τὸν ἀγῶνα* Noster scripserit *ταύτην τὴν εἰκόνα*, ita ut vox *συντάξαι* in aliam quampiam mutari debeat, ad hunc sensum, *antequam hæc imago Iphicrati decreta fuerat.* Sed de his statuant Libri Scripti. Hæc vero imago Iphicrati posita fuit, *ὅτι μοῖραν Λακεδαιμονίων ἀπέκτεινε*, Æschines adv. Ctesiph. p. 88. Corn. Nepos in Iphicrate: "hoc exercitu moram (*μοῖραν* vel *μόραν*) Lacedæmoniorum interfecit:" ita enim exhibent libri aliquot, pro *intercepit.* forte ex isto loco Æschinis. MARKLAND. Mihi videtur locus hic sic leg. *καὶ ὁ περὶ τῆς εἰκόνος ἦν ἀγὼν, τότε ἔτεσιν ἑπτὰ πρότερον τῆς γραφῆς τετελευτηκότος Λυσίου.* et certamen super statua (Iphicrati danda, an neganda) oriebatur, eo tempore, quo Lysias jam septem ante annis vita defunctus fuisset, quam illud de statua ei decernenda decretum majestatis accusaretur. *πῶς οὖν συντάξαι τοῦτον τὸν ἀγῶνα Ἰφικράτει.* Qui ergo composuerit Lysias in gratiam Iphicratis hanc concertationem? id est, orationem forensem. *συντάξαι* h. l. est optativus. Defensio Iphicratis paulo post commemorata, non ad hanc statuæ causam pertinet, sed ad aliam majestatis vel perduellionis, quæ vigesimo anno post dicta est. REISK.

Ἐλπινίκην] Archon post Agathoclem Olymp. CVI, 1. juxta alios, atque adeo ipsum Diony. in Dinarch. fuit Ἐλπίνης. Atque ita habet Cant. in hoc loco. TAYLOR. De confusione hujus nominis v. Meurs. de Archontibus 4. 7. Locus in Dinarcho est p. 115. 45. ed. Sylburg. qui ad h. l. probat Ἐλπινίκης. MATTH.

Ὅτι μὲν οὖν εἰσὶ λόγοι] Fortasse *ὅτου μὲν οὖν εἰσὶ λόγοι.* Ut Athen. l. 3. *Ὅτου μέν ἐστι τὰ ποιήματα, ὦ ἀγαθὲ Λεωνίδη, ἡμῶν ἐστὶ κρίνειν.* TAYLOR. Delendum videtur *τοῦ*, nisi accipiendum sit pro *τινὸς*, *ullius rhetoris*: ut apud Xenophontem Ἀπομν. lib. II. p. 758. *προσελθόντα τῷ τῶν πλείονα χρήματα κεκτημένων*, id est, *τινί*: et in Agesilao p. 866. B. *εἰ μὴ τοῦ ἄλλου ἕνεκα· si non ob* ullam *aliam causam.* et Thucydidem I. 106. *εἰσέπεσεν ἔς του χωρίον ἰδιώτου*, cujusdam *hominis privati.* Quin et legendum *ὁ περί τε τῆς εἰκόνος*, cum articulo, ut supra, *ὧν ἐστὶ καὶ ὁ περὶ τῆς Ἰφικράτους εἰκόνος.* MARKLAND. Legendum videtur: *ὅτι μὲν οὖν οὐκ εἰσὶν οἱ λόγοι τοῦ ῥήτορος, τοῦτ᾽ οὐκ ἂν ἔγωγε ὀκνήσαιμι διϊσχυρίζεσθαι. ὅτου δέ εἰσιν οἱ λόγοι οὗτοι ῥήτορος, ὅ τε περὶ τῆς εἰκόνος, καὶ ὁ περὶ τῆς προδοσίας, οὐκέτ᾽ ἔχω βεβαίως εἰπεῖν.* orationes hasce nostri oratoris haud esse, hoc equidem ausim contendere. Cujus autem sint hæ duæ orationes, altera de statua, altera super proditione, id jam non amplius habeo pro certo dicere. REISK.

παρόντι σκοπεῖν· εἰκάζω δὲ Ἰφικράτους εἶναι αὐτούς· καὶ γὰρ τὰ πολέμια δεινὸς ὁ ἀνὴρ, καὶ ἐν λόγοις οὐκ εὐκαταφρόνητος· ἥ τε λέξις ἐν ἀμφοῖν πολὺ τὸ φορτικὸν καὶ στρατιωτικὸν ἔχει, καὶ οὐχ οὕτως ἐμφαίνει ῥητορικὴν ἀγχίνοιαν, ὡς στρατιωτικὴν αὐθάδειαν, καὶ ἀλαζονείαν. ἀλλ' ὑπὲρ μὲν τούτων ἑτέρωθι δηλωθήσεται διὰ πλειόνων. Ἀνιτέον δὲ ὅθεν ἐξέβημεν εἰς ταῦτα. τὸ κράτιστόν ἐστι τῶν Λυσίου ἔργων καὶ τὸ χαρακτηριστικώτατον τῆς δυνάμεως, ἡ κοσμοῦσά τε καὶ ἀνθίζουσα τὴν λέξιν αὐτοῦ χάρις· ἣν οὐθ' ὑπερεβάλετο τῶν ἐπιγενομένων οὐθεὶς, οὔτε εἰς ἄκρον ἐμιμήσατο.

ιά. Καὶ τὰ μὲν περὶ τὴν ἑρμηνείαν ἀγαθὰ τοῦ ῥήτορος ταῦτα —συγκεφαλαιώσομαι γὰρ τὰ ῥηθέντα—· τὸ καθαρὸν τῶν ὀνομάτων, ἡ ἀκρίβεια τῆς διαλέκτου, τὸ διὰ τῶν κυρίων καὶ μὴ τροπικῶν κατασκευῶν ἐκφέρειν τὰ νοήματα ἡ σαφήνεια, ἡ συντομία, τὸ συστρέφειν τε καὶ στρογγυλίζειν τὰ νοήματα, τὸ ὑπὸ τὰς αἰσθήσεις ἄγειν τὰ δηλούμενα, τὸ μηδὲν ἄψυχον ὑποτίθεσθαι πρόσωπον μηδὲ ἀνηθοποίητον, ἡ τῆς συνθέσεως τῶν ὀνομάτων ἡδονὴ μιμουμένη τὸν ἰδιώτην, τὸ τοῖς ὑποκειμένοις προσώποις καὶ πράγμασι τοὺς πρέποντας ἐφαρμόττειν λόγους, ἡ πιθανότης καὶ ἡ χάρις, καὶ ὁ πάντα μετρῶν καιρός. ταῦτα παρὰ Λυσίου λαμβάνων ἄν τις ὠφεληθείη.

lxxi ιβ'. Ὑψηλὴ δὲ καὶ μεγαλοπρεπὴς οὐκ ἔστιν ἡ Λυσίου λέξις, οὐδὲ καταπληκτικὴ μὰ Δία καὶ θαυμαστὴ, οὐδὲ τὸ πικρὸν ἢ τὸ δεινὸν ἢ τὸ φοβερὸν ἐπιφαίνουσα, οὐδὲ ἁφὰς ἔχει καὶ τόνους ἰσχυροὺς, οὐδὲ θυμοῦ καὶ πνεύματός ἐστι μεστή· οὐθ', ὥςπερ ἐν τοῖς ἤθεσίν ἐστι πιθανὴ, οὕτως ἐν τοῖς πάθεσιν ἰσχυρά· οὐδ', ὡς ἡδῦναι καὶ πεῖσαι καὶ χαριεντίσασθαι δύναται, οὕτω βιάσασθαί τε καὶ παραναγκάσαι· ἀσφαλής τε μᾶλλόν ἐστιν ἢ παρακεκινδυνευμένη, καὶ οὐκ ἐπὶ τοσοῦτον ἰσχὺν ἱκανὴ δηλῶσαι τέχνης, ἐφ' ὅσον ἀλήθειαν εἰκάσαι φύσεως.

ιγ'. Καὶ θαυμάζειν ἄξιον, τί δήποτε παθὼν ὁ Θεόφραστος, τῶν φορτικῶν καὶ περιέργων αὐτὸν οἴεται ζηλωτὴν γενέσθαι λόγων,

Εἶναι αὐτοὺς] Lego *αὐτοῦ. conjicio autem* eas *esse ipsius Iphicratis.* sic *αὐτοῦ Λυσίου παραδείγματα*, infra. MARKLAND.

Ἐστι] Deesse videtur οὖν ante ἐστι: concludit enim locum de χάριτι Lysiana. et pro ἔργων supra monui scribendum videri ἀρετῶν. IDEM.

Ἀνθίζουσα] Quære, an simplex hoc verbum sic reperiatur usurpatum, an melius conveniat ἐπανθίζουσα. Si est, significabit *colorans, pingens.* REISK.

Ἡ ἀκρίβεια τῆς διαλέκτου] Vide num hoc de capite actum sit in superioribus. IDEM.

Ἄτοπον ὑποτίθ.] Ἄτοπον πρόσωπον potest esse rei locoque male conveniens, aliena persona. Interim quia codices in ἄψυχον conspirant, hoc prætuli. IDEM.

Πιθανότης] Post πιθανότης addit Cantabr. καὶ τὸ πιστικόν. quod nescio an minus sit contemnendum. v. dicta ad p. 69. Etiam p. 78. v. 30. τὸ πιθανὸν et τὴν πίστιν conjungit. IDEM.

Δύναται] Miror, cur Taylor Sylburgii conjecturam δυνατὴ probet, cum vulgata nihilo sit deterior. IDEM.

Καὶ θαυμάζειν] Repete ultimam syllabam vocis præcedentis: ὡς καὶ θαυμάζειν ἄξιον, *adeo ut mirum sit.* sic modo ante,

καὶ τὸ ποιητικὸν διώκειν μᾶλλον ἢ τὸ ἀληθινόν. ἐν γοῦν τοῖς περὶ λέξεως γραφεῖσι, τῶν τε ἄλλων καταμέμφεται τῶν περὶ τὰς ἀντιθέσεις καὶ παρισώσεις καὶ παρομοιώσεις καὶ τὰ παραπλήσια τούτοις σχήματα διεσπουδακότων, καὶ δὴ καὶ τὸν Λυσίαν ἐν τούτοις καταριθμεῖ· καὶ τὸν ὑπὲρ Νικίου τοῦ στρατηγοῦ τῶν Ἀθηναίων λόγον, ὃν εἶπεν ἐπὶ Συρακουσίων αἰχμάλωτος ὤν, ὡς ὑπὸ τούτου γεγραμμένον τοῦ ῥήτορος, παρατιθείς. κωλύσει δ' οὐδὲν ἴσως καὶ τὴν λέξιν αὐτὴν θεῖναι τοῦ Θεοφράστου· ἔστι δὲ ἥδε. "Ἀντίθεσις δ' ἐστὶ τριττῶς· ὅταν τῷ αὐτῷ τὰ ἐναντία, ἢ τῷ ἐναντίῳ τὰ αὐτὰ, ἢ τοῖς ἐναντίοις ἐναντία προκατηγορηθείη. τοσαυταχῶς γὰρ ἐγχωρεῖ συζευχθῆναι. τούτων δὲ τὸ μὲν ἴσον καὶ τὸ ὅμοιον, παιδιῶδες, καθαπερεὶ ποίημα. διὸ καὶ ἧττον ἁρμόττει τῇ σπουδῇ. φαίνεται γὰρ ἀπρεπὲς, σπουδάζοντα τοῖς πράγμασι, τοῖς ὀνόμασι παίζειν, καὶ τὸ πάθος τῇ λέξει περιαιρεῖν. ἐκλύει γὰρ τὸν ἀκροατήν. οἷον ὡς ὁ Λυσίας ἐν τῇ τοῦ Νικίου ἀπολογίᾳ βουλόμενος ἔλεον ποιεῖν, Κλαίω τὸν ἀμάχητον καὶ ἀναυμάχητον ὄλεθρον, ἱκέται μὲν αὐτοὶ τῶν θεῶν καθίζοντες, προδότας δὲ τῶν ὅρκων ἡμᾶς ἀποφαίνοντες, ἀνακαλοῦντες συγγένειαν, εὐμένειαν." Ταῦτα γὰρ εἰ μὲν τῷ ὄντι Λυσίας ἔγραψε, δικαίως ἂν ἐπιτιμήσεως ἀξιοῖτο, χαριεντιζόμενος ἐν οὐ χαρίεντι καιρῷ· εἰ δὲ ἑτέρου τινὸς ἐστὶν ὁ λόγος — ὥςπερ ἐστὶν —, ὁ κατηγορῶν ἃ μὴ προσῆκε, τοῦ ἀνδρὸς μεμπτότερος. ὅτι δὲ οὐκ ἔγραψε Λυσίας τὸν ὑπὲρ Νικίου λόγον, οὐδ' ἔστιν οὔτε τῆς ψυχῆς οὔτε τῆς λέξεως ἐκείνης τὸ γράμμα, πολλοῖς πάνυ τεκμηρίοις ἀποδεῖξαι δυνάμενος, οὐκ ἔχω καιρὸν ἐν τῷ παρόντι λόγῳ.
ἰδίαν δὲ περὶ τοῦ ῥήτορος πραγματείαν συνταττόμενος, ἐν ᾗ τά τε lxxii
ἄλλα δηλωθήσεταί μοι, καὶ τίνες εἰσὶν αὐτοῦ λόγοι γνήσιοι, τὴν ἀκρίβειαν ἐν ἐκείνοις καὶ περὶ τοῦδε ἀποδοῦναι πειράσομαι τοῦ λόγου.

ιδ΄. Νυνὶ δὲ περὶ τῶν ἑξῆς διαλέξομαι, τίς ὁ πραγματικός ἐστι

ουν omittebatur propter præcedens ον. Markland.

Ἐν τούτοις] Potius forte, ἐν τούτοις καταριθμεῖται, τὸν — λόγον — παρατιθείς. Alibi hoc verbo utitur eadem forma. Nisi malis, καταριθμεῖ, καὶ — παρατίθησι. Idem.

Ἐπὶ Συρακουσίων] Pro *coram*, vel ἔτι. Sylburg. Ego puto ἐπὶ Συρακουσῶν. Taylor.

Ἐναντία] Scribe τὰ ἐναντία, cum articulo: ut in præcedentibus. Markland.

Προκατηγορηθείη] Vel προσκατηγορηθῇ. Sylburg.

Ποίημα] An παῖγμα vel παίγνια? paulo infra, τοῖς ὀνόμασι παίζειν. Xenophon. Epist. ad Æschinem, p. 1000. μετ' ὀφρύος σοφιστῶν παίγνια διεξιόντων. Markland.

Οἷον ὡς] Illud οἷον ὡς infra quoque sic usurpatum et apud Aristot. in Rhetor. Sylburg.

Τὸν ἀμάχητον] ἀμάχητος ὄλεθρος est, cum milites pereunt, negata dimicandi facultate. pari modo ἀναυμάχητος ὄλεθρος est, cum classis perit, cui copia negata fuit cum classe hostili confligendi. Reisk.

Εὐμένειαν] Lego εὐγένειαν. Idem mendum in Philone Judæo lib. II. de Vit. Mos. pag. 448. Contra Actor. XVII. 11. pro εὐγενέστεροι optime legi posset εὐμενέστεροι, *magis benevoli*. Distinctio autem plena poni debet post ἀποφαίνοντες. Tria enim proferuntur exempla. Markland.

Παρόντι λέγειν] Dedi λόγῳ pro vulgari λέγειν. Reisk.

Συνταττόμενος] Vel συνταξόμενος, *compositurus*. sequitur enim δηλωθήσεται, et πει-

Λυσίου χαρακτὴρ, ἐπειδὴ τὸν ὑπὲρ τῆς λέξεως ἀποδέδωκά. τουτὶ γὰρ ἔτι λείπεται τὸ μέρος. εὑρετικὸς γάρ ἐστι τῶν ἐν τοῖς πράγμασιν ἐνόντων λόγων ὁ ἀνὴρ, οὐ μόνον ὧν ἅπαντες εὕροιμεν, ἀλλὰ καὶ ὧν μηθείς. οὐδὲν γὰρ ἁπλῶς Λυσίας παραλείπει τῶν στοιχείων, ἐξ ὧν ὁμολογεῖ, οὐ τὰ πρόσωπα, οὐ τὰ πράγματα, οὐκ αὐτὰς τὰς πράξεις, οὐ τρόπους καὶ αἰτίας αὐτῶν. οὐ καιροὺς, οὐ χρόνους, οὐ τόπους, οὐ τὰς ἑκάστου τούτων διαφορὰς, ἄρχι τῆς εἰς ἐλάχιστον τομῆς, ἀλλ' ἐξ ἁπάσης θεωρίας καὶ παντὸς μερισμοῦ τὰς οἰκείας ἀφορμὰς ἐκλέγει. δηλοῦσι δὲ μάλιστα τὴν δεινότητα τῆς εὑρέσεως αὐτοῦ οἵ τε ἀμάρτυροι τῶν λόγων, καὶ οἱ περὶ τὰς παραδόξους συνταχθέντες ὑποθέσεις, ἐν οἷς πλεῖστα καὶ κάλλιστα ἐνθυμήματα λέγει, καὶ τὰ πάνυ δοκοῦντα τοῖς ἄλλοις ἄπορα εἶναι καὶ ἀδύνατα, εὔπορα καὶ δυνατὰ φαίνεσθαι ποιεῖ· κριτικὸς ὢν δεῖ λέγειν, καὶ ὅτε μὴ πᾶσιν ἐξῆν χρῆσθαι τοῖς εὑρεθεῖσι, τῶν κρατίστων δὲ καὶ κυριωτάτων ἐκλεκτικὸς, εἰ μὴ καὶ μάλιστα, τῶν γ' ἄλλων ῥητόρων οὐδενὸς ἧττον, τάξει δὲ ἁπλῇ τινὶ κέχρηται τῶν πραγμάτων, καὶ τὰ πολλὰ ὁμοειδεῖ. καὶ περὶ τὰς ἐξεργασίας τῶν ἐπιχειρημάτων ἀφελής τις καὶ ἀπερίεργός ἐστιν. οὔτε γὰρ προκατασκευαῖς, οὔτ' ἐφόδοις, οὔτε μερισμοῖς, οὔτε ποικιλίαις σχημάτων, οὔτε ταῖς ἄλλαις τοιαύταις πανουργίαις εὑρίσκεται χρώμενος, ἀλλ' ἔστιν ἀπέριττός τις καὶ ἐλεύθερος, καὶ ἀπόνηρος οἰκονομῆσαι τὰ εὑρεθέντα. ἐκ δὲ τούτων παρακελεύομαι τοῖς ἀναγινώσκουσιν αὐτὸν, τὴν μὲν εὕρεσιν τῶν ἐνθυμημάτων καὶ τὴν σύγκρισιν ζηλοῦν, τὴν δὲ τάξιν καὶ τὴν ἐργασίαν αὐτῶν ἐνδεεστέραν οὖσαν τοῦ προσήκοντος, μὴ ἀπὸ τοῦδε τοῦ ἀνδρὸς, ἀλλὰ παρ' ἑτέρων, οἳ κρείττους οἰκονομῆσαι τὰ εὑρεθέντα ἐγένοντο—περὶ ὧν ὕστερον ἐρῶ—, τοῦτο τὸ στοιχεῖον λαμβάνειν.

ιέ. Ἀποδεδωκὼς δὲ τὸν ὑπὲρ τῶν ἀρετῶν τε καὶ στοιχείων λόγον, ἐρῶ νῦν καὶ περὶ τοῦ γένους τῶν ἀμφισβητημάτων, ἐν οἷς ἐστὶ θεωρήμασιν ἡ πολιτικὴ τέχνη. τριχῇ δὲ νενεμημένου τοῦ ῥη-

ράσομαι, in futuro. Markland.

Ὁμολογεῖ] Conjeceram *ὠφελοῖ*. sed verius puto Librarium in exscribendo omisisse unam lineam: *ἐξ ὧν ὁμολογεῖται* *** *οὐ τὰ πρόσωπα*, etc. *ex quibus inter omnes consentitur* utilitatis aliquid educi posse: *non personas*, etc. Idem. Apte cohærent omnia. Dicit h. l. de locis, e quibus argumenta petuntur. Perspicuitatis causa locus sic potest intelligi: *ἐξ ὧν ὁμολογεῖ τὰ πράγματα τοῖς λόγοις, καὶ ἐξ ὧν ὁμολογία γένοιτ' ἄν*. id est, e quibus oritur assensus, persuasio, fides. Matth. Mihi non liquet. hoc cerno, sententiam postulare, *ἐξ ὧν ὁμολογία γίγνεται* vel *συμβαίνει*. *unde confessio exsistit*. Reisk.

Τὰ πάνυ] Sic dedi, pro *τὰ πάντα* vulgari. Illud prius etiam Taylor probavit. Idem.

Κριτικὸς ὢν] Videtur *ὢν* interponendum. Idem.

Κρατίστων δὲ] Prætuli vulgari *κρατίστων τε*. Idem.

Τῶν ἄλλων] Interposui *γ'* de meo, et *ἧττον* pro vulgari *ἥττων*. etiamsi non præcipue, attamen profecto nil minus, quam ullus alius orator. Idem.

Ἀρετῶν] An *ἀφορμῶν* pro *ἀρετῶν*? paullo enim ante de his duobus egerat: *οὐδὲν παραλείπει τῶν στοιχείων*· et mox, *ἐξ ἁπάσης θεωρίας, καὶ παντὸς μερισμοῦ, τὰς οἰκείας ἀφορμὰς ἐκλέγει*. Certe non apte conjungi videntur hæc vocabula hoc in loco. Markland.

τορικοῦ λόγου, καὶ τρία περιειληφότος γένη, τό τε δικανικὸν καὶ τὸ συμβουλευτικὸν, καὶ τὸ καλούμενον ἐπιδεικτικὸν ἢ πανηγυρικὸν, ἐν ἅπασι μὲν τούτοις ἐστὶν ὁ ἀνὴρ λόγου ἄξιος, μάλιστα δὲ ἐν τοῖς δικανικοῖς ἀγῶσι· κἂν τούτοις δὲ αὐτοῖς ἀμείνων ἐστὶ τὰ μικρὰ καὶ παράδοξα καὶ ἄπορα εἰπεῖν καλῶς, ἢ τὰ σεμνὰ καὶ μεγάλα καὶ εὔπορα δυνατῶς. ὁ βουλόμενος δὴ τὴν Λυσίου δύναμιν ἀκριβῶς καταμαθεῖν, ἐκ τῶν δικανικῶν αὐτὴν μᾶλλον λόγων, ἢ ἐκ τῶν πανηγυρικῶν τε καὶ συμβουλευτικῶν, σκοπείτω.

ιϛʹ. Ἵνα δὲ καὶ περὶ τῶν ἰδεῶν ἐγγένηταί μοι τὰ προσήκοντα lxxiii
εἰπεῖν, ἐάσω μὲν ταῦτα· περὶ δὲ προοιμίου, καὶ διηγήσεων, καὶ τῶν ἄλλων μερῶν τοῦ λόγου διαλέξομαι καὶ δηλώσω, ποῖός τις ἐστὶν ἐν ἑκάστῃ τῶν ἰδεῶν ὁ ἀνήρ· διαιρήσομαι δὲ αὐτὰς, ὡς Ἰσοκράτει τε καὶ τοῖς κατ᾽ ἐκεῖνον τὸν ἄνδρα κοσμουμένοις ἤρεσεν, ἀρξάμενος ἀπὸ τῶν προοιμίων.

ιζʹ. Φημὶ δὴ πάντων δεξιώτατον εἶναι τὸν ῥήτορα κατὰ τὰς εἰσβολὰς τῶν λόγων καὶ χαριέστατον· ἐννοούμενος, ὅτι ἄρξασθαι μὲν καλῶς οὐ ῥᾴδιόν ἐστιν, εἴ γέ τις τῇ προσηκούσῃ χρῆσθαι βούλοιτο ἀρχῇ, καὶ μὴ τὸν ἐπιτυχόντα λόγον εἰπεῖν. οὐ γὰρ τὸ πρῶτον ῥηθὲν, ἀλλ᾽ ὃ τοῦ προτεθέντος λόγου μηδαμοῦ μᾶλλον, ἢ ἐπ᾽ αὐτοῦ ὠφελήσειε, τοῦτο ἀρχή τε καὶ προοίμιον. ὁρῶ δὲ τὸν ῥήτορα πᾶσι κεχρημένον, οἷς αἱ τέχναι τε παραγγέλλουσι, καὶ τὰ πράγματα βούλεται· τοτὲ μὲν γὰρ, ἀπὸ τοῦ ἰδίου ἐπαίνου ὁ λέγων αὐτὸς ἄρχεται, τοτὲ δὲ ἀπὸ τῆς διαβολῆς τοῦ ἀντιδίκου—εἰ δὲ τύχοι αὐτὸς προδιαβληθεὶς, τὰς αἰτίας πρῶτον ἀπολύεται τὰς καθ᾽ ἑαυτοῦ—· τοτὲ δὲ, τοὺς δικαστὰς ἐπαινῶν καὶ θεραπεύων, οἰκείους ἑαυτῷ τε καὶ τῷ πράγματι καθίστησι· τοτὲ δὲ τὴν ἀσθένειαν τὴν ἰδίαν καὶ τὴν πλεονεξίαν τὴν τοῦ ἀντιδίκου, καὶ τὸ μὴ περὶ τῶν ἴσων ἀμφοτέροις εἶναι τὸν ἀγῶνα ἀποδείκνυσι· τοτὲ δὲ, ὡς κοινὰ τὰ πράγματα καὶ ἀναγκαῖα πᾶσι καὶ οὐκ ἄξια ὑπὸ τῶν ἀκουόντων ἀμελεῖσθαι λέγει· τοτὲ δὲ, ἄλλο τι κατασκευάζεται τῶν δυναμένων αὐτὸν μὲν ὠφελῆσαι, τὸν δὲ ἀντίδικον ἐλαττῶσαι. ταῦτα δὲ συντόμως καὶ ἀφελῶς διανοίαις τε χρησταῖς καὶ γνώμαις εὐκαίροις καὶ ἐνθυμή-

Τρία] Notabilis est lectio Cant. καὶ τρία περιειληφότος διάφορα τοῖς τέλεσι γένη. Sed non solummodo *fine* differunt, ut pluribus videre est Aristot. Rhetoric. 1. TAYLOR.

Τούτοις δὲ] Dedi pro vulgari τούτοις τε secundum Sylburgii mentem. REISK.

Ἐάσω μὲν] Dedi ad mentem Taylori pro vulgari ἐάσω τε. IDEM.

Εἰ μή τις] Sensus postulat contrarium. Fort. scribendum εἰ δή τις, aut εἰ μή τις τῇ προστυχούσῃ. MATTH.

Εἰ μή τις τῇ προσηκούσῃ] Dedi de meo εἴ γέ τις τῇ προσηκούσῃ. REISK.

Ἐπ᾽ αὐτοῦ] Aut ἐπ᾽ ἀρχῆς αὐτοῦ, aut ἐπὶ deleto retinendum αὐτοῦ sensu adverbiali. Veniebat etiam in mentem sic legere: οὐ γὰρ τὸ πρῶτον ῥηθὲν, ἀλλ᾽ ὅ,τι προτεθὲν τοῦ λόγου κ. τ. λ. de quo tamen nihil audeo affirmare, cum lectio vulgata sensum habeat commodum. MATTH. Mihi videtur legendum: ἐπ᾽ αὐτοῦ ἀρχομένου ὠφελήσειε. REISK.

Αἱ τέχναι] Articulum addidi auctore Sylburg. IDEM.

Ἐπαίνου ὁ λέγων αὐτὸς ἄρχεται] Sic dedi, partim auctoritate mea, partim Marklandi, cui debetur αὐτὸς pro vulgari αὐτὸ, articu-

μασι μετρίοις περιλαβὼν, ἐπὶ τὴν πρόθεσιν ἐπείγεται· δι' ἧς τὰ μέλλοντα ἐν ταῖς ἀποδείξεσι λέγεσθαι προειπὼν, καὶ τὸν ἀκροατὴν παρασκευάσας εὐμαθῆ πρὸς τὸν μέλλοντα λόγον, ἐπὶ τὴν διήγησιν καθίσταται· καὶ ἔστι μεθόριον αὐτῷ ἑκατέρας τῶν ἰδεῶν ὡς τὰ πολλὰ ἡ πρόθεσις. ἤδη δέ ποτε καὶ ἀπὸ μόνης ταύτης ἤρξατο, καὶ ἀπροοιμίαστός ποτε εἰσέβαλε, τὴν διήγησιν ἀρχὴν λαβὼν, καὶ οὐκ ἄψυχος οὐδ' ἀκίνητός ἐστι περὶ ταύτην τὴν ἰδέαν. μάλιστα δ' ἄν τις αὐτοῦ θαυμάσειε τὴν ἐν τοῖς προοιμίοις αὐτοῦ δύναμιν, ἐνθυμηθεὶς, ὅτι διακοσίων οὐκ ἐλάττους δικανικοὺς γράψας λόγους, ἐν οὐδενὶ πέφηνεν, οὔτε ἀπιθάνως προοιμιαζόμενος, οὔτε ἀπηρτημένῃ τῶν πραγμάτων ἀρχῇ χρώμενος, ἀλλ' οὐδὲ τοῖς ἐνθυμήμασιν ἐπιβέβληκε τοῖς αὐτοῖς· οὐδ' ἐπὶ τὰς αὐτὰς κατενήνεκται διανοίας. καίτοι γε τοῦτο καὶ οἱ τοὺς ὀλίγους γράψαντες εὑρίσκονται πεπονθότες· λέγω δὲ τὸ τοῖς αὐτοῖς ἐπιβάλλειν τόποις. ἐῶ γὰρ, ὅτι καὶ τὰ παρ' ἑτέροις εἰρημένα λαμβάνοντες ὀλίγου δεῖν πάντες, οὐκ ἐν αἰσχύνῃ τίθενται τὸ ἔργον. οὑτοσὶ δὲ καινὸς ὁ ῥήτωρ ἐστὶ καθ' ἕκαστον τῶν λόγων· κατά γε οὖν τὰς εἰσβολὰς καὶ τὰ προοίμια· καὶ δυνατὸς ὃ βούλοιτο διαπράξασθαι. οὔτε γὰρ εὔνοιαν κινῆσαι βουλόμενος, οὔτε προσοχὴν, οὔτε εὐμάθειαν, ἀτυχήσειέ ποτε
lxxiv τοῦ σκοποῦ. κατὰ μὲν δὴ ταύτην τὴν ἰδέαν ἢ πρῶτον, ἢ οὐδενὸς δεύτερον αὐτὸν ἀποφαίνομαι.

ιή. Ἐν δὲ τῷ διηγεῖσθαι τὰ πράγματα—ὅπερ οἶμαι μέρος πλείστης δεῖται φροντίδος καὶ φυλακῆς—ἀναμφιβόλως ἡγοῦμαι κράτιστον αὐτὸν εἶναι πάντων ῥητόρων, ὅρον τε καὶ κανόνα τῆς ἰδέας ταύτης αὐτὸν ἀποφαίνομαι· οἴομαί τε καὶ τὰς τέχνας τῶν λόγων, ἐν οἷς εἴρηται περὶ διηγήσεως ἀξιολόγου, οὐκ ἐξ ἄλλων τινῶν μᾶλλον, ἢ τῶν ὑπὸ Λυσίου γραφεισῶν, εἰληφέναι τὰ παραγγέλματα καὶ τὰς ἀφορμάς. καὶ γὰρ τὸ σύντομον μάλιστα αὗται ἔχουσιν αἱ διηγήσεις, καὶ τὸ σαφές· ἡδεῖαί τέ εἰσιν ὡς οὐχ ἕτεραι, καὶ πιθαναὶ καὶ τὴν πίστιν ἅμα λεληθότως συνεπιφέρουσιν, ὥστε μὴ ῥᾴδιον εἶναι μήθ' ὅλην διήγησιν μηδεμίαν μήτε μέρος αὐτῆς ψευδὲς ἢ ἀπίθανον εὑρεθῆναι· τοσαύτην ἔχει πειθὼ καὶ ἀφροδίτην τὰ λεγόμενα, καὶ οὕτω λανθάνει τοὺς ἀκούοντας, εἴτ' ἀληθῆ ὄντα, εἴτε πεπλασμένα. καὶ ὅπερ Ὅμηρος, ἐπαινῶν τὸν Ὀδυσσέα ὡς πιθα-

lum ὁ autem ego de meo addidi. Idem.

Αὐτοῦ δύναμιν] Delendum videtur αὐτοῦ in secundo loco; nisi in priori legendum: τις αὐτὸ θαυμάσειε, τὴν etc. ut ultima exegetica sint. Par repetitio infra: ὁ μάλιστα τοῦτον τὸν ἄνδρα μιμησάμενος· ἔν γε τῷ πιστοῦσθαι τὸν ἄνδρα τὰ πράγματα τοιοῦτός τις ὁ ἀνήρ ἐστιν. ubi ultimum τὸν ἄνδρα, conjectis oculis in versum præcedentem, videtur repetisse Librarius: omnino enim superfluum est, et sensum turbat. Markland. Nisi pro secundo αὐτοῦ leg. sit αὐτοῖς. *in ipsis præloquiis.* Reisk.

Οὑτοσὶ δὲ] Distingue: οὑτοσὶ δὲ καινὸς ὁ ῥήτωρ ἐστὶ καθ' ἕκαστον τῶν λόγων (κατά γε οὖν τὰς εἰσβολὰς καὶ τὰ προοίμια), καὶ δυνατὸς ὃ βούλοιτο διαπράξασθαι. *hic vero orator novus est in singulis orationibus, (in Exordiis saltem et Proœmiis) et potens quodcunque velit efficere.* Markland.

Οὐδενὸς δεύτερον] Interponendum videtur γε. Reisk.

τὸν εἰπεῖν καὶ πλάσασθαι τὰ μὴ γενόμενα εἴρηκε, τοῦτό μοι δοκεῖ κἂν ἐπὶ Λυσίου εἰπεῖν.

ιθ΄. Ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα. Πᾶσί τε καὶ παντὸς μάλιστα τοῦτο παρακελευσαίμην ἀσκεῖν τὸ μέρος αὐτοῦ Λυσίου, παραδείγματα ποιούμενος τὰς γυμνασίας. κράτιστα γὰρ ἀποδείξαιτο ταύτην τὴν ἰδέαν ὁ μάλιστα τοῦτον τὸν ἄνδρα μιμησάμενος.

κ΄. Ἐν δὲ τῷ πιστοῦσθαι τὰ πράγματα τοιοῦτός τις ὁ ἀνήρ ἐστιν. ἄρξομαι δὲ ἀπὸ τῶν καλουμένων ἐντέχνων πίστεων· καὶ χωρὶς ὑπὲρ ἑκάστου μέρους διαλέξομαι. τριχῇ δὲ νενεμημένων τούτων, εἴς τε τὸ πρᾶγμα καὶ τὸ πάθος καὶ τὸ ἦθος, τὰ μὲν ἐκ τοῦ πράγματος, οὐδενὸς χεῖρον εὑρεῖν τε καὶ ἐξειπεῖν δύναται Λυσίας. καὶ γὰρ τοῦ εἰκότος ἀνὴρ ἄριστος εἰκαστὴς, καὶ τοῦ παραδείγματος, πῇ τε ὅμοιον εἶναι πέφυκε καὶ πῇ διαφέρον, ἀκριβέστατος κριτής· τά τε σημεῖα διελεῖν τὰ παρεπόμενα τοῖς πράγμασι, καὶ εἰς τεκμηρίων δόξαν ἀγαγεῖν δυνατώτατος, καὶ τὰς ἐκ τῶν ἠθῶν γε πίστεις ἀξιολόγως πάνυ κατασκευάζειν ἔμοιγε δοκεῖ. πολλάκις μὲν γὰρ ἐκ τοῦ βίου καὶ τῆς φύσεως, πολλάκις δ' ἐκ τῶν προτέρων πράξεων καὶ προαιρέσεων ἀξιόπιστα ποιεῖ τὰ ἤθη. ὅταν

Δοκεῖ] Malim δοκῶ in prima persona. *videor mihi idem posse dicere etiam de Lysia.* aut cum MSS. nescio quibus leg. τις εἰπεῖν. IDEM.

Πᾶσί τε] Sylburg. ita: τὸ μέρος αὐτοῦ, Λυσίου παραδείγματα ποιουμένοις τὰς γυμνασίας. TAYLOR. Totum locum ita lego et distinguo: Πᾶσί τε καὶ παντὸς μάλιστα τοῦτο παρακελευσαίμην ἀσκεῖν τὸ μέρος, αὐτοῦ Λυσίου παραδείγματα ποιουμένοις τὰς γυμνασίας· *omnibusque, et imprimis, hanc partem exercere suaderem, ipsius Lysiæ exempla facientibus exercitationes* suas: id est, non aliunde, quam ex Lysia, petentibus exempla in exercitationes suas. Scio verba aliter construi posse, scil. Λυσίου τὰς γυμνασίας. sed sensus eodem fere recidet. MARKLAND. Fortasse: τὰ τοῦ Λυσίου παραδείγματα ποιούμενος τῆς γυμνασίας. Locus similis est pag. 62. 15. καὶ παρακελευσαίμην ἂν τοῖς βουλομένοις καθαρῶς γράφειν ἢ λέγειν, ἐκεῖνον τὸν ἄνδρα ποιεῖσθαι παράδειγμα ταύτης τῆς ἀρετῆς. MATTH. Post versum Homeri sic videtur leg. δι' ὃ πάσῃ τέχνῃ καὶ παντὸς μάλιστα τοῦτο παρακελευσαίμην ἀσκεῖν τὸ μέρος, πρὸς αὐτοῦ Λυσίου τὰ παραδείγματα ποιουμένους τὰς γυμνασίας. REISK.

Ἔν γε] F. ἐν δὲ, ut supra, ἐν δὲ τῷ διηγεῖσθαι. Mox dele τὸν ἄνδρα. *Sylburg.* TAYLOR.

Πιστοῦσθαι] Post πιστοῦσθαι addunt vulgatæ τὸν ἄνδρα, quæ duo vocabula delevi auctoribus Sylburgio et Marklando. REISK.

Τριχῇ δὲ] Vid. Aristotel. Rhet. 1. 2. 5, 6. MATTH.

Ἀνὴρ δικαστὴς] Sylburgius conjicit, ἄριστος δικαστὴς, ut ἀκριβέστατος κριτὴς paulo post. Forte: καὶ γὰρ τοῦ τε εἰκότος ἄριστος εἰκαστὴς, καὶ τοῦ etc. *etenim et verosimilitudinis optimus est conjector, etc.* etc. allusum enim videtur isti Thucydidis lib. 1. de Themistocle: τοῦ γενησομένου ἄριστος εἰκαστής; quem locum citat Dionsyius lib. de Thucyd. Idiomatibus. Euripides:

Μάντις ἄριστος ὅστις εἰκάζει καλῶς.

MARKLAND. Legendum videtur εἰκαστής. quod proprie dicitur in hac re. Librarius deceptus videtur a v. κριτής. Ita alibi Dionysius, ed. Sylb. p. 98. 37. ἀληθείας εἰκαστὴς et p. 136. 33. e Thucydide ἄριστος εἰκαστής. MATTH. Ego nullus dubitavi pro vulgari lectione δικαστὴς dare ἄριστος εἰκαστής. REISK.

Τεκμήριον] Antea conjiciebam τεκμηρίων. nunc confirmatus auctoritate codicis Helmstad. plane, quin ita sit scribendum non dubito. Sensus est apertus. Lysias τὰ σημεῖα ita callide tractare potest, ut τεκμηρίων vim consequantur. quomodo autem σημεῖα, τεκμήρια, εἰκὸς et παράδειγμα differant, diligenter explicat Aristoteles, e quo totum hunc locum excerpsisse videtur Dionysius. v. Rhetor. I. 2. 38. seqq. et II. 25. 9. seqq. MATTH.

Ἠθῶν γε] Γε aut cum δὲ mutandum videtur, aut sic leg. ἠθῶν τε καὶ παθῶν πίστεις.

δὲ μηδεμίαν ἀφορμὴν παρὰ τῶν πραγμάτων τοιαύτην λάβῃ, αὐτὸς
ἠθοποιεῖ καὶ κατασκευάζει τὰ πρόσωπα τῷ λόγῳ πιστὰ καὶ χρηστὰ,
προαιρέσεις τε αὐτοῖς ἀστείας ὑποτιθεὶς, καὶ πάθη μέτρια προσά-
πτων καὶ λόγους ἐπιεικεῖς ἀποδιδούς· καὶ ταῖς τύχαις ἀκόλουθα
φρονοῦντας εἰσάγων, καὶ ἐπὶ μὲν τοῖς ἀδίκοις ἀχθομένους καὶ λό-
γοις καὶ ἔργοις, τὰ δὲ δίκαια προαιρουμένους ποιεῖν, καὶ πάντα
παραπλήσια τούτοις, ἐξ ὧν ἐπιεικὲς ἂν καὶ μέτριον ἦθος φανείη,
κατασκευάζων. περὶ δὲ τὰ πάθη μαλακώτερός ἐστι, καὶ οὔτε αὐξή-
σεις, οὔτε δεινώσεις, οὔτε οἴκτους, οὐθ' ὅσα τούτοις ἐστὶ παραπλή-
lxxv σια, νεανικῶς πάνυ καὶ ἐῤῥωμένως κατασκευάσαι δυνατός. οὐ δεῖ
δὴ ταῦτα ἐπιζητεῖν παρὰ Λυσίου.

κά. Κἀν τοῖς ἐπιλόγοις δὲ, τὸ μὲν ἀνακεφαλαιωτικὸν τῶν ῥηθέντων μέρος μετρίως τε καὶ χαριέντως ἀπαριθμεῖ, τὸ δὲ παθητικὸν ἐκεῖνο, ἐν ᾧ παράκλησίς τε καὶ ἔλεος καὶ δέησις καὶ τὰ τούτοις ἀδελφὰ ἔνεστιν, τοῦ προσήκοντος ἐνδεεστέρως ἀποδίδωσι.

κβ΄. Τοιοῦτος μὲν δή ἐστιν ὁ Λυσίου χαρακτὴρ, ὡς ἐγὼ δόξης ἔχω περὶ αὐτοῦ. εἰ δέ τις ἄλλα παρὰ ταῦτα ἔγνωκε, λεγέτω. κἂν ᾖ πιθανώτερα, πολλὴν αὐτῷ χάριν εἴσομαι. ἵνα δὲ βέλτιον τῷ βουλομένῳ γένηται μαθεῖν, εἴτε ὀρθῶς ἡμεῖς ταῦτα καὶ προσηκόντως πεπείσμεθα, εἴτε καὶ διημαρτήκαμεν τὴν κρίσιν, τὴν ἐξέτασιν ἀπὸ τῶν ὑπ' ἐκείνου γραφέντων ποιήσομαι προχειρισάμενός τινα λόγον. οὐ γὰρ ἐγχωρεῖ πολλοῖς χρῆσθαι παραδείγμασιν. ἐξ ἐκείνου δὲ τήν τε προαίρεσιν καὶ τὴν δύναμιν τοῦ ἀνδρὸς ἐπιδείξομεν, ἀποχρῆν οἰόμενοι ψυχαῖς εὐπαιδεύτοις καὶ μετρίαις, μικρά τε μεγάλων καὶ ὀλίγα πολλῶν γενέσθαι δείγματα. ἔστι δὲ ὁ λόγος ἐκ τῶν ἐπιτροπικῶν, ἐπιγραφόμενος κατὰ Διογείτονος· ὑπόθεσιν δὲ ἔχων τοιάνδε. Διόδοτος, εἷς τῶν μετὰ Θρασύλλου καταλεγέντων ἐν τῷ Πελοποννησιακῷ πολέμῳ, μέλλων ἐκπλεῖν εἰς τὴν Ἀσίαν ἐπὶ Γλαυκίππου ἄρχοντος, ἔχων νήπια παιδία, διαθήκας ἐποιήσατο, καταλιπὼν αὐτοῖς ἐπίτροπον, τὸν ἑαυτοῦ μὲν ἀδελφὸν Διογείτονα, τῶν δὲ παιδίων θεῖόν τε καὶ πάππον ἀπὸ μητέρος. αὐτὸς μὲν οὖν ἐν Ἐφέσῳ μαχόμενος ἀποθνήσκει· Διογείτων δὲ πᾶσαν τὴν οὐσίαν τῶν ὀρφανῶν διαχειρισάμενος, καὶ ἐκ πολλῶν πάνυ χρημάτων οὐδὲν ἀποδείξας, αὐτὸς ἔτι περιὼν κατηγορεῖται πρὸς ἑνὸς

Ὑποτιθεὶς] Fort. περιτιθείς. Sic Dionys. ed. Sylb. p. 189. 1. ᾗ [λέξει] κέχρηται Ἡρόδοτος Ξέρξῃ περιτιθεὶς τὸν λόγον. et 85. 18. ὁ γὰρ γάμος εὐθὺς καὶ σωφροσύνης δόξαν περιτίθησι τοῖς ἀνθρώποις. Longin. p. 153. ed. Cel. Mor. τὴν δ' ἀπότομον ἀπειλὴν τῷ θυμῷ τοῦ ἡγεμόνος περιέθηκεν. Diog. Laert. p. 70. ed. Steph. Κρίτωνι περιθεῖναι τοὺς λόγους. Matth.

Προσάπτων] Sic dedi pro vulgari προσώπων. Reisk.

Προαιρουμένους ποιεῖν] Sic dedi de meo pro vulgari προαιρουμένους ποιῶν. Idem.

Ἀπαιδεύτοις] Stephanus et Sylburgius, οὐκ ἀπαιδεύτοις. minore cum mutatione legas, ψυχαῖς εὐπαιδεύτοις, *animis eruditis et modestis*. Sic init. Epist. ad Pompeium: ἐπιστολὴν εὐπαίδευτον· et in Lib. de Thucyd. Idiom. τῶν εὐπαιδεύτων· et alibi. Markland.

τῶν μειρακίων δοκιμασθέντος, κακῆς ἐπιτροπῆς. λέγει δὲ κατ' αὐτοῦ τὴν δίκην ὁ τῆς ἐκείνου μὲν θυγατριδῆς, τῶν δὲ μειρακίων ἀδελφῆς ἀνήρ. προὔλαβον δὲ τὴν ὑπόθεσιν, ἵνα μᾶλλον γένηται καταφανὲς, εἰ μετρίᾳ καὶ προσηκούσῃ ἀρχῇ κέχρηται.

κγ'. Εἰ μὲν μὴ μεγάλα, κ. τ. λ. Τοῦτο τὸ προοίμιον ἁπάσας ἔχει τὰς ἀρετὰς, ὅσας δεῖ τὸ προοίμιον ἔχειν. δηλώσουσι δὲ οἱ κανόνες αὐτῷ παρατεθέντες οἱ τῶν τεχνῶν. ἅπαντες γὰρ δή που παραγγέλλουσιν οἱ συνταξάμενοι τὰς τέχνας, ὅταν ᾖ πρὸς οἰκείους ὁ ἀγὼν, σκοπεῖν, ὅπως μὴ πονηροὶ μηδὲ φιλοπράγμονες οἱ κατήγοροι φανήσονται· κελεύουσί τε, πρῶτον μὲν τὴν αἰτίαν εἰς τοὺς ἀντιδίκους περιϊστάναι καὶ τοῦ ἐγκλήματος καὶ τοῦ ἀγῶνος, καὶ λέγειν, ὅτι μεγάλα τἀδικήματα. καὶ οὐκ ἐνῆν αὐτὰ μετρίως ἐνεγκεῖν· καὶ ὅτι ὑπὲρ ἀναγκαιοτέρων προσώπων ὁ ἀγὼν καὶ ἐρήμων, καὶ ἧττον ὑπεροφθῆναι ἀξίων, οἷς μὴ βοηθοῦντες, κακίους ἂν ἐφάνησαν· καὶ ὅτι προκαλούμενοι τοὺς ἀντιδίκους εἰς διαλλαγὰς, καὶ φίλοις τὰ πράγματα ἐπιτρέποντες, καὶ τὰ δυνατὰ ἐλαττοῦσθαι ὑπομένοντες, οὐδενὸς ἠδυνήθησαν τυχεῖν τῶν μετρίων. Ταῦτα μὲν δὴ παραγγέλλουσι ποιεῖν οἱ τεχνογράφοι, ἵνα τὸ ἦθος τοῦ λέγοντος ἐπιεικέστερον εἶναι δόξῃ. δύναται δὲ αὐτοῖς εὔνοιαν τοῦτο ποιεῖν, καὶ ἔστι κράτιστον τῆς κατασκευῆς μέρος. ταῦθ' ὁρῶ πάντα lxxvi
διὰ τοῦ προοιμίου τοῦδε γεγονότα. Καὶ μὴν εἴς γε τὸ εὐμαθεῖς τοὺς ἀκροατὰς ποιῆσαι, κελεύουσι συστρέψαντας εἰπεῖν τὸ πρᾶγμα, ἵνα μὴ ἀγνοῶσι τὴν ὑπόθεσιν οἱ δικασταί· καὶ οἷάπερ ἂν ᾖ τὰ μέλλοντα λέγεσθαι, τοιοῦτο καὶ τὸ προοίμιον ὑποτίθεσθαι ἀπ' ἀρχῆς, καὶ δεῖγμα τοῦ πράγματος ποιουμένους, εὐθὺς ἀπ' ἐνθυμημάτων πειρᾶσθαι ἄρχεσθαι. ἔχει δὴ καὶ ταῦτα τὸ προοίμιον. Ἔτι περὶ τῆς προσοχῆς ὧδέ πως τεχνολογοῦσιν· ὅτι δεῖ τὸν προσεκτικοὺς μέλλοντα ποιεῖν τοὺς ἀκροατὰς, καὶ λέγειν θαυμαστὰ καὶ παράδοξα, καὶ δεῖσθαι τῶν δικαστῶν ἀκοῦσαι. φαίνεται δὲ καὶ ταῦτα πεποιηκὼς ὁ Λυσίας· καὶ προσέτι τούτοις τὸ λεῖον τῆς ἑρμηνείας, καὶ τὸ ἀφελὲς τῆς κατασκευῆς, ὧν μάλιστα δεῖ τοῖς ὑπ' ἐκείνων προοιμιαζομένοις. ἄξιον δὲ καὶ τὴν διήγησιν ὡς ᾠκονόμηται

Εἰ μὲν μὴ μεγάλα] Vid. p. 504. ed. Tayl.

Τῶν τεχνῶν] Legi vult Taylor τῶν τεχνικῶν. sine causa, si quid intelligo. Reisk.

Μεγάλα ἀδικήματα] Scripsit, opinor, μεγάλα τ' ἀδικήματα, vel τὰ ἀδικήματα. Markland.

Καί ἐστι] Forte, ἣ (sc. εὔνοια) ἐστι κράτιστον τῆς κατασκευῆς μέρος. Idem.

Εὐθὺς] Καὶ, quod huic adverbio præponunt vulgatæ, delevi auctore Sylburgio. Reisk.

Ὑπ' ἐκείνων] Sylburgius legit, ἀπ' ἐκείνων, *ab illis. A quibus?* nihil enim præcessit, quod huic sensui convenire potest. Lege, ἐπ' ἐκείνων, *coram illis*, sc. δικαστῶν, *judicibus, quæ maxime necessaria sunt iis, qui coram tribunali proœmiis utuntur:* nempe in *veris causis*, non in *fictis* Rhetorum et Sophistarum λογομαχίαις. Markland.

καταμαθεῖν, ἔχει δὲ οὕτως. Ἀδελφοὶ ἦσαν, ὦ ἄνδρες δικασταὶ, κ. τ. λ.

κδʹ. Ἵνα δὲ καὶ ὁ τῶν ἀποδείξεων χαρακτὴρ καταφανὴς γένηται, θήσω καὶ τὰ ἐπὶ τούτοις λεγόμενα. τὰς μὲν οὖν ἰδίας πίστεις, ὡς οὐ πολλῶν ἔτι λόγων δεομένας, δι' αὐτῶν βεβαιοῦται τῶν μαρτύρων, οὐδὲν ἕτερον ἢ τοῦτο εἰπὼν, Πρῶτον μὲν οὖν τούτων ἀνάβητέ μοι μάρτυρες. τὰ δὲ τοῦ ἀντιδίκου δίκαια διχῇ νείμας, ὡς τὰ μὲν ὁμολογήσαντος αὐτοῦ λαβεῖν, καὶ εἰς τὰς τροφὰς τῶν ὀρφανῶν ἀνηλωκέναι σκηψαμένου, τὰ δὲ ἐξάρνου γενηθέντος εἰληφέναι, κἄπειτα ἐλεγχθέντος, ὑπὲρ ἀμφοτέρων ποιεῖται τὸν λόγον. τάς τε δαπάνας οὐχ ἃς ἐκεῖνος ἀπέφηνε γενέσθαι λέγων, καὶ περὶ τῶν ἀμφιβόλων τὰς πίστεις ἀποδιδούς. Ἀξιῶ τοίνυν, ὦ ἄνδρες δικασταὶ, κ. τ. λ.

κέ. Ἐν μὲν δὴ τοῖς ἐπιδεικτικοῖς λόγοις μαλακώτερος, ὥσπερ ἔφην. βούλεται μὲν γὰρ ὑψηλότερος εἶναι καὶ μεγαλοπρεπέστερος. καὶ τῶν γε καθ' ἑαυτὸν ἢ πρότερον ῥητόρων ἀκμασάντων οὐδενὸς ἂν δόξειεν εἶναι καταδεέστερος· οὐ διεγείρει δὲ τὸν ἀκροατὴν, ὥσπερ Ἰσοκράτης, ἢ Δημοσθένης. θήσω δὲ καὶ τούτων παράδειγμα. ἔστι δή τις αὐτῷ πανηγυρικὸς λόγος, ἐν ᾧ πείθει τοὺς Ἕλληνας, ἀγομένης Ὀλυμπιάσι τῆς πανηγύρεως, ἐκβάλλειν Διονύσιον τὸν τύραννον τῆς ἀρχῆς, καὶ Σικελίαν ἐλευθερῶσαι· ἄρξασθαί τε τῆς ἔχθρας αὐτίκα μάλα, διαρπάσαντας τὴν τοῦ τυράννου σκηνὴν χρυσῷ τε καὶ πορφύρᾳ καὶ ἄλλῳ πλούτῳ πολλῷ κεκοσμημένην. ἔπεμψε γὰρ θεωροὺς εἰς τὴν πανήγυριν ὁ Διονύσιος ἄγοντας θυσίαν τῷ θεῷ. μεγαλοπρεπής τε καταγωγὴ τῶν θεωρῶν ἐγίνετο ἐν τῷ τεμένει καὶ πολυτελὴς, ἵνα θαυμασθείη μᾶλλον ὁ τύραννος ὑπὸ τῆς Ἑλλάδος.

Ἀδελφοὶ ἦσαν, ὦ ἄνδρες δικασταὶ] Vid. p. 505. ed. Tayl.

Τοῦ ἀντιδίκου] Articulum præposui, quo carent vulgatæ. Reisk.

Τὰς δὲ δαπάνας] Distinguo ac lego: ποιεῖται τὸν λόγον, τάς τε δαπάνας — ἐλέγχων, καὶ περὶ etc. Sylburgius quoque legit τε pro δέ. Markland. Sic dedi, pro vulgari τὰς δὲ δαπάνας. Reisk.

Ἀξιῶ τοίνυν, ὦ ἄνδρες δικασται] Vid. p. 512. ed. Tayl.

Ἔφην] Post ἔφην nonnulla deesse videntur. hæc enim non cohærent. Markland. Acute animadvertit Marklandus aliquid hic deesse. Nam ἐν μὲν δὴ indicat conclusionem loci pertractati περὶ τῶν ἀποδείξεων, de quibus inceperat dicere. Τοῖς ἐπιδεικτικοῖς autem et paulo post θήσω δὲ καὶ τούτων transitionis ad orationes ἐπιδεικτικὰς vestigia habent. Deinde Dionysius Lysiam μαλακώτερον dixit non tam in ἐπιδεικτικοῖς λόγοις, quam in πάθεσιν et ἀποδείξεσιν. v. p. 80. v. 8. Conf. Dionys. ed. Sylburg. p. 107. 43. ἐν οἷς (ἀποδεικτικοῖς καὶ παθητικοῖς λόγοις) ὁ μὲν Λυσίας ἁπλούστερός τίς ἐστιν, et p. 109. 34. ubi etiam male scribitur ἐπιδεικτικοῖς pro ἀποδ. quod aperte docet orationis συνάφεια et Sylburg. ad h. l. Denique nullum exemplum epilogi commemoravit, de quo tamen etiam dicere constituerat. v. p. 77. v. 10. p. 80. v. 12. 18. Ex his satis puto apparere aliquid deesse. quod etsi sine ope codd. restitui vix potest, interim tamen expleri poterit hoc modo: ἐν μὲν δὴ ταῖς ἀποδείξεσι καὶ πάθεσι καὶ ὅλως τοῖς δικανικοῖς λόγοις μαλακώτερος, ὥσπερ ἔφην. Τοιοῦτος δὲ τίς μοι εἶναι δοκεῖ καὶ ἐν τοῖς ἐπιδεικτικοῖς λόγοις. Βούληται — Δημοσθένης. Θήσω δὲ καὶ τούτων (scil. τῶν ἐπιδεικτικῶν λόγων) παραδείγματα. Matth. Nil deest, modo legas, ἐν μέντοι τοῖς. Reisk.

ταύτην λαβὼν τὴν ὑπόθεσιν, τοιαύτην πεποίηται τὴν ἀρχὴν τοῦ λόγου. Ἄλλων τε πολλῶν καὶ καλῶν, κ. τ. λ. lxxvii

κϛʹ. Ἑνὸς ἔτι παράδειγμα θήσω λόγου συμβουλευτικοῦ· ἵνα καὶ τούτου τοῦ γένους τοῦ λόγου ὁ χαρακτὴρ γένηται σαφής. ὑπόθεσιν δὲ περιείληφε περὶ τοῦ μὴ καταλῦσαι τὴν πάτριον πολιτείαν Ἀθήνησι. τοῦ γὰρ δήμου κατελθόντος ἐκ Πειραιῶς, καὶ ψηφισαμένου διαλύσασθαι πρὸς τοὺς ἐν ἄστει, καὶ μηδενὸς τῶν γεγενημένων μνησικακεῖν· δέους δὲ ὄντος μὴ πάλιν τὸ πλῆθος εἰς τοὺς εὐπόρους ὑβρίζῃ τὴν ἀρχαίαν ἐξουσίαν κεκομισμένον, καὶ πολλῶν ὑπὲρ τούτου γινομένων λόγων, Φορμίσιός τις τῶν συγκατελθόντων μετὰ τοῦ δήμου, γνώμην εἰσηγήσατο, τοὺς μὲν φεύγοντας κατιέναι, τὴν δὲ πολιτείαν μὴ πᾶσιν, ἀλλὰ τοῖς τὴν γῆν ἔχουσι παραδοῦναι· βουλομένων ταῦτα γενέσθαι καὶ Λακεδαιμονίων. ἔμελλον δὲ, τοῦ ψηφίσματος τούτου κυρωθέντος, πεντακισχίλιοι σχεδὸν Ἀθηναίων ἀπελαθήσεσθαι τῶν κοινῶν. ἵνα δὴ μὴ τοῦτο γένοιτο, γράφει τὸν λόγον τόνδε ὁ Λυσίας, τῶν ἐπισήμων τινὶ καὶ πολιτευομένων. εἰ μὲν οὖν ἐῤῥήθη τότε ἄδηλον, σύγκειται γοῦν ὡς πρὸς ἀγῶνα ἐπιτηδείως. ἔστι δὲ ὅδε. Ὅτε ἐνόμιζον, ὦ Ἀθηναῖοι, κ. τ. λ.

κζʹ. Ἀλλ' ἅλις ἤδη παραδειγμάτων. ἵνα καὶ περὶ τῶν λοιπῶν ῥητόρων τὸν αὐτὸν διαλεχθῶμεν τρόπον. ἕπεται δὲ τῷ ῥήτορι τούτῳ, κατὰ τὴν τάξιν τῶν χρόνων, Ἰσοκράτης. περὶ δὲ τούτου λεκτέον ἐφεξῆς, ἑτέραν ἀρχὴν λαβοῦσιν.

Ἄλλων τε πολλῶν καὶ καλῶν] Vid. p. 518. ed. Tayl.

Ψηφισαμένου διαλύσασθαι] Hudsonus legi vult τὰς πρὸς τοὺς ἐν ἄστει ἔχθρας. male, ut videtur. centies enim hæc omittuntur. v. Æschin. contra Ctesiph. p. 68. 19. ed. Steph. Ælian. V. H. 12. 3. Theophrast. Charact. 13. περὶ ἀκαιρίας. ἀμφοτέρων βουλομένων διαλύεσθαι. Matth.

Φορμίσιος] De hoc loquitur Dinarchus p. 95. ed. Steph. Idem.

Φεύγοντας] F. φυγόντας. Idem. In hoc falsus fuit V. D. Exsules οἱ φεύγοντες usurpantur, non οἱ φυγόντες. Ad insequentem vitam e Plutarcho annotationum ego de meo nihil addidi, sed omnes sunt Taylori. Reisk.

Ὅτε ἐνόμιζον, ὦ Ἀθηναῖοι] Vid. p. 523. ed. Tayl.

ΛΥΣΙΟΥ ΒΙΟΣ

ΚΑΤΑ ΠΛΟΥΤΑΡΧΟΝ.

---

lxxviii Λυσίας υἱὸς ἦν Κεφάλου, τοῦ Λυσανίου, τοῦ Κεφάλου, Συρακουσίου μὲν γένος, μεταναστάντος δὲ εἰς Ἀθήνας, ἐπιθυμίᾳ τε τῆς πόλεως, καὶ Περικλέους τοῦ Ξανθίππου πείσαντος αὐτὸν φίλον ὄντα, καὶ ξένον, πλούτῳ διαφέρων· ὡς δέ τινες ἐκπεσόντα τῶν Συρακουσῶν, ἡνίκα ὑπὸ Γέλωνος ἐτυραννοῦντο· γενόμενος Ἀθήνησιν ἐπὶ Φιλοκλέους ἄρχοντος τοῦ μετὰ Φρασικλῆ κατὰ τὸ δεύτερον ἔτος τῆς ὀγδοηκοστῆς καὶ δευτέρας Ὀλυμπιάδος, τὸ μὲν πρῶτον συνεπαιδεύετο τοῖς ἐπιφανεστάτοις Ἀθηναίων· ἐπεὶ δὲ τὴν εἰς Σύβαριν ἀποικίαν τὴν ὕστερον Θουρίους μετονομασθεῖσαν ἔστελλεν ἡ πόλις, ᾤχετο σὺν τῷ πρεσβυτάτῳ ἀδελφῷ Πολεμάρχῳ —ἦσαν γὰρ αὐτῷ καὶ ἄλλοι δύο Εὔδιδος καὶ Βράχυλλος—, τοῦ πατρὸς ἤδη τετελευτηκότος, ὡς κοινωνήσων τοῦ κλήρου, ἔτη γεγονὼς πεντεκαίδεκα, ἐπὶ Πραξιτέλους ἄρχοντος. κἀκεῖ διέμεινε παιδευόμενος παρὰ Τισίᾳ, καὶ Νικίᾳ τοῖς Συρακουσίοις· κτησάμενός τε οἰκίαν καὶ κλήρῳ λαχὼν ἐπολιτεύσατο, ἕως Κλεάρχου τοῦ Ἀθήνησιν ἄρχοντος, ἔτη ἑξήκοντα τρία. Τῷ δὲ ἑξῆς Καλλίᾳ Ὀλυμπιάδι ἐνενηκοστῇ δευτέρᾳ, τῶν κατὰ Σικελίαν συμβάντων Ἀθηναίοις, καὶ κινήσεως γενομένης τῶν τε ἄλλων συμμάχων καὶ μάλιστα τῶν τὴν Ἰταλίαν οἰκούντων, αἰτιαθεὶς Ἀττικίζειν ἐξέπεσε μετ' ἄλλων τριῶν. Παραγενόμενος δ' Ἀθήνησιν ἐπὶ Καλλίου τοῦ μετὰ Κλεόκριτον ἄρχοντος, ἤδη τῶν τετρακοσίων κατεχόντων τὴν πόλιν, διέτριβεν αὐτόθι. τῆς δὲ ἐν Αἰγὸς ποταμοῖς ναυμαχίας γενομένης, καὶ τῶν τριάκοντα παραλαβόντων τὴν πόλιν, ἐξέπεσεν, ἑπτὰ ἔτη μείνας, ἀφαιρεθεὶς τὴν οὐσίαν, καὶ τὸν ἀδελφὸν Πολέμαρχον· αὐτὸς δὲ διαδρὰς ἐκ τῆς οἰκίας, ἀμφιθύρου οὔσης, ἐν ᾗ ἐφυλάσσετο ὡς ἀπολούμενος, διῆγεν ἐν Μεγάροις. ἐπιθεμέ-

Διαφέρων] Anne διαφέροντα? Vid. Nos in Vita Lysiæ. TAYLOR.

Φρασικλῆ] L. Φρασικλείδη. IDEM.

Καὶ δευτέρας] Dele. IDEM.

Ἔστελλεν] Ἔστελε Cod. Petav. IDEM.

Ἄλλοι δύω] Hoc videtur esse ambigendum. IDEM.

Εὔδιδος] Εὔδημος Xyl. Rectius cum Platone Εὐθύδημος. IDEM.

Κλήρῳ λαχὼν] Κλήρου τυχὼν Photius. IDEM.

Κλεάρχου] L. Κλεοκρίτου. IDEM.

Ἑξήκοντα τρία] Alii τριάκοντα τρία legunt, alii ὥστε τριάκοντα. IDEM.

Τριῶν] L. Τριακοσίων. IDEM.

νων δὲ τῶν ἀπὸ Φυλῆς τῇ καθόδῳ, ἐπεὶ χρησιμώτατος ἁπάντων
ὤφθη, χρήματά τε παράσχὼν δραχμὰς δισχιλίας, καὶ ἀσπίδας
διακοσίας· πεμφθεὶς δὲ σὺν Ἑρμᾶνι ἐπικούρους ἐμισθώσατο τρια-
κοσίους δύο, ἔπεισέ τε τάλαντα δοῦναι Θρασύλαιον τὸν Ἠλεῖον,
ξένον αὐτῷ γεγονότα. ἐφ' οἷς γράψαντος αὐτῷ Θρασυβούλου πο-
λιτείαν μετὰ τὴν κάθοδον ἐπὶ ἀναρχίας τῆς πρὸ Εὐκλείδου, ὁ μὲν
δῆμος ἐκύρωσε τὴν δωρεάν· ἀπενεγκαμένου δὲ Ἀρχίνου γραφὴν
παρανόμων διὰ τὸ ἀπροβούλευτον εἰσαχθῆναι, ἑάλω τὸ ψήφισμα· lxxix
καὶ οὕτως ἀπελαθεὶς τῆς πολιτείας, τὸν λοιπὸν χρόνον ᾤκησε
ἰσοτελὴς ὤν· καὶ ἐτελεύτησεν αὐτόθι, ὀγδοήκοντα τρία ἔτη βιοὺς,
ἤ, ὥς τινές, ἓξ καὶ ἑβδομήκοντα, ἤ, ὥς τινες, ὑπὲρ ὀγδοήκοντα·
ἰδὼν Δημοσθένην μειράκιον ὄντα. γενηθῆναι δέ φασιν ἐπὶ Φιλο-
κλέους ἄρχοντος. Φέρονται δ' αὐτοῦ λόγοι τετρακόσιοι εἰκοσι-
πέντε. τούτων γνησίους φασὶν οἱ περὶ Διονύσιον, καὶ Καικίλιον
εἶναι διακοσίους τριάκοντα, ἐν οἷς δὶς μόνον ἡττῆσθαι λέγεται.
ἔστι δ' αὐτοῦ καὶ ὃν ὑπὲρ τοῦ ψηφίσματος ἐγράψατο Ἀρχῖνος τὴν
πολιτείαν αὐτοῦ περιέχων, καὶ κατὰ τῶν τριάκοντα ἕτερος. Ἐγέ-
νετο δὲ πιθανώτατος καὶ βραχύτατος, τοῖς ἰδιώταις τοῖς πολλοῖς
λόγους ἐκδούς. εἰσὶ δ' αὐτῷ καὶ τέχναι ῥητορικαὶ πεποιημέναι,
καὶ δημηγορία, ἐπιστολαί τε καὶ ἐγκώμια, καὶ ἐπιτάφιοι καὶ ἐρωτι-
κοί. Σωκράτους ἀπολογία ἐστοχασμένη τῶν δικαστῶν. δοκεῖ δὲ
τὴν κατὰ λέξιν εὔκολος εἶναι, δυσμίμητος ὤν. Δημοσθένης δ' ἐν
τῷ κατὰ Νεαίρας λόγῳ ἐραστὴν αὐτόν φησι γεγονέναι Μετανείρας
ὁμοδούλου τῇ Νεαίρᾳ. ὕστερον δὲ ἔγημε Βραχύλλου τοῦ ἀδελφοῦ
θυγατέρα, μνημονεύει δὲ αὐτοῦ καὶ Πλάτων ἐν τῷ Φαίδρῳ, ὡς
δεινοτάτου εἰπεῖν, καὶ Ἰσοκράτους πρεσβυτέρου. ἐποίησε δὲ καὶ εἰς
αὐτὸν ἐπίγραμμα Φίλισκος ὁ Ἰσοκράτους μὲν γνώριμος, ἑταῖρος
δὲ Λυσίου· δι' οὗ φανερὸν ὡς προέλαβε τοῖς ἔτεσιν, καὶ ἐκ τῶν
ὑπὸ Πλάτωνος εἰρημένων ἀποδείκνυται. ἔχει δὲ οὕτως·

Καλλίππης θύγατερ, πολυηγόρε, φροντίδι δείξεις
Εἴ τι φρονεῖς, * * καί τι περισσὸν ἔχεις.

Ἐπεὶ χρησιμώτατος] L. ἐπιχρησιμώτατος. Idem.

Πεμφθεὶς δὲ] Πεμφθείς τε Cod. Petav. Idem.

Δύο] Istud δύο pertinet ad comma proximum. Vid. nos in Lysiæ Vita. Idem.

Θρασύλαιον] Θρασυδαῖον alii. Idem.

Ὀγδοήκοντα] Mira hæc differentia, ὀγδοήκοντα τρία ἔτη βιοὺς — ἤ, ὥς τινες, ὑπὲρ ὀγδοήκοντα. Hæccine exspectabas ab ἀκριβείᾳ Plutarchi? Idem.

Ἡττῆσθαι] Ἡττηθῆναι Cod. Petav. Idem.

Ἔστι δ' αὐτοῦ] F. ἔστι δ' αὐτοῦ καὶ ὑπὲρ τοῦ ψηφίσματος ὃ ἐγράψατο Ἀρχῖνος (sc. παρανόμων) τὴν πολιτείαν αὐτοῦ περιελών. Idem.

Τοῖς πολλοῖς] Vel glossa est ad τοῖς ἰδιώταις, vel legendum τοὺς πολλοὺς (λόγους sc.) vel τοὺς πλείους, ut Photius. Idem.

Δημηγορία] F. δημηγορίαι. Idem.

Σωκράτους] Καὶ Σωκράτους ἀπολογία. Cod. Petav. Idem.

Δημοσθένης] Hæc ex Athenæo l. 13. Idem.

Καλλίππης] In MSS. nonnullis ὦ Καλλίππης, in metro quarto pro Ἐν κόσμοισι Cod. Petav. habet Ἐν κόσμησι. in sexto, idem Cod. καταφθιμένων. Idem. De hoc Epigrammate vid. supra p. 59.

Τὸν γὰρ ἐς ἄλλο σχῆμα μεθαρμοσθέντα, καὶ ἄλλοις
Ἐν κόσμοισι βίου σῶμα λαβόνθ' ἕτερον,
Δεῖ σ' ἀρετῆς κήρυκα τεκεῖν τινὰ Λυσιδάϊμνον,
Δόντα καταφθίμενον καὶ σοφῷ ἀθάνατον·
Ὅς τότ' ἐμῆς ψυχῆς δεῖξαι φιλέταιρον ἅπασι,
Καὶ τὴν τοῦ φθιμένου πᾶσι βροτοῖς ἀρετήν.

Συνέγραψε δὲ λόγον καὶ Ἰφικράτει τὸν μὲν πρὸς Ἁρμόδιον, τὸν δὲ προδοσίας κρίνων Τιμόθεον, καὶ ἀμφοτέρους ἐνίκα. Ἀναδεξαμένου δὲ Ἰφικράτους τὰς τοῦ Τιμοθέου πράξεις, ταῖς εὐθύναις ἀναλαβὼν τὴν τῆς προδοσίας αἰτίαν ἀπολογεῖται διὰ τοῦ Λυσίου λόγου. καὶ αὐτὸς μὲν ἀπελύθη, ὁ δὲ Τιμόθεος ἐξημιώθη πλείστοις χρήμασιν. ἀνέγνω δὲ καὶ ἐν τῇ Ὀλυμπιακῇ πανηγύρει λόγον μέγιστον, διαλλαγέντας τοὺς Ἕλληνας καταλῦσαι Διονύσιον.

ΛΥΣΙΟΥ ΒΙΟΣ.

EX PHOTIO COD. CCLXI.

lxxx Ἀνεγνώσθησαν Λυσίου λόγοι διάφοροι. φέρονται δ' αὐτοῦ εἰκοσιπέντε καὶ τετρακόσιοι, ὧν τοῖς γνησίοις τρεῖς καὶ τριάκοντα καὶ διακόσιοι ἐγκρίνουσι. ἐν οἷς δὶς μόνον τὸ ἔλαττον ἐνεγκεῖν τῇ λέξει πρὸς τοὺς ἀνταγωνιστὰς πολλάκις ἀγωνισάμενος λέγεται. ἔστι δὲ τοῖς λόγοις βραχύτατός τε καὶ πιθανώτατος, καὶ τῷ δοκεῖν μὴ δεινῶς λέγειν, εἴπερ τις ἄλλος δεινότατος. ἀλλὰ γὰρ καὶ εὔκολος εἶναι δοκῶν, οὐδὲν ἔλαττον δυσμίμητος ἐπιδείκνυται. τοὺς μέντοι γε τῶν λόγων πλείους ἰδιώταις ἐκδεδωκέναι λέγεται. συγκεφαλαιοῦσι δὲ τοὺς λόγους αὐτοῦ δημηγορίαι, ἐπιστολαὶ, ἐγκώμια, ἐπιτάφιοι, ἐρωτικοὶ, καὶ Σωκράτους ἀπολογία. ἔστι μὲν ἐν οὐκ ὀλίγοις αὐτοῦ λόγοις ἠθικός. γίνεται δὲ κατὰ τὴν διάνοιαν ὁ ἠθικὸς, ὅταν χρηστὴν ἔχῃ προαίρεσιν, καὶ πρὸς τὰ βελτίω ῥέπουσαν. ὅθεν οὐ χρὴ ψιλῶς τὰ πραχθέντα λέγειν, ἀλλὰ καὶ τὴν γνώμην συνάπτειν, μεθ' ἧς ἐπράττετο ἕκαστον. οἷον ἂν μὲν χαλεπὰ εἴη, καὶ πρὸς φίλους ἢ ἄλλως μετρίους, τὴν ἀνάγκην αἰτιᾶσθαι, ἂν δὲ ἀμείνω, τὴν προαίρεσιν. αὕτη δὲ μάλιστα πιθανὴ γίνεται, εἰ τὴν αἰτίαν προσλάβοι. τὰς μέντοιγε αἰτίας οὐ χρὴ τοῦ λυσιτελοῦς ἕνεκα παραλαμβάνειν. φρονίμου γὰρ μᾶλλον ἢ χρηστοῦ καὶ εὐ-

Κρίνων] Pro κρίνων idem Cod. κρίνον, lege κρίνοντι, revocata syllaba τι ex voce sub-sequenti. Ἰφικράτει — κρίνοντι Τιμόθεον. Nihil verius. Taylor.

γνώμονος τὰ τοιαῦτα. χαλεπὸς δὲ ὁ τρόπος φυλάξαι, διὸ καὶ Λυσίας ἐν αὐτῷ φαίνεται πολλάκις διαμαρτάνων. θαυμάζονται μέντοι γε αὐτοῦ ἄλλοι λόγοι καὶ δὴ καὶ ὁ πρὸς Διογείτονα ἐπιτροπῆς· πιθανήν τε γὰρ καὶ καθαρὰν τὴν διήγησιν ποιεῖται. ἀλλ' οὐκ εὐθὺς ἐπὶ τὰς αὐξήσεις καὶ τὰς δεινώσεις, ὅπερ πολλοὶ πάσχουσιν, ὑπάγεται. καὶ γὰρ οὐδ' ἔστιν οἰκεῖα τὰ τοιαῦτα τῆς πρώτης διδασκαλίας τοῦ πράγματος, ἀλλ' ἐν τοῖς μετὰ ταῦτα χώραν ἔχει καταλέγεσθαι. καὶ πολλὴν δὲ καθαρότητα καὶ σαφήνειαν ἔν τε τοῖς πράγμασι καὶ ταῖς λέξεσιν ἀπ' αὐτῆς τῆς τοῦ λόγου προβάλλεται ἀρχῆς. ὥςπερ καὶ τὸ σχῆμα κατ' εὐθεῖαν ἁρμόζον ἀφηγήσει, καὶ τὸ μηδὲν τῶν ἔξωθεν συνεφέλκεσθαι. τὸ δὲ τῆς ἁρμονίας, αὐτοῦ κάλλος οὐ παντός ἐστιν αἰσθάνεσθαι, καὶ γὰρ δοκεῖ μὲν ἁπλῶς καὶ ὡς ἔτυχε συγκεῖσθαι, εἰς ὑπερβολὴν δὲ κόσμου κατεσκεύασται. καὶ ἁπλῶς, ὁ λόγος ἄξιος θαυμάσαι κατά τε τὰ σχήματα καὶ τὰ νοήματα, καὶ τὰ ὀνόματα, καὶ τὴν ἐναρμόνιον τούτων συνθήκην, καὶ τὴν εὕρεσιν καὶ τάξιν τῶν ἐνθυμημάτων τε καὶ ἐπιχειρημάτων ἀμφιβάλλεται μὲν ὁ παρ' ἐνίοις περὶ τοῦ σηκοῦ λόγος, ὁ σηκὸς δὲ νῦν εἶδός ἐστιν ἱερᾶς ἐλαίας. ἀλλ' ὅτι μὲν γνήσιος Λυσίου ἔκ τε τῶν κεφαλαίων δῆλον, καὶ ἐκ τῶν περὶ αὐτοῦ ἐπιχειρημάτων, ἐξ αὐτοῦ γε τοῦ προοιμίου, τῆς τε διηγήσεως, καὶ τοῦ ἐπιλόγου. πάνυ γὰρ δαιμονίως, καὶ κατὰ τὴν εἰθισμένην τῷ ἀνδρὶ ἐν τῇ ἁπλότητι lxxxi
δεινότητά ἐστιν ἐξειργασμένα ταῦτα καὶ τὸ κατ' ἐνθύμημα, ἀλλὰ μὴ κατ' ἐπιχείρημα προάγειν τὰς ἀποδείξεις, τοῦ Λυσίου μάλιστα τὸ ἰδίωμα ἀπαγγέλλει, ἀλλὰ καὶ τὸ μὴ καθ' ἓν διατρίβοντα μηκύνειν τὸν λόγον, τῆς τοῦ Λυσίου ἐστὶν ἀκριβείας· καὶ τὸ εὐπαγὲς τῶν λόγων καὶ τὸ διὰ βραχύτητος πολλὴν παρέχειν ἡδονήν· ὃ μετά γε Δημοσθένην οὗτος μόνος τῶν ἄλλων ῥητόρων φαίνεται κατορθώσας· καὶ τὸ κάλλος δὲ τῆς διατυπώσεως, ἐν ᾧ μήτε Πλάτωνος, μήτε Δημοσθένους, μήτε Αἰσχίνου τὸ ἔλαττόν ἐστιν ἀπηνεγμένος. ἰδίωμα δὲ Λυσίου, καὶ τὸ τὰς ἀντιθέσεις προάγειν, μηδαμῶς μὲν ἐμφαινούσας τὸ ἐπιβεβουλευμένον, τὸ δὲ ὑπ' αὐτῶν τῶν πραγμάτων ἐπεσπασμένον δεικνύειν. Τεκμήριον δὲ τῆς Λυσιακῆς δυνάμεως, καὶ τὸ ἐν πάσῃ τῇ περιόδῳ τῶν κώλων εὐάρμοστον, καὶ μετὰ καθαρότητος εὐανθές. Παῦλος δέ γε ὁ ἐκ Μυσίας, τόν τε περὶ τοῦ σηκοῦ λόγον, οὐδὲν τῶν εἰρημένων συνιεὶς, τῆς τε γνησιότητος τῶν Λυσιακῶν ἐκβάλλει λόγων· καὶ πολλοὺς καὶ καλοὺς ἄλλους εἰς νόθους ἀποῤῥιψάμενος πολλῆς καὶ μεγάλης τοὺς ἀνθρώπους ὠφελείας ἀπεστέρησεν, οὐχ εὑρισκομένων ἔτι τῶν ὑπὸ διαβολὴν πεσόντων. ἅπαξ γὰρ ἀποκριθέντες παρεωράθησαν, ἐπικρατεστέρας τῆς διαβολῆς ὥςπερ καὶ ἐπ' ἄλλων πολλῶν, ἢ τῆς

'Αμφιβάλλεται μὲν ὁ παρ'] F. ἀμφιβάλλεται μὲν παρ' ἐνίοις ὁ π. τ. σ. λόγος. TAYLOR.

ἀληθείας γεγενημένης. Ἔστι δὲ ὁ Λυσίας δεινὸς μὲν παθήνασθαι, ἐπιτήδειος δὲ τοὺς πρὸς αὔξησιν διαθεῖναι λόγους. Τινὲς μὲν οὖν τῶν περὶ τοὺς ῥητορικοὺς διατριβόντων λόγους οὐκ ὀρθῶς ὑπήχθησαν εἰπεῖν περὶ Λυσίου, ὡς ἀποδεῖξαι μὲν τὰ ἐγκλήματα, παρ' ὅντινα οὖν τῶν παλαιῶν ἀνδρῶν, τὸ προκεκριμένον ἔχει· αὐξῆσαι δὲ ταῦτα πολλῶν ἐνδεής. καὶ γὰρ ἐλέγχονται φανερῶς ὑπὸ τῶν αὐτοῦ λόγων, πολὺ τῆς ἐπ' αὐτὸ διασφαλλόμενοι κρίσεως· καὶ μάλιστά γε τούτους ὁ κατὰ Μνησιπτολέμου διελέγχει. θαυμαστῶς γὰρ τὴν κατηγορίαν πρὸς μέγεθος οὗτος ηὔξησε. Καικίλιος δὲ ἁμαρτάνει, εὑρετικὸν μὲν τὸν ἄνδρα, εἴπερ ἄλλον τινὰ, συνομολογῶν, οἰκονομῆσαι δὲ τὰ εὑρεθέντα οὐχ οὕτως ἱκανόν. καὶ γὰρ κἂν τούτῳ τῷ μέρει τῆς ἀρετῆς τοῦ λόγου οὐδενὸς ὁρᾶται φαυλότερος. Εἶδε δὲ μειράκιον Δημοσθένην ὄντα· παῖς δὲ γέγονεν ὁ Λυσίας Κεφάλου τοῦ Λυσανίου τοῦ Κεφάλου, γένος μὲν Συρακούσιος, μετανάστης δὲ γεγονὼς εἰς Ἀθήνας, πόθῳ τε τῆς πόλεως, καὶ τῆς Περικλέους τοῦ Ξανθίππου φήμης. ἐν ᾗ τὰ μὲν πρῶτα συνεπαιδεύετο τοῖς ἐπιφανεστάτοις τῶν Ἀθηναίων· ὕστερον δὲ, τὴν εἰς Σύβαριν ἀποικίαν στελλούσης τῆς πόλεως ᾤχετο καὶ αὐτὸς σὺν τῷ πρεσβυτάτῳ τῶν ἀδελφῶν Πολεμάρχῳ, ἐφ' ᾧ τοῦ πατρῴου μετασχεῖν κλήρου. ἔτος δὲ πέντε καὶ δέκατον ἦγε, καὶ διέτριβεν ἀκροώμενος Τισίου τε καὶ Νικίου τῶν Συρακουσίων, οἰκίαν δὲ κατασκευασάμενος καὶ κλήρου τυχὼν ἐπολιτεύετο τῶν πολλῶν οὐκ ἐνδεέστερον, ἕως Κλεάρχου τοῦ Ἀθήνησιν ἄρχοντος. τῷ δὲ ἑξῆς ἐνιαυτῷ Ἀττικίζειν αἰτιαθεὶς μεθ' ἑτέρων τριῶν ἐξέπεσε τῆς πατρίδος. Ἀθήνησι δὲ παραγεγονὼς, τῶν Τετρακοσίων τὴν πόλιν ἐχόντων, διέμεινεν αὐτόθι· τῶν Τριάκοντα δὲ τὴν πόλιν ἀντικατασχόντων, ἑπτὰ μὲν ἔτη διέμεινεν· ἀφαιρεθεὶς δὲ τὴν οὐσίαν καὶ τὸν ἀδελφὸν Πολέμαρχον ἀποβαλὼν, αὐτὸς μόλις διαδρὰς τὸν ἐπικρεμάμενον ὄλεθρον διῆγεν ἐν Μεγάροις. Τῶν δ' ἀπὸ Φυλῆς ἐπιθεμένων τῇ καθόδῳ χρησιμώτατος ἁπάντων γέγονε τῇ πράξει. χρήματά τε γὰρ αὐτὸς δραχμὰς δισχιλίας παρέσχε, καὶ ἀσπίδας διακοσίας. σταλεὶς δὲ σὺν Ἕρμωνι, ἐπικούρους τε ἐμισθώσατο τριακοσίους, καὶ Θρασύδαιον τὸν Ἠλεῖον ἔπεισε, ξένον ὄντα, αὐτῷ δύο τάλαντα παρασχεῖν. ἐφ' οἷς γράφει μὲν μετὰ τὴν κάθοδον ὁ Θρασύβουλος πολιτείαν αὐτῷ, ὁ δὲ δῆμος ἐκύρωσε τὴν δωρεάν. Ἀρχῖνος δὲ διὰ τὸ ἀπροβούλευτον εἰσαχθῆναι τὸ ψήφισμα, γράφεται γραφὴν παρανόμων τὴν δωρεάν. καὶ ἐπεὶ κατεγνώσθη τὸ ψήφισμα, τῆς μὲν πολιτείας ὁ Λυσίας ἀπελαύνεται, τὸν λοιπὸν δὲ χρόνον κατεβίω ἰσοτελὴς ὤν. καὶ τελευτᾷ αὐτόθι, τρία καὶ ὀγδοήκοντα ἔτη γεγονώς. οἱ δὲ ἀφαιροῦσιν αὐτοῦ ἑπτά.

Τριῶν] Immo τριακοσίων, ut est in Dionysio, atque uti emendavi in Plutarcho. TAYLOR.

ΛΥΣΙΟΥ ΒΙΟΣ.

EX SUIDA.

Λυσίας Κεφάλου Συρακούσιος, ῥήτωρ· μαθητὴς Τισίου καὶ Νικίου· lxxxii
εἷς τῶν μετὰ Δημοσθένους δέκα ῥητόρων. Ἐτέχθη δ' ἐν Ἀθήναις, μετοικήσαντος τοῦ Κεφάλου ἐκεῖσε· γεγονὼς δὲ ἐτῶν ιέ ἐς Θουρίους ᾤχετο σὺν ἀδελφοῖς δύο κοινωνήσων τῆς ἀποικίας· εἶτα ἐκπεσὼν ἐκεῖθεν ἐπ' Ἀττικισμῷ ἐπανῆλθεν ἐς Ἀθήνας, ἄγων ἔτος μζ'. λόγοι δὲ αὐτοῦ λέγονται εἶναι γνήσιοι, ὑπὲρ τοὺς τ'. καὶ ἕτεροι πρὸς τούτοις ἀμφιδοξούμενοι. Τῷ δὲ καθαρῷ τῆς φράσεως οὐδένα ἔσχε μιμητὴν, πλὴν Ἰσοκράτους. ἔγραψε δὲ καὶ τέχνας ῥητορικὰς, ἐγκώμιά τε, καὶ ἐπιταφίους, καὶ ἐπιστολὰς ζ'· μίαν μὲν πραγματικὴν, τὰς δὲ λοιπὰς ἐρωτικάς· ὧν αἱ πέντε πρὸς μειράκια.

ΛΥΣΙΟΥ ΒΙΟΣ.

EX LEXICO INEDITO EUDOCIÆ N. CCLXXIV. BIBL. COLBERTINÆ, NUNC REGIÆ, PARISIENSIS.

Περὶ τοῦ Λυσίου.

Λυσίας Κεφάλου Συρακούσιος ῥήτωρ, μαθητὴς Τισίου καὶ Νικίου, εἷς τῶν μετὰ Δημοσθένους δέκα ῥητόρων· λόγοι δὲ αὐτοῦ λέγονται εἶναι γνήσιοι ὑπὲρ τοὺς τ'. καὶ ἕτεροι πρὸς τούτους (l. τούτοις) ἀμφιδοξούμενοι. Τῷ δὲ καθαρῷ τῆς φράσεως οὐδένα ἔσχε μιμητὴν πλὴν Ἰσοκράτους. Ἔγραψε καὶ τέχνας ῥητορικὰς, καὶ δημηγορίας, ἐγκώμιά τε καὶ ἐπιταφίους, καὶ ἐπιστολὰς ζ'· μίαν μὲν πραγματικὴν, τὰς δὲ λοιπὰς ἐρωτικάς.

TESTIMONIA VETERUM

DE LYSIA.

CICERO.

lxxxiii 1. *De Orat.* 118. Dissertissimus Orator Lysias.

3. *De Orat.* 16. Suavitatem Isocrates, subtilitatem Lysias, acumen Hyperides, sonitum Æschines, vim Demosthenes habuit.

In Brut. 17. Tum fuit Lysias, ipse quidem in causis forensibus non versatus, sed egregie subtilis Scriptor atque elegans, quem jam prope audeas Oratorem perfectum dicere. (Nam plane quidem perfectum et cui nihil admodum desit, Demosthenem facile dixeris.) Nihil acute inveniri potuit in iis causis, quas scripsit, nihil, ut ita dicam, subdole, nihil versute, quod ille non viderit: nihil subtiliter dici, nihil presse, nihil enucleate, quo possit fieri aliquid limatius: nihil contra grande, nihil incitatum, nihil ornatum vel verborum gravitate vel sententiarum, quo quidquam esset elatius.

Ibid. 31. Quodammodo est nonnulla in iis etiam inter ipsos [*Catonem sc. et Lysiam*] similitudo. Acuti sunt, elegantes, faceti, breves. Sed ille Græcus ab omni laude felicior. Habet enim certos sui studiosos, qui non tam habitus corporis opimos, quam gracilitates consectentur; quos, valetudo modo bona sit, tenuitas ipsa delectat: quanquam in Lysia sæpe sunt etiam lacerti, sic ut fieri nihil possit valentius.

lxxxiv *Orat.* 15. Dicat igitur Attice venustissimus ille Scriptor ac politissimus Lysias. Quis enim id possit negare? dum intelligamus hoc esse Atticum in Lysia, non quod tenuis sit atque inornatus, sed quod nihil habeat insolens aut ineptum.

Ibid. 16. Qui Lysiam sequuntur, causidicum quendam sequuntur, non illum quidem amplum atque grandem, subtilem et elegantem tamen, et qui in forensibus causis possit præclare consistere.

Ibid. 132. Dum imitari Lysiam vult, alterum pene Demosthenem.

De optimo genere Oratorum. Imitemur, si poterimus, Lysiam, et ejus quidem tenuitatem potissimum. Est enim multis in locis grandior: sed quia et privatas ille plerasque, et eas ipsas aliis, et parvarum rerum causulas scripsit, videtur esse jejunior, quoniam se ipse consulto ad minutarum genera causarum limaverit.

DIONYSIUS HALICARNASSENSIS.

De Oratoribus. Ὁ Λυσιακὸς λόγος πρὸς το χρήσιμον καὶ ἀναγκαῖον ἐστὶν αὐτάρκης, καὶ τὸ μὲν αὐχμηρὸν ἐκπεφευγὼς, πάνυ δὲ σύντομος καὶ στενὸς κατὰ τὴν ἀπαγγελίαν, ἔτι δὲ καὶ κομψὸς καὶ ἀληθὴς, καὶ τῶν Ἀττικισμῶν εὔχαρις. οὐ μὴν συνεχῶς αὐξητικὸς, πλὴν τοῦ σκοποῦ λεληθότως ἐπιτυγχάνων, μετὰ κεκραμένης τῆς κατὰ τὴν χάριν ἡδονῆς· ὡς ἀναγινωσκόμενον μὲν, οὐχ ὅλον [l. εὔκολον] νομίζεσθαι, χαλεπὸν δὲ εὑρίσκεσθαι ζηλοῦν πειρωμένοις. μάλιστα δὲ ἐπιτευκτικὸς ἐν ταῖς διηγήσεσιν· ἰσχνότητι γὰρ τῆς φράσεως ασφῆ καὶ ἀπηκριβωμένην ἔχουσι τὴν τῶν πραγμάτων ἔκθεσιν.

In Judicio de Isæo §. 3. Ἡ μὲν γὰρ [Λυσίου λέξις] ἀφελής τε καὶ ἠθικὴ μᾶλλον ἐστίν· σύγκειταί τε φυσικώτερον, καὶ ἐσχημάτισται ἁπλούστερον· ἡδονῇ τε καὶ χάριτι πολλῇ κέχρηται. ἡ δὲ Ἰσάιου τεχνικωτέρα, κ. τ. λ.

Ibid. §. 16. Τοῦ Λυσίου μὲν οὖν τις ἀναγινώσκων τὰς διηγήσεις, lxxxv
οὐδὲν ἂν ὑπολάβῃ λέγεσθαι κατὰ τέχνην ἢ πονηρίαν, ἀλλ᾽ ὡς φύσις καὶ ἡ ἀλήθεια φέρει· αὐτὸ τοῦτο ἀγνοῶν, ὅτι τῆς τέχνης τὸ μιμήσασθαι τὴν φύσιν αὐτῆς μέγιστον ἔργον ἦν.

Ibid. §. 18. Δοκεῖ Λυσίας μὲν, τὴν ἀλήθειαν διώκειν μᾶλλον· Ἰσαῖος δὲ, τὴν τέχνην· καὶ ὁ μὲν στοχάζεσθαι τοῦ χαριέντως· ὁ δὲ, τοῦ δεινῶς.

Ibid. §. 20. Οὐδένα ἡγούμενος οὔτε ἀκριβέστερον, οὔτε χαριέστερον γεγονέναι Λυσίου.

Ibid. Τούτων δή φημι τῶν ἀνδρῶν, καὶ τῶν παραπλησίων τούτοις, διαφέρειν οἰόμενος Λυσίαν, καὶ ὥσπερ ἀρχέτυπον ὑπογράφων ὑπερέχειν ἐκεῖνον τὸν ἄνδρα, ταύτης τῆς προαιρέσεως τῶν λόγων ἐποιησάμην κανόνα.

In Judicio de Dinarcho §. 6. Λυσίας ἔν τε τοῖς ἰδίοις καὶ τοῖς δημοσίοις ἀγῶσιν, αὐτὸς αὐτῷ ὁμολογούμενός ἐστιν, εἴς τε τὸν λεκτικὸν τρόπον, καὶ τὴν τῶν ὀνομάτων σαφήνειαν, καὶ σύνθεσιν, αὐτοφυῆ μὲν καὶ λείαν εἶναι δοκοῦσαν, παντὸς δὲ λόγου κατὰ τὴν ἡδονὴν διαφέρουσαν.

Ibid. §. 7. Ἔστωσαν δή τινες ἐπιγραφόμενοι λόγοι, καὶ ὄντες, Δεινάρχου, πολλὴν ἔχοντες πρὸς τὰ Λυσιακὰ ὁμοιότητα· Τούτων ὁ βουλόμενος ποιεῖσθαι τὴν διάγνωσιν, πρῶτον μὲν τὴν ἰδιότητα τοῦ ἀνδρὸς ἐκείνου θεωρείτω· ἔπειτ᾽, ἐὰν μὲν ἀρετήν τε καὶ χάριν τοῖς λόγοις ἐπανθοῦσαν ἴδοι, καὶ τὴν τῶν ὀνομάτων ἐκλογὴν ἐνοῦσαν, καὶ τὸ μηδὲν ἄψυχον εἶναι τῶν λεγομένων, θαῤῥῶν λεγέτω τούτους Λυσίου. ἐὰν δὲ μήτε χαρίεν ὅμοιον εὑρίσκῃ, μήτε τὸ πιθανὸν, καὶ τὸ τῶν ὀνομάτων ἀκριβὲς, μήτε τῆς ἀληθείας ἁπτόμενον, ἐν τοῖς Δεινάρχου λόγοις αὐτοὺς ἐάτω.

De admiranda vi dicendi in Demosthene §. 2. Ἐτελείωσε δ᾽ αὐτὴν [simplicem ideam orationis] καὶ εἰς ἄκρον ἤγαγε τῆς ἰδίας ἀρετῆς Λυσίας ὁ Κεφάλου, κατὰ τοὺς αὐτοὺς χρόνους Γοργίᾳ τε καὶ Θουκυδίδῃ γενόμενος.

Ibid. 11. Ἃ δὲ παρὰ τὸν *** καὶ ἀκριβῆ, καὶ καθαρὸν, καὶ ζηλωτὸν, lxxvi

ἀπὸ τοῦ διαλάμψαντος ἐν αὐτῷ· Λυσιακὸς δ' ἂν εἰκότως λέγοιτο· τοιαῦτα.

Ibid. 13. Ταῦτα οὐ καθαρὰ καὶ ἀκριβῆ καὶ σαφῆ καὶ διὰ τῶν κυρίων καὶ κοινῶν ὀνομάτων κατεσκευασμένα, ὥσπερ τὰ Λυσίου; ἐμοὶ μὲν γὰρ ὑπάρχειν δοκεῖ. Τί δέ, οὐχὶ σύντομα, καὶ στρογγύλα, καὶ ἀληθείας μεστὰ, καὶ τὴν ἀφελῆ καὶ ἀκατάσκευον ἐπιφαίνοντα φύσιν, καθάπερ ἐκεῖνα; Πάντων μὲν οὖν μάλιστα. Οὐχὶ δὲ καὶ πιθανὰ, καὶ ἐν ἤθει λεγόμενά τινι, καὶ τὸ πρέπον τοῖς ὑποκειμένοις προσώποις τε καὶ πράγμασι φυλάττοντα; ἡδονῆς δὲ ἄρα, καὶ πειθοῦς, καὶ χαρίτων, καιροῦ τε καὶ τῶν ἄλλων, ἃ πᾶσι τοῖς Λυσιακοῖς ἐπανθεῖ λόγοις, ἆρα οὐχὶ πολλὴ μοῖρα;

Ibid. Φυσική τις ἐπιτρέχει τοῖς Λυσίου λόγοις εὐστομία καὶ χάρις, ᾗ προὔχει, πλὴν Δημοσθένους, τῶν ἄλλων ῥητόρων.

In Judicio de Thucydide 53. Ἀντιφῶν, Λυσίας, Ἰσοκράτης, οἱ πρωτεύσαντες τῶν τότε ῥητόρων.

DIO CHRYSOSTOMUS.

Περὶ λόγου ἀσκήσεως. p. 256. Edit. Morell. 1604.

Λυσίαν δὲ βραχύτητι καὶ ἁπλότητι καὶ συνεχείᾳ διανοίας, καὶ τῷ λεληθέναι τὴν δεινότητα.

QUINTILIANUS.

Instit. Orat. III. 8. Neque enim minus viciosa est Oratio, si ab homine, quam si a re, cui accommodari debuit, dissidet: ideoque Lysias optime videtur in iis, quæ scribebat indoctis, servasse veritatis fidem.

Ibid. IX. 4. Neque mihi, quamlibet magnus Auctor, Cicero persuaserit, Lysiam, Herodotum, Thucydidem parum studiosos ejus
lxxxvii fuisse. Genus fortasse sint secuti non idem, quod Demosthenes aut Plato, quanquam et ii ipsi inter se dissimiles fuerunt. Nam neque illud in Lysia dicendi textum tenue atque rarum lætioribus numeris corrumpendum erat. Perdidisset enim gratiam, quæ in eo maxima est, simplicis atque inaffectati coloris: perdidisset fidem quoque.

Ibid. X. 1. His ætate Lysias major, subtilis atque elegans, et quo nihil, si Oratori satis sit docere, quæras perfectius. Nihil enim est inane, nihil arcessitum, puro tamen fonti, quam magno flumini propior.

Ibid. XI. 1. Lysias, qui tum in dicendo præstantissimus habebatur.

Ibid. XII. 10. Nam quis erit hic Atticus? Sit Lysias, hunc enim amplectuntur amatores istius nominis modum.

Ibid. Quid Periclea? Similemne credimus Lysiacæ gracilitati.

GELLIUS.

II. 5. Favorinus de Lysia et Platone solitus est dicere, Si ex Platonis, inquit, oratione verbum aliquod demas mutesve, atque id commodissime facias, de elegantia tantum detraxeris; si ex Lysiæ, de sententia.

HERMOGENES.

De formis Orat. tom. 2. p. 338. Edit. Port.

Πολλὰ τῶν τοιούτων ἐν ἰδιωτικοῖς τὰ παραδείγματα, καὶ πλείονά γε παρὰ τῷ Λυσίᾳ καὶ τῷ Ὑπερίδῃ. φύσει γὰρ οἱ ἄνδρες ἠθικώτεροι.

Ibid. p. 366. *Τοῦ δ' αὖ μὴ δοκοῦντος μὲν εἶναι δεινοῦ, ὄντος δὲ ὡς ἀληθῶς τοιούτου, παραδείγματά εἰσι σχεδὸν ἅπαντες οἱ ἰδιωτικοὶ τοῦ Δημοσθένους λόγοι, καὶ τῶν δημοσίων δὲ οὐκ ὀλίγα μέρη· τά γε μὴν τοῦ Λυσίου θαῤῥῶν ἴσως εἴποι τις ἂν, ὅτι πάντα.*

Ibid. p. 386. *Πλεῖστόν γε μὴν αὐτοῦ* [i. e. *λόγου ἁπλῶς πολιτικοῦ*] lxxxviii *μέτεστι Λυσίᾳ τε καὶ Ἰσαίῳ καὶ Ὑπερίδῃ. διὸ δὴ καὶ μάλιστά εἰσι πιθανοί. διαφέρουσι δὲ οὗτοι ἀλλήλων, ὅτι τῷ μὲν Λυσίᾳ μετὰ τούτων, καὶ τὰ τῆς ἐπιμελείας μετρίως ὕπεστι, καὶ τὸ τοῦ κόσμου σφόδρα ἀνεμφάτως.*

LONGINUS.

Sect. XXXIV. *Ὁ μὲν γὰρ Ὑπερίδης πρὸς τῷ πάντα, ἔξω γε τῆς συνθέσεως, μιμεῖσθαι τὰ Δημοσθένεια κατορθώματα, καὶ τὰς Λυσιακὰς ἐκ περιττοῦ περιείληφεν ἀρετάς τε καὶ χάριτας.*

JULIANUS.

Epist. XLII. *Τί οὖν δὲ Ὁμήρῳ μέντοι καὶ Ἡσιόδῳ καὶ Δημοσθένει μέντοι, καὶ Ἡροδότῳ καὶ Θουκυδίδῃ καὶ Ἰσοκράτει, καὶ Λυσίᾳ θεοὶ πάσης ἡγοῦνται παιδείας.*

THEMISTIUS.

P. 329. Edit. Harduin. Par. 1684.

Καὶ τηνικαῦτα οὐ κατώκνεις οὐδὲ ἐδεδοίκεις μή τίς σε μειρακιεύεσθαι ὑπολάβοι ἁμιλλωμένην πρὸς Λυσίαν καὶ Θουκυδίδην.

MARCIANUS CAPELLA.

Lib. V. Post hos tamen in diversis agminibus Oratores emeriti, ac præ se ferentes insignium culmen meritaque linguarum Æschinem, Isocratem, Lysiamque conspiceres.

IOANNIS TAYLORI
LECTIONES LYSIACÆ.

Pag. ed. Tayl.

CAP. I.

675 Lysiæ plures. Lysias pro Lysippo. Emendantur Parœmiographi. Φιλοδικία Atheniensium. Curia ἐπὶ Δελφινίῳ. Apollo Delphinius. Plauti et Terentii Error. Demosthenes emendatus. Locus Varronis apud Nonium Marcellum fœdissimo errore liberatus. Molendinæ pœna, cetera.

Editioni nostræ coronidem jam impositurus, atque ocium nactus a labore omnium, quos unquam sumpsi, improbissimo, institui, ut primus essem, qui messi meæ falcem admoverem, ut quæ a me emendata aut elucidata sint, opera non indiligenti percurrerem. Eo sc. animo, ut, siquid a me inclementer nimis dictum sit, id pro indicto haberem: ambitiose, reciderem: ambigue, arguerem: siquid mutandum, notarem: ut obscurioribus lucem, ingeniosis (si tam magnificam orationem, benevole lector, non reformides) auctoritatem adderem; ut denique nonnullorum exspectationibus morem gererem, qui de arido nimis hoc notandi genere conquesti quædam præterea adferri volunt, quæ vel Auctoris indolem et scribendi genus, vel Gentis domi bellique instituta, vel Fori denique judiciorumque consuetudinem exponere atque illustrare possint. Quorum demum consilium eousque sum secuturus, ut me interea meæ operæ non pœniteret. Neque enim eo sum ab literis ocio, aut, quod isti fortasse verius esse existimaverint, ea ingenii cultura et lepore, ut mihi licere arbitrarer desidi inter delicatulos hodiernæ Criticæ litare, ad trutinam nescio quam imaginariam Auctorem nostrum exigere, troporum schematumque varietates indagare, Veneresque, ut aiunt, orationis expromendo bonam ætatem conterere bonamque chartam consumere. Novi profecto ex hoc aucupio facillime me meos labores ex fatali illo vico redempturum, ubi odores veneunt: at ego lævus eas semper in ambitione literaria partis secutus fuerim, ut talis mihi lectores contingere exoptarem, qualis amicos desumerem, paucissimos, sed cordatos. In hac quoque notularum mantissa pulchram satis opportunitatem mihimet comparasse videor, ut subductis probe rationibus et pensitato mecum meo commentandi charactere, nonnullorum hominum reprehensiones deprecarer, si qui id, quod in Criticorum laboribus maxime sit solenne, in nostris exspectarent: nempe, ut quos in eadem palæstra mecum desudasse conspexerim, eos omnis conviciis probrisque proscinderem, malaque ingererem multa. Meus longe aliter fuit animus et sententia, diuque mecum dolui, humanissima studia profitentis humana omnia a se aliena exi-

stimare. Veterum ea fuit sapientia, ut Mercurium Gratiis *πάρεδρον* locarent, *ὡς μάλιστα τοῦ λόγου τὸ συγκεχαρισμένον καὶ προσφιλὲς αἰτοῦντος.* Plutarch. Dissert. Moral. III. Quosnam ergo decebit magis ab omni acerbitate orationis abesse, atque (ut Plato de Xenocrate dixit) *ταῖς Χάρισι θύειν*, quam in liberalissimis disciplinis enutritos, in literis cultissimis exercitatos, qui denique in docendo flectendoque animum legentis non mediocrem artificii sui partem poni viderint? Unum quod attinet Andream Schottum Antuerpiensem, siquid a me intemperanter nimis excidit, siquid ejus in republica literaria existimatione indignum, aut mea in eadem novitate, habeto id omne mihi jam defervescente ingenio atque in se redeunte, serio displicuisse:

QVAE. HIC. VEL. ALIAS. SCRIPSI. DIXI. FECI. 676
EX. HVMANITATIS. OFFICIO. SCRIPTA. DICTA. FACTA. SVNTO.
QVAE. SECVS. INSCRIPTA. INDICTA. INFECTA. HABENTOR.

Ad Lysiam redeo, cujus rota currente adcrescebat *ὁμωνύμων* numerus. Adponatur itaque p. 3. ed. Tayl. (XVIII.) Lysias bis Ciliciæ Præses sub Diocletiano Imp. Vid. Surium de SS. historiis ad Aug. XXIII. et Octob. XXX. Ruinart. Act. Sincer. primorum Martyrum, Lipomannum, etc. (XIX.) Lysias natione Græcus, sub eodem Diocletiano et Licinio Impp. Armeniæ finibus tutandis cum exercitu præfectus. Vid. Bolland. de SS. MM. Sebastenis ad Feb. III. et alibi. (XX.) Lysias Christianus unus ex XI. fidelibus, qui Epistolam Actis Martyrum SS. Tarachi, Probi et Andronici præfixam consignaverunt. Ruinart. ad A. C. CCCIV. Lysiam interea, qui in nostra classe locum obtinet XII. debemus, ut monui, (p. 2.) Adagiorum Centuriatoribus. Vid. Lucil. Tarch. etc. *Βοῦς ἐν πόλει.* Nam si per bovem, *ὃν ἀνέθηκε Λυσίας ἐν Ἀκροπόλει*, intelligunt Tauri statuam, quæ Athenis in Arce visebatur, vehementer errant. Bos ille non erat Lysiæ, sed Senatus Areopagitici donarium. *Ἔστι δὲ καὶ ταῦρος ἀνάθημα τῆς βουλῆς τῆς ἐν Ἀρείῳ πάγῳ, ἐφ' ὅτῳ δὲ ἀνέθηκεν ἡ βουλή, πολλὰ ἄν τις ἐθέλων εἰκάζοι.* Pausan. Attic. c. 24. *Βοῦς ἐν πόλει· χαλκοῦς ὑπὸ τῆς βουλῆς ἀνατεθείς.* Hesych. Sed non ea statua, verum prodigium quondam, idque non Athenis, sed Romæ visum proverbio *Βοῦς ἐν πόλει*, auctoritatem dedit. Procop. de bello Gotthic. IV. 21. *Ἔλεγεν οὖν ὁ Ῥωμαῖος οὗτος, ὡς ἄρχοι μὲν Ἰταλίας ποτὲ Ἀταλάριχος ὁ Θευδορίχου θυγατριδοῦς· βοῶν δέ τις ἀγέλη ἐς Ῥώμην ὑπὸ τοῦτον τὸν χρόνον ἀμφὶ δείλην ὀψίαν ἐξ ἀγροῦ ἥκει διὰ τῆς ἀγορᾶς, ἣν φόρον Εἰρήνης καλοῦσι Ῥωμαῖοι — ἔστι δέ τις ἀρχαία πρὸ ταύτης δὴ τῆς ἀγορᾶς κρήνη, καὶ βοῦς ἐπὶ ταύτης χαλκοῦς ἕστηκε Φειδίου (οἶμαι) τοῦ Ἀθηναίου ἢ Λυσίππου ἔργον. ἀγάλματα γὰρ ἐν χώρῳ τούτῳ πολλὰ τούτοιν δὴ τοῖν ἀνδροῖν ποιήματα — ἕνα δὲ ταῦρον ἔφη τῶν τηνικάδε παριόντων εὐνοῦχον τῆς τε ἀγέλης ἀπολειπόμενον, καὶ ταύτης δὴ τῆς κρήνης ἐπιβατεύσαντα, καθύπερθε βοὸς τοῦ χαλκοῦ στῆναι· τύχῃ δέ τινι παριόντα τινὰ, Τοῦσκον γένος, κομιδῇ ἄγροικον δόξαντα εἶναι, ξυμβάλλοντα τὸ ποιούμενον φάναι (εἰσὶ γὰρ μαντικοὶ καὶ εἰς ἐμὲ Τοῦσκοι) ὡς εὐνοῦχός ποτε καταλύσει τὸν ἄρχοντα Ῥώμης.* Hæc Procopius. Nimirum hic est ille bos, quem Lysippus Sicyonius signis clarus, (de quo plurima Pausanias, Plinius, Horat. Propertius aliique) ex ære fecit, non Lysias consecravit. *Βοῦς Λυσίου* sc. pro *Βοῦς Λυσίππου*, sive ut in MSS. Codd. exarari solet *Λυσ^{ου}*, quo pacto nonnulli Codd. Steph. Byzantini pro *Λύσιππος*,

Λύσις habent. De nomine Lysiæ hæc dicta sunto. Causam autem hanc nostram, in qua de Eratosthenis nece quæstio agebatur, judicabant *'Εφέται*, viri sc. LI. *ἀριστίνδην* electi, qui ad Apollinis Delphinii judicabant *ἐπὶ τῶν ὁμολογούντων μὲν δεδρακέναι φόνους, κατὰ νόμους δέ.* De cæde enim apud Atheniensis præter Areopagum cognoscebat. I. Curia *ἐπὶ Παλλαδίῳ*, si erat involuntaria: II. *ἐπὶ Πρυτανείῳ*, si de Auctore non liquebat: III. *ἐν Φρεάττει*, ubi aliquis ob cædem involuntariam solum vertens nova interea teneretur: IV. *ἐπὶ Δελφινίῳ* denique, ubi quis jure ac recte cæsum contenderet. Nam, ut ait Cic. pro Milone—"An est quisquam, qui hoc ignoret, cum de homine occiso quæratur, aut negari solere omnino esse factum, aut recte ac jure factum esse defendi?" In hisce omnibus aio quæsitum esse de cæde. Ejus erat leporis scomma, quod in h. populum jaciebat Lucian. Icaro. Menip. *Καὶ ὁ Φοίνιξ δὲ ἐνεπορεύετο, καὶ ὁ Κίλιξ ἐλῄστευε, καὶ ὁ Λάκων ἐμαστιγοῦτο, καὶ ὁ 'Αθηναῖος ἐδικάζετο*: et Aristoph. Equit. 1313.

> *Εὐφημεῖν χρὴ καὶ στόμα κλείειν καὶ μαρτυριῶν ἀπέχεσθαι*
> *Καὶ τὰ δικαστήρια συγκλείειν, οἷς ἡ πόλις ἥδε γέγηθεν.*

De hisce Curiis plurima plurimi: optime omnium Demosth. c. Aristocr. et Poll. VIII. 10. Adjungant, quibus ea non satisfaciant Pausan. Attic. c. 28. Sigon. de Republica Athen. III. 2. et Meurs. Areop. cap. extr. ut de Lexicis taceam. Neque fuissem hic in propatulo moratus, ni magnis hominibus dubitationem vidissem injectam de loco, ubi agebatur causa. Neque denuo asseram has Curias ita fuisse provinciis distinctas, ut vel rerum necessitati vel diuturnitati temporis earum usus non aliquando cederet. Lege Demosth. c. Bœot. Isocr. Except. c. Callimach. et Valer. Max. VIII. 1. Sed quis ille Apollo Delphinius, cedo, et unde dictus? qui non solum Athenis hujusmodi ædis nactus est, de quibus vide Plutarch. in Theseo et Pausan. in Attic. verum etiam, ut constat ex *σχ.* in Pind. in honore fuit Æginensibus, et Mensi, Sacris et Ludis nomen dedit, atque
677 apud Chalcedensis itidem nactus est fanum sui cognominis; cujus postea in communionem adscitus T. Flaminius, ut liquet ex Plutarch. in vita.

Ο. ΔΗΜΟΣ. ΤΙΤΩΙ. ΚΑΙ. ΗΡΑΚΛΕΙ. ΤΟ. ΓΥΜΝΑΣΙΟΝ.
Ο. ΔΗΜΟΣ. ΤΙΤΩΙ. ΚΑΙ. ΑΠΟΛΛΩΝΙ. ΤΟ. ΔΕΛΦΙΝΙΟΝ.

Idque ego defunctum terra cœlestibus oris
Accipiam." TAYLOR.

Οἱ δὲ παῖδες αὐτοῦ ἔφευγον μὲν Εὐρυσθέα, etc.] Isocrates: οἱ δὲ παῖδες Ἡρακλέους, φεύγοντες τὴν Εὐρυσθέως ἔχθραν etc. Vide et confer totum locum cum hoc Lysiæ. Mox, αἰσχυνομένων μὲν τοῖς ἔργοις, φοβουμένων δὲ τὴν Εὐρυσθέως δύναμιν: verte, *quos quidem puduit factorum Eurysthei, potentiam vero ejus metuebant.* Τοῖς ἔργοις αἰσχυνομένων, sc. Εὐρυσθέως ἔργοις, non *Herculis,* ut male Interpres Brabantus, qui Activo sensu accepit Participium αἰσχυνομένων, oblitus loci istius infra, οὐχ ἧττον ταῖς συμφοραῖς αἰσχυνόμενοι, ἢ etc. et aliorum in hac Oratione. Paulo post, καὶ ἠξίουν ὑπὲρ τῶν ἀσθενεστέρων etc. Isocrates p. 100. ἡγούμεθα τοῖς ἀσθενεστέροις, καὶ παρὰ τὸ συμφέρον, βοηθεῖν, μᾶλλον ἢ τοῖς κρείττοσι, τοῦ λυσιτελοῦντος ἕνεκα, συναδικεῖν. Omnia eadem. MARKLAND.

Τοῖς ἔργοις] Id est, ἐπὶ τοῖς γιγνομένοις. pudebat quidem eos eorum, quæ fiebant; h. e. ab homine Græco in Græcos hæc statui exempla immanitatis, et Græcos non intercedere. Perinde est, sive cum Marklando ἔργα illa ad Eurystheum referas, ut sit *facinorum Eurysthei,* an cum cæteris quoque Græcis communices, qui Eurystheum ita inulto sævire in Heraclidas ipsisque sibi insultare sinerent, ut sit, *pudebat quidem Græcos ignaviæ suæ, et immemoris erga Herculem animi sui,* cujus liberos expellerent et pæne proderent hosti eorum. REISK.

Ἐπὶ τὸν βωμὸν] Displicet vehementer lectura Codd. Ioann. et Coisll. duorum, ἐπὶ τῶν βωμῶν. Non animadverterunt sacrilegi illi novatores, quibus ἐπὶ τὸν βωμὸν καθίζεσθαι nove et quasi parum grammatice dictum videbatur, unicam et celeberrimam Aram *Misericordiæ* sc. quam Heraclidarum fortunæ memoriæ consecrarunt, hic necessario intelligendam venire. Τῶν Ἀθηναίων μὴ ἐκδιδόντων αὐτῷ τοὺς Ἡρακλείδας πρὸς τὸν τοῦ ἐλεοῦ βωμὸν καταφυγόντας. σχ. ad Aristoph. Equit. 1148. Διωκόμενοι δὲ ἦλθον εἰς Ἀθήνας καὶ καθεσθέντες ἐπὶ τὸν τοῦ ἐλέου βωμὸν ἠξίουν βοηθεῖσθαι. Apollodor. Biblioth. l. 2. Ἐδέξαντο καὶ Ἀθηναῖοι Δήμητραν φεύγουσαν καὶ Διόνυσον μετοικοῦντα, καὶ τοὺς Ἡρακλέους παῖδας ἀλωμένους, ὅταν καὶ τὸν ἐλέου ἐστήσαντο βωμὸν, κ. τ. λ. Philostrat. Epist. 70. Πρὸς τὸν τοῦ ἐλέου βωμὸν τῶν Ἡρακλειδῶν προσπεφευγότων, Ἀθηναῖοι μὴ ἐκδιδόντες αὐτοὺς πρὸς Εὐρυσθέα πόλεμον ὑπέστησαν. Zenob. Cent. II. 61. "Postquam Hercules migravit e terris, nepotes ejus timentes insidias eorum, quos avus afflixerat, Athenis sibi primum Asylum, hoc est, *templum Misericordiæ,* collocarunt." Serv. ad VIII. Æn. 341. "Primi Heraclidæ condidere Asylum Athenis sub titulo Clementiæ." Pompon. Sabin. ad II. Æn. 761. Laudatissima fuit hæc ara et Atheniensibus in ingentem gloriam cessit, qui *primi* et quidem diutissime *soli* Aram Misericordiæ statuere. Ἀθηναίοις δὲ ἐν τῇ Ἀγορᾷ καὶ ἄλλα ἐστὶν οὐκ ἐς ἅπαντας ἐπίσημα, καὶ ἐλέου βωμὸς, ᾧ μάλιστα θεῶν ἐς ἀνθρώπινον βίον καὶ μεταβολὰς πραγμάτων, ὅτι ὠφέλιμος, μόνοι τιμὰς Ἑλλήνων νέμουσιν Ἀθηναῖοι. Pausan. Attic. c. 15. Καὶ οἱ πρῶτοι βωμὸν ἐλέου καθιδρυσάμενοι τοῦτον ἐν τῇ πόλει τῶν Συρακουσίων εὑρήσουσιν. Diod Sic. l. 13. p. m. 342. Εὐδοκιμῶ δὲ παρ' αὐταῖς, θάλατταν Ἑλληνικὴν διηγούμενος, καὶ τὰ τῶν Ἑλλήνων μυθολογῶν καλὰ, πῶς Ἠλεῖοι πανηγυρίζουσι, πῶς Δελφοὶ θεσπίζουσι, τίς ὁ παρ' Ἀθηναίοις ἐλέου βωμός. Philostrat. in v. Pollux. Porro autem credibile est hunc Ἐλεὸν non alium fuisse a Jove, qui Μειλίχιος, Ἱκέσιος et Ξένιος passim audit,

ζοντο· ἐξαιτουμένου δὲ αὐτοὺς Εὐρυσθέως, Ἀθηναῖοι οὐκ 70
ἠθέλησαν ἐκδοῦναι, ἀλλὰ τὴν Ἡρακλέους ἀρετὴν μᾶλλον
ᾐδοῦντο ἢ τὸν κίνδυνον τὸν ἑαυτῶν ἐφοβοῦντο, καὶ ἠξίουν 71
ὑπὲρ τῶν ἀσθενεστέρων μετὰ τοῦ δικαίου διαμάχεσθαι
μᾶλλον ἢ τοῖς δυναμένοις χαριζόμενοι τοὺς ὑπ' ἐκείνων ἀδι- 72
κουμένους ἐκδοῦναι. ἐπιστρατεύσαντος δ' Εὐρυσθέως μετὰ

et in Foro Civitatum poni solebat. Aliter non concordabunt verba Euripidis de his ipsis Heraclidis.

Ἱκέται δ' ὄντες ἀγοραίου Διὸς
Βιαζόμεσθα, καὶ στέφη μιαίνεται.

Heraclid. 70.

Hoc fortasse voluit σχ. Aristoph. Equit. 498. Ὡς Ζεὺς Ξένιος ἢ Μειλίχιος, ἢ Φίλιος, οὕτως Ἀγοραῖος. Cultu erat notabilis hujus cognominis Deus tum Athenis, Ἀγοραίου Διὸς βωμὸς Ἀθήνησιν. Hesych. Ὥσπερ ὁ δοθεὶς ἔτι παιδὸς ὄντος αὐτοῦ (Socrate) τῷ πατρὶ χρησμὸς ἀπεθέσπισεν. ἐᾶν γὰρ αὐτὸν ἐκέλευσεν ὅ,τι ἂν ἐπὶ νοῦν ἴῃ πράττειν, καὶ μηδὲ βιάζεσθαι, μηδὲ παράγειν, ἀλλ' ἐφιέναι τὴν ὁρμὴν τοῦ παιδὸς, εὐχόμενον ὑπὲρ αὐτοῦ Διῒ ἀγοραίῳ, καὶ Μούσαις. Plutarch. de gen. Socrat. Tum in exteris Civitatibus. Καὶ ἐμουνάρχησε χρόνον ἐπ' ὀλίγον· οἱ γάρ μιν Σελινούσιοι ἐπαναστάντες ἀπέκτειναν καταφυγόντα ἐπὶ Διὸς ἀγοραίου βωμόν. Herodot. Terpsich. 46. At non Selinuntis solum, sed Elidis, et in Sparta, alibique. V. Pausan. in Eliac. in Lacon. Æsch. Eumenid. 979. Tum autem in fide et clementia totus est Jupiter. Οἱ δεόμενοι προτεῖναι εἰώθασι Δία ἱκέσιον· οἱ δὲ συνοικοῦντες ἐφέστιον· οἱ δὲ φίλοι φίλιον· οἱ δὲ ἐν μιᾷ τάξει καὶ συμμορίᾳ καταλεγόμενοι ἑταιρεῖον· οἱ δὲ ξένοι ξένιον· οἱ δ' ἐν ὅρκοις συμφωνίας ποιοῦντες ὅρκιον· οἱ δ' ἀδελφοὶ ὁμόγνιον. σχ. Euripid. ad Hecub. 345. Περιημεκτέων δὲ τῇ συμφορῇ δεινῶς ἐκάλεε μὲν Δία καθάρσιον, μαρτυρόμενος τὰ ὑπὸ τοῦ ξείνου πεπονθὼς εἴη, ἐκάλεε δὲ ἐπίστιόν τε καὶ ἑταιρήϊον, τὸν αὐτὸν τοῦτον ὀνομάζων θεόν. Herodot. Clio, 44. Οὔτε γὰρ ξένων καὶ ἱκετῶν ἀδικίας ὁ ξένος (l. ξένιος) οὔτε γονέων ἀρὰς ὁ γενέθλιος οὕτω διώκει καὶ μέτεισι ταχὺ, ὡς κ. τ. λ. Plutarch. Amator. Post hæc quæ diximus ἐμφατικώτερον videbitur illud Luciani in Timone. Φίλος δε ἢ ξένος, ἢ ἑταῖρος, ἢ ἐλέου βωμὸς, ὕθλος πολύς. Neque fortasse χάριτι τῶν ἀμφιβόλως dictorum destitui illud quoque Aristoph. Equit. 408.

Ἦ μήποτ' ἀγοραίου Διὸς σπλάγχνοισι
παραγενοίμην.

Redeo ad delicias hominum Librarios, qui phrasin concoquere non potuerint. Atqui ita passim quamplurimi. Ὁ δὲ Ἀγόρατος καὶ οἱ ἐγγυηταὶ καθίζουσιν ἐπὶ τὸν βωμὸν Μουνυχιάσιν. Ἐπεὶ δὲ ἐκεῖ ἦσαν κ. τ. λ. (Ita enim lecturus sum, ubi isthic loci pervenero, nec parum fœnerabitur illa emendatio ex iis, quæ hic dicuntur.) N. c. Agorat. Καθίζειν enim ἐπὶ τὸν βωμὸν est eo confugere animo sedendi supplicandique. Ἔρχεται γυμνὸς εἰς τὴν ἀγορὰν καὶ καθίζει ἐπὶ τὸν βωμὸν τὸν τῆς μητρὸς τῶν θεῶν. Æsch. c. Timarch. Πρὸς τὰ ἱερὰ ἱκετῶν καθεζομένων. Thuc. III. 70. Ἱκέται ἱζέμενοι ἐπὶ τὸν βωμὸν ἐδίδοσαν σφέας αὐτούς. Herodot. Erat. 108. Eadem pariter ratione N. infra Ἐπ' Ἀρτεμίσιον ἐβοήθησαν. Et Herodot. Uran. 50. Αὐτέων ἐκλελοιπότων ἐς Πελοπόννησον, σωθῆναι ἐς Αἴγιναν. Atque Idem Erato 24. Σκύθης δὲ ὁ τῶν Ζαγκλαίων μούναρχος ἐκ τῆς Ἴνυκος ἐκδιδρήσκει ἐς Ἱμέραν, ἐκ δὲ ταύτης παρῆν ἐς τὴν Ἀσίαν. Similiter Dionys. Halic. l. 1. Antiqq. Rom. Ὀλίγους δέ τινας ἐξ αὐτῶν εἰς τὸ ἄντρον ἀποκρύπτεται. Cui consonat Cæs. B. Gall. I. 12. "Reliqui sese fugæ mandarunt atque *in proximas silvas abdiderunt*." Sueton. August. c. 16. "Nec prius surrexisse ac militibus *in conspectum fuisse* quam a M. Agrippa fugatæ sint hostium naves." Cic. pro L. Manil. 13. "Quid nobilissimas urbes — commemorem, cum vestros portus atque eos portus, quibus vitam et spiritum ducitis, *in prædonum fuisse potestatem* sciatis." Vid. Casaub. ad Suet. l. c. et Gell. I. 7. TAYLOR. Ἐπὶ τὸν βωμὸν reliqui, convitio Taylori perterrefactus; verumtamen est, quod ejus ægre feram, et rursus est in altera lectione, quod præferam. A lectione ἐπὶ τὸν βωμὸν ægerrime fero ἐλέου abesse. Res foret alia, si non alia, præterquam Misericordiæ, ara Athenis fuisset. Ergone in posterum legemus ἐπὶ τὸν ἐλέου βωμόν? Ego vero facio cum istis, qui ἐπὶ τῶν βωμῶν dant. Heraclidæ ad aras deorum alii aliorum confugiebant, in iisque considebant. REISK.

Ἐπιστρατεύσαντος δ' Εὐρυσθέως μετὰ τῶν ἐν ἐκείνῳ τῷ χρόνῳ Πελοπόννησον ἐχόντων etc.] Isocrates p. 100. Πελοποννησίων δὲ τοὺς μετ' Εὐρυσθέως εἰς τὴν χώραν ἡμῶν εἰσ-

τῶν ἐν ἐκείνῳ τῷ χρόνῳ Πελοπόννησον ἐχόντων, οὐκ ἐγγὺς
τῶν δεινῶν γενόμενοι μετέγνωσαν, ἀλλὰ τὴν αὐτὴν εἶχον
73 γνώμην ἥνπερ πρότερον, ἀγαθὸν μὲν οὐδὲν ἰδίᾳ ὑπὸ τοῦ
πατρὸς αὐτῶν πεπονθότες, ἐκείνους [1] τ' οὐκ εἰδότες ὁποῖοί
τινες ἄνδρες ἔσονται γενόμενοι· δίκαιον δὲ νομίζοντες εἶναι,
οὐ προτέρας ἔχθρας ὑπαρχούσης πρὸς Εὐρυσθέα, οὐδὲ
κέρδους προκειμένου πλὴν δόξης ἀγαθῆς, τοσοῦτον κίνδυνον
ὑπὲρ αὐτῶν ἤραντο, τοὺς μὲν ἀδικουμένους ἐλεοῦντες, τοὺς
δ' ὑβρίζοντας μισοῦντες, καὶ τοὺς μὲν κωλύειν ἐπιχειροῦντες,
τοῖς δ' ἐπικουρεῖν ἀξιοῦντες, ἡγούμενοι ἐλευθερίας μὲν ση-
μεῖον εἶναι μηδὲν ποιεῖν ἄκοντας, δικαιοσύνης δὲ τοῖς ἀδι-
κουμένοις βοηθεῖν, εὐψυχίας δ' ὑπὲρ τούτων ἀμφοτέρων, εἰ
74 δέοι, μαχομένους ἀποθνήσκειν. τοσοῦτον δ' ἐφρόνουν ἀμφό-
τεροι, ὥσθ' οἱ μὲν μετ' Εὐρυσθέως οὐδὲν παρ' ἑκόντων
ἐζήτουν εὑρίσκεσθαι, Ἀθηναῖοι δὲ οὐκ ἠξίουν Εὐρυσθέα 192. 1
[2] αὐτὸν ἱκετεύοντα τοὺς ἱκέτας [3] αὐτῶν ἐξελεῖν. παραταξά-

[1] δ' R. A. [2] αὐτοὶ ἱκετεύοντες A. [3] αὑτῶν A.

βαλόντας, ἐπεξελθόντες ἐνίκησαν μαχόμενοι. Vides, ut, mutatis aliquot vocabulis, idem dicit uterque. Markland.

Ἐκείνους τ' οὐκ εἰδότες] Hæc librorum vulgatorum est lectio, prima specie illa quidem veritatem assimulans, diligentius autem ubi inspexeris et membra inter se comparaveris, et constructionem articulatim fueris persecutus, intelligas recte monere codices δ' pro τ' sufficientes. quod exemplum ego sum imitatus. Probe factum si neges, demonstratum dabo, proximum superius μὲν non habere δὲ sibi respondens. Fac enim verum esse τε, et illi μὲν respondere δὲ, quod legitur pone δίκαιον, cernes, pro ἤραντο paulo post leg. esse ἄρασθαι, et tum aliquid sententiæ deesse. Verum bene habet ἤραντο, et a verbis δίκαιον δὲ νομίζοντες εἶναι nova init sententia. Mutandum igitur τε cum δὲ, ut feci. Reisk.

Ἄνδρες ἔσονται γενόμενοι] Cohæret ἄνδρες non cum ἔσονται, sed cum γενόμενοι. ἄνδρες γενόμενοι idem est atque ἀνδρωθέντες. Idem.

Δίκαιον δὲ νομίζοντες εἶναι] Scil. τοῦτο, illud, de quo in continenti commemorat, scil. τὸ ἄρασθαι τοσοῦτον κίνδυνον ὑπὲρ τῶν Ἡρακλειδῶν. Idem.

Μετ' Εὐρυσθέως] F. παρὰ vel περὶ Εὐρυσθέα. Taylor. In Aug. est παρ' Εὐρυσθέως. et nullus dubito eandem in Barocc. quoque olim fuisse. Neque improbabilis hæc est lectio. οἱ παρ' Εὐρυσθέως scil. πεμφθέντες sunt legati ab Eurystheo ad Athenienses missi. Reisk. Nemo nescit οἱ μετ' Εὐρυσθέως idem valere ac Εὐρυσθεὺς simplex. Auger.

Παρ' ἑκόντων] Scil. τῶν Ἀθηναίων. legati Eurysthei nihil studebant per gratiam ab Atheniensibus consentientibus et ultro dantibus impetrare. bene habet hic locus. Qui libri ἀκόντων dant, qui numero sunt multi, suspicor in illis fuisse, non simplex οὐδὲν, sed οὐδὲν οὐ. *nihil non*, h. e. omnia ab invitis extorquere conabantur. Reisk.

Αὐτὸν ἱκετεύοντα, τοὺς ἱκέτας αὑτῶν ἐξελεῖν] Lego: Ἀθηναῖοι δ' οὐκ ἠξίουν, Εὐρυσθέα αὐτοὶ ἱκετεύοντες, τοὺς ἱκέτας αὑτῶν ἐξελαύνειν. *Athenienses vero non dignarentur, ipsi supplices Eurystheo facti, suos supplices expellere.* Schottus quoque conjecerat ἱκετεύοντες. Markland. Εὐρυσθέα αὐτὸν ἱκτεύοντες, τοὺς ἱκέτας ἑαυτῶν ἐξελεῖν. Cont. Bene videtur h. l. habere. Eurystheum, qui ipse tantum non supplex rogaret, (Heraclidas scil. sibi dedi) supplices sibi factos homines ereptum ire. Reisk. Quæ interpretatio (sc. Reiskiana) plane contrarium est veterum hac de re narrationibus. Omnes enim referunt, Eurystheum vi supplices eripere Atheniensibus voluisse, tyrannum superbum, qui ad preces non desc ideret. Locum arbitror integrum fore, si unam addamus particulam ἄν: Εὐρυσθέα ἂν αὐτὸν ἱκετεύ-

μενοι δ' ἰδίᾳ δυνάμει τὴν ἐξ ἁπάσης Πελοποννήσου στρατιὰν 75
ἐλθοῦσαν ἐνίκων μαχόμενοι, καὶ τῶν [1] Ἡρακλέους παίδων
τὰ μὲν σώματα εἰς ἄδειαν κατέστησαν, ἀπαλλάξαντες δὲ
τοῦ δέους καὶ τὰς ψυχὰς ἠλευθέρωσαν, διὰ [2] δὲ τὴν τοῦ
πατρὸς ἀρετὴν [3] ἐκείνους τοῖς αὑτῶν κινδύνοις ἐστεφάνωσαν. 76
τοσοῦτον δὲ εὐτυχέστεροι παῖδες ὄντες ἐγένοντο τοῦ πατρός·
ὁ μὲν γὰρ, καίπερ ὢν ἀγαθῶν πολλῶν αἴτιος ἅπασιν ἀν-
θρώποις, ἐπίπονον καὶ φιλόνεικον καὶ φιλότιμον αὑτῷ κα-
ταστήσας τὸν βίον, τοὺς μὲν ἄλλους ἀδικοῦντας ἐκόλασεν,
Εὐρυσθέα δὲ καὶ ἐχθρὸν ὄντα καὶ εἰς αὐτὸν ἐξαμαρτάνοντα
οὐχ οἷός τε ἦν τιμωρήσασθαι· οἱ δὲ παῖδες αὐτοῦ διὰ τήνδε
τὴν πόλιν τῇ αὐτῇ εἶδον ἡμέρᾳ τήν θ' ἑαυτῶν σωτηρίαν καὶ
τὴν τῶν ἐχθρῶν τιμωρίαν.

ς'. Πολλὰ μὲν οὖν ὑπῆρχε τοῖς ἡμετέροις προγόνοις μιᾷ γνώμῃ χρωμένοις περὶ τοῦ δικαίου διαμάχεσθαι. [4] ἥ τε γὰρ

[1] Ἡρακλέους om. T. [2] δὲ om. T. R. A. [3] ἐκείνους δὲ τοῖς T. R. A. [4] ἡ μὲν γὰρ R.

οντα — *Athenienses vero supplices sibi eripere Eurystheum non passi essent, licet supplex id rogasset Eurystheus.* Ita describitur animorum summa contentia utriusque partis, et est antithesis quædam, qualibus hunc Rhetorem delectari supra monui. SLUITER.

Τοὺς ἱκέτας] Lectionem retinuimus utpote longe integerrimam, quam ex suis Codd. expresserunt Ald. et Steph. Mirum est, quantum varient ceteri. Τοὺς ἱκετεύοντας παρ' ἑαυτῶν ἐξελεῖν. Coisl. 2. Discrepantius adhuc Cod. alius, quem visit Stephanus, et Cant. noster. [nec non Aug.] Τοὺς ἱκετεύοντας παρ' ἑαυτῶν ἐξαιτεῖν. Similiter fere Baroc. Τοὺς ἱκετεύοντας παρ' αὐτῶν ἐξαιτεῖν, cum ἐξελεῖν tamen a manu secunda: et Ioan. ἢ τοὺς ἱκετεύοντας παρ' ἑαυτῶν ἐξαιτεῖν. Sibi soli visus est aliquid agere cum pro αὐτὸν ἱκετεύοντα reposuit αὐτὸν ἱκετεύοντες Schottus, loco non intellecto, ut usu venit. Deficit præterea in Baroc. ante αὐτὸν ἱκετεύοντα integra, uti videtur, linea, quam propter Cod. corruptelam difficile erit determinare. Ita enim ordinantur.

φοτέρων, εἰ δέοι; μαχομένους . . . . . lacerato folio.
δ' ἐφρόνουν ἀμφότεροι ὥσθ' οἱ π . . . . .
αὐτὸν ἱκετεύοντα κ. τ. λ. TAYLOR.

Ἐξελεῖν] *Eripere, servare.* Melius fortasse legeretur ἐξελέσθαι. AUGER.

Τῶν παίδων] Τῶν Ἡρακλέους παίδων. CONT.

Ἀπαλλάξαντες] Ita hunc locum lubentissime legerim, aliorum exemplarium aliis in partibus auctoritate fretus: Ἀπαλλάξαντες δὲ τοῦ δέους καὶ τὰς ψυχὰς ἠλευθέρωσαν, διὰ δὲ τὴν τοῦ πατρὸς ἀρετὴν (Ἡρακλέους τοῦ πατρὸς Cod. Steph. quod supra erat desideratius ad Codd. συμφωνίαν) ἐκείνους τοῖς αὑτῶν κινδύνοις ἐστεφάνωσαν. Τοσοῦτον δὴ εὐτυχέστεροι παῖδες ὄντες ἐγένοντο τοῦ πατρός. TAYLOR.

Ἐκείνους] Dubium, quo referatur. Nihil si desit, necesse est, ut ad Heraclidas redeat. Sed illis videtur αὐτοὺς, quam ἐκείνους convenientius esse, quod pronius ad Peloponnesios vergat. Quod si ita est, suspicer hanc ferme sententiam deesse: ἐκείνους μὲν οὖν μάχῃ κρατηθέντας σὺν αἰσχύνῃ ἐκ τῆς ἑαυτῶν ἐξέβαλον, τούτους δὲ τοῖς ἑαυτῶν κινδύνοις ἐστεφάνωσαν. illos quidem igitur (Peloponnesios puta, Eurysthei copias) acie victos cum dedecore solo suo depulerunt, hos vero (Herculis liberos) laboribus et periculis suis coronabant, h. e. victores reddebant. victorum enim insignia erant coronæ. REISK. Malim αὐτούς. deinde ἐστεφάνωσαν, *coronaverunt*, i. e. victores effecerunt. AUGER.

Τὴν πόλιν τῇ αὐτῇ ἡμέρᾳ] Insere Præpositionem, ἐν τῇ αὐτῇ ἡμέρᾳ: ut Orat. I. τὴν θεράπαιναν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. etc. et passim. MARKLAND. AUGER.

Ἡ μὲν γὰρ] Sic dedi de meo. vulgati dant ἥτε γάρ. huic μὲν respondet δὲ, quod pone πρῶτοι legitur p. 196. 4. REISK.

ἀρχὴ τοῦ βίου δικαία· οὐ γάρ, ὥςπερ οἱ πολλοί, παν-
ταχόθεν συνειλεγμένοι καὶ ἑτέρους ἐκβαλόντες τὴν ἀλλο-
77 τρίαν ᾤκησαν, ἀλλ᾽ αὐτόχθονες ὄντες τὴν αὐτὴν ἐκέκτηντο
μητέρα καὶ πατρίδα. πρῶτοι δὲ καὶ μόνοι ἐν ἐκείνῳ τῷ
χρόνῳ ἐκβαλόντες τὰς παρὰ σφίσιν αὐτοῖς δυναστείας
δημοκρατίαν κατεστήσαντο, ἡγούμενοι τὴν πάντων [1] ἐλευθε-
ρίαν ὁμόνοιαν εἶναι μεγίστην, κοινὰς δ᾽ ἀλλήλοις τὰς ἐκ
τῶν κινδύνων ἐλπίδας ποιήσαντες ἐλευθέραις ταῖς ψυχαῖς
ἐπολιτεύοντο, νόμῳ τοὺς ἀγαθοὺς τιμῶντες καὶ τοὺς κακοὺς
78 κολάζοντες, ἡγησάμενοι θηρίων μὲν ἔργον εἶναι ὑπ᾽ ἀλ-
λήλων βίᾳ κρατεῖσθαι, ἀνθρώποις δὲ προσήκειν νόμῳ μὲν
[2] ὁρίσασθαι τὸ δίκαιον, λόγῳ δὲ πεῖσαι, ἔργῳ δὲ τούτοις ὑπη-
ρετεῖν, ὑπὸ νόμου μὲν [3] βασιλευομένους, ὑπὸ λόγου δὲ [4] διδα-
σκομένους.

ζ΄. Καὶ γάρ τοι καὶ φύντες καλῶς καὶ γνόντες ὅμοια,

[1] ἐλ. καὶ ὁμόν. A.
[2] ὁρίσαι T. A.
[3] βασιλευομένοις T. A.
[4] διδασκομένοις T. A.

Πανταχόθεν συνειλεγμένοι] Desunt hæc verba in Baroc. non recte. "Quippe non advenæ, neque *passim collecta populi colluvies* originem urbi dedit, sed eodem innati solo, quod incolunt, et quæ illis sedes, eadem origo est." Justin. II. 6. TAYLOR.

Τὴν αὐτὴν ἐκέκτηντο μητέρα καὶ πατρίδα] Placuit hoc Isocrati Paneg. p. 88. μόνοις γὰρ ἡμῖν τῶν Ἑλλήνων τὴν αὐτὴν τροφὸν καὶ πατρίδα καὶ μητέρα καλέσαι προσήκει. Quin et quæ præcedunt, ex nostro plane exscripta sunt. MARKLAND.

Ἡγούμενοι τὴν πάντων ἐλευθερίαν, ὁμόνοιαν εἶναι μεγίστην] Dubitari posse puto de sensu et veritate hujus γνώμης. Multo dilucidius, ut mihi videtur, foret, ἡγούμενοι τὴν πάντων ὁμόνοιαν (vel ἰσονομίαν) ἐλευθερίαν εἶναι μεγίστην. Isocrates Panath. p. 532. αὐτοὺς δ᾽ οὐδὲν τούτων ποιεῖν, ἀλλὰ παρὰ σφίσι μὲν αὐτοῖς ἰσονομίαν καταστῆσαι, καὶ δημοκρατίαν τοιαύτην, οἵανπερ χρὴ τοὺς μέλλοντας ἅπαντα τὸν χρόνον ὁμονοήσειν. Lucianus Dial. p. 314. ἡ γὰρ ἰσοτιμία πάνυ δημοτικόν. Nisi malis, τὴν πάντων ἐλευθερίαν, εὐνομίαν εἶναι μεγίστην: ut idem Lucianus Hermot. p. 520. ξὺν εὐνομίᾳ, καὶ ἰσότητι, καὶ ἐλευθερίᾳ, καὶ τοῖς ἄλλοις ἀγαθοῖς. Demosthenes περὶ παραπρ. ex Elegiis Solonis:

Εὐνομία δ᾽ εὔκοσμα καὶ ἄρτια πάντ᾽ ἀπο-
φαίνει.

MARKLAND. Mihi probabile videtur, Lysiam dedisse τὴν πάντων ἐλευθερίαν καὶ ὁμόνοιαν, εὐδαιμονίαν εἶναι τὴν μεγίστην. libertatem et concordiam civium omnium, summam esse felicitatem. REISK.

Ὁρίσαι] Ὁρίσασθαι Ioan. Baroc. (quibus accedit Cant. ὁρίσασθε). Rectius fortasse. Νῦν οὖν πάλιν σαφέστερον ὁρίσαι. Plat. Charmid. Καὶ καλῶς γε νῦν ὁρίζῃ, ὦ Σώκρατες, ἡδονῇ τε καὶ ἀγαθῷ ὁριζόμενος τὸ καλόν. Id. Gorg. Αἴτιον δὲ τούτου, ὅτι κακῶς ὁρίζονται τὸ ἐλεύθερον. Aristot. 5. Polit. TAYLOR. Ego dedi ὁρίσασθαι. id est, operam dare, ut certi termini rerum agendarum cavendarumque sibi a legibus præfiniantur, eosque terminos sibi pati constitui, iisque se circumscribi. REISK.

Τούτοις] Legi puta, et orationi, seu rationi oratione declaratæ et proditæ. ambabus famulari opera præstanda, seu ministerio exsecutionis eorum, quæ seu a lege imperantur, seu ab oratione commendantur atque persuadentur. REISK. Np. νόμῳ καὶ λόγῳ. AUGER.

Γνόντες ὅμοια] Potest hæc sententia gemino modo exponi. aut (1) sentientes similiter, h. e. καλὰ vel καλῶς, quod modo præcessit. id est, præclare et honeste. aut (2) concordantes inter se. ὅμοια γνόντες ἑαυτοῖς, seu τὰ αὐτὰ φρονοῦντες ἅπαντες ὁμοθυμαδόν. priorem exponendi rationem videtur Taylor secutus esse. posteriorem ego præferam. Contendit enim orator hoc

πολλὰ μὲν καλὰ καὶ θαυμαστὰ οἱ πρόγονοι τῶν ἐνθάδε 79
κειμένων εἰργάσαντο, ἀείμνηστα δὲ καὶ μεγάλα καὶ παν-
ταχοῦ οἱ ἐξ ἐκείνων γεγονότες τρόπαια διὰ τὴν αὐτῶν
ἀρετὴν κατέλιπον. μόνοι γὰρ ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος 80

loco planum facere, e libertate et concordia civium, quarum illa ex hac exsistat, felicitatem summam coalescere. Reisk.

Μόνοι] Vulg. *μόνοι γὰρ ὑπὲρ ἁπάντων τῶν τῆς Ἑλλάδος — διεκινδύνευσαν.* Non abeo a receptis sine gravissimo rationum momento, quas, amabo, mecum expendite. Primum istud *ἁπάσης τῆς Ἑλλάδος* præter lectionis necessitatem Codicum etiam est plurium et præstantiorum, Ioan. Cant. Baroc. Steph. Muret. et Coisl. 2. [et Aug.] a qua scripturà item non longe abest solus nostrorum qui superest Coislinianorum alter. Ea erat Manutii fortuna, ut ex infinita pene varietate Exemplarium hujus orationis, in ea sola incideret, quæ erant cum corruptelis impuriora, tum crebriora lacunis. Quod si iidem Codd. vel etiam editi præ se tulissent *ὑπὲρ ἁπάντων τῶν Ἑλλήνων,* vel id non invitus recepissem. Οἰόμενοι δεῖ ὑπὲρ τῆς ἐλευθερίας καὶ Ἕλλησιν ὑπὲρ Ἑλλήνων μάχεσθαι, καὶ Βαρβάροις ὑπὲρ ἁπάντων τῶν Ἑλλήνων. Plat. Menex. In ceteris autem *στενὸν* istud, ut dicitur, *ἐρώτημα* ab iis exspecto, qui *cornicum oculos ament configere,* cur eam vett. Codd. auctoritatem, quam in superioribus tanti feci, jam hebescere et nullius fere pretii esse sinam? Reperitur enim in Codd. Steph. Muret. Baroc. a manu altera, et Cant. pro *μόνοι, μύριοι,* fidemque habet ex historia. "Instructis *decem millibus* civium et Platæensibus auxiliaribus mille adversus sexcenta millia hostium in campos Marathonios in prœlium egrediuntur." Justin. II. 9. Deinde istud *δὶς ἐκινδύνευσαν,* quod prætulimus, nihil adeo præ se fert, nisi unius Cod. Mureti solitudinem. De *μύριοι* postea videbimus, districto prius Mureto, qui *utramque* lectionem, tam *μύριοι,* quam *μόνοι,* posse ait defendi. Quid hoc ad Criticen, ubi *alterutra* solummodo est admittenda, nisi *utramque* existimet ab auctoris manu esse profectam? In momentis inæqualibus vulgaris erat et quotidianæ laudis, si tamen laudis esset, quo vergat pondus videre. Hoc illud erat profecto, ubi ingenii aciem acueres. Δὶς itaque *ἐκινδύνευσαν* malim quam *διεκινδύνευσαν,* quia in hoc quasi limine et summa narrationis aditum sibi quærit Orator ad utramque historiam rerum, sc. tum Marathone tum Salamine gestarum, non ad unam solam exornandam. Neque me piget lectionis, quod hæc videantur veritate historica destitui. Hoc erat certe Oratori condonandum. Memineris hæc non ad *fidem,* sed ad *gloriam* esse dicta, atque optimum quemque in patria pro patria dicentem suorum civium *fortunæ* impune posse esse *fabrum.* Οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν, ut scite dicitur. Hoc in aliis præter nostrum cernitur. Ἐκεῖνοι τὸν ἐξ ἁπάσης τῆς Ἀσίας στόλον ἐλθόντα μόνοι δὶς ἠμύναντο, καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. Demosth. in Epitaph. Accedit testis non contemnendus, utpote non studio patriæ abductus, Historicus Halicarnassensis, qui suam sententiam de posteriore Persarum expeditione *ἐπίφθονον μὲν πρὸς τῶν πλεόνων,* ut ipse ait, sed *τῇγε ἐφαίνετο ἀληθὲς,* ita exponit: Νῦν δὲ Ἀθηναίους ἄν τις λέγων σωτῆρας γενέσθαι τῆς Ἑλλάδος οὐκ ἂν ἁμαρτάνοι τἀληθές· οὗτοι γὰρ ἐπὶ ἑκάτερα τῶν πρηγμάτων ἐτράποντο, ταῦτα ῥέψειν ἔμελλε. ἑλόμενοι δὲ Ἑλλάδα περιεῖναι ἐλευθέρην, τοῦτο τὸ Ἑλληνικὸν πᾶν τὸ λοιπὸν ὅσον μὴ ἐμήδισε, αὐτοὶ οὗτοι ἔσαν οἱ ἐπεγείραντες καὶ βασιλῆα μετά γε θεοὺς ἀνωσάμενοι. Herodot. Polymn. 139. Recte editi, non *ἀπωσάμενοι,* ut conjecit Stephanus. Ἀνώσαντες, ἀναστρέψαντες. Hesych. Et alibi Herodot. Uran. sc. 109. Νέφος τοσοῦτον ἀνθρώπων ἀνωσάμενοι. Hæc si constiterint, de *μύριοι* nemo deinde verbum unicum addiderit. Nam ut de prœlio Marathonio stricte, atque profecto exactius, quam oratorem decuit, dici poterat, ita Salaminio nullo modo competere queat. Et vegetior certe est oppositio, *μόνοι ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος,* quam *μύριοι πρὸς πολλὰς μυριάδας.* Non est enim obscurum Lysiam nostrum, ut vulgus Atheniensium Scriptorum semper solebat, id in oratione obstinate contendere, ut omnibus planum faceret, Athenienses eam in bellicis rebus auctoritatem, istud *τὸ ἄλλοις προηγεῖσθαι,* neque sine jure vindicasse, neque gessisse sine gloria. Ita in iis, quæ mox sequentur: Ἐν ἅπασι δὲ τοῖς κινδύνοις δόντες ἔλεγχον τῆς ἑαυτῶν ἀρετῆς — ὑπὸ πάντων ἠξιώθησαν καὶ μεθ' ὧν ἐκινδύνευον, καὶ πρὸς οὓς ἐπολέμουν, ἡγεμόνες γενέσθαι τῆς Ἑλλάδος. Et paucis interjectis: Ὧν ἕνεκα δεῖ μόνους καὶ προστάτας τῶν Ἑλλήνων, καὶ ἡγεμόνας τῶν πόλεων γίγνεσθαι. Sic Plato Menex. ἡγεμόνες καὶ διδάσκαλοι τοῖς ἄλλοις γενόμενοι, ὅτι οὐκ ἄμαχος εἴη ἡ Περσῶν δύναμις. Et alii sæpe. Οὗτοι ἦσαν οἱ τοιοῦτοι οἱ τὴν ἐν

82 πρὸς πολλὰς μυριάδας τῶν βαρβάρων [1]διεκινδύνευσαν. ὁ
γὰρ τῆς Ἀσίας βασιλεὺς, οὐκ ἀγαπῶν τοῖς ὑπάρχουσιν
ἀγαθοῖς, ἀλλ' ἐλπίζων καὶ τὴν Εὐρώπην [2]δουλώσασθαι,
ἔστειλε πεντήκοντα μυριάδας στρατιάν. ἡγησάμενοι δὲ, εἰ
τήνδε τὴν πόλιν ἢ ἑκοῦσαν φίλην ποιήσαιντο ἢ ἄκουσαν κα-
ταστρέψαιντο, ῥᾳδίως τῶν ἄλλων Ἑλλήνων ἄρξειν, ἀπέ-
83 βησαν εἰς Μαραθῶνα, νομίσαντες οὕτως ἂν ἐρημοτάτους
εἶναι συμμάχων τοὺς [3]Ἕλληνας, εἰ ἔτι στασιαζούσης τῆς
Ἑλλάδος, ᾧ τινὶ χρὴ τρόπῳ τοὺς ἐπιόντας ἀμύνασθαι, τὸν
κίνδυνον ποιήσαιντο. ἔτι δ' αὐτοῖς ἐκ τῶν προτέρων ἔργων
84 περὶ τῆς πόλεως τοιαύτη δόξα παρειστήκει, ὡς εἰ μὲν πρό-
τερον ἐπ' ἄλλην πόλιν [4]ἴασιν, ἐκείνοις καὶ Ἀθηναίοις πο-

[1] δὶς ἐκινδύνευσαν T. [2] δουλώσεσθαι T. R. A. [3] Ἀθηναίους A. [4] ἴωσιν T. R. A.

Μαραθῶνι νικήσαντες μάχην καὶ μόνοι τὴν τῆς Ἀσίας ἁπάσης δύναμιν χειρωσάμενοι. Heraclid. Pontic. apud Athenæum l. 12. init. Taylor. MS. Steph. μύριοι γὰρ ὑπὲρ ἁπάσης τῆς Ἑλλάδας etc. recte, quod ad ultima: malo μύριοι. Hæc quoque tacite mutuatus est Isocrates Paneg. p. 113. πρὸς τοὺς ἁπάσης τῆς Ἑλλάδος καταφρονήσαντας ἀπήντων, τὴν οἰκείαν δύναμιν ἔχοντες, id est, μόνοι. Markland. ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος. Cont. μόνοι servandum esse, quamvis μύριοι quoque contemnendum non sit, ex opposito patet, quod est inter μόνοι et ἁπάσης τῆς Ἑλλάδος, vel, quod aliis in libris fuisse videtur, ἁπάντων τῶν Ἑλλήνων. Tota hæc oratio ex antithetis est contexta, quorum perpetuitas, una cum frigore, tædium creat. Sophistæ tamen si μύριοι nolis eripi, sic possis legere: μόνοι γὰρ ὑπὲρ ἁπάσης Ἑλλάδος, μύριοι ὄντες, πρὸς πολλὰς μυριάδας τῶν βαρβάρων διεκινδ. Duo sic habebis antitheta pro uno, primum μόνοι cum ἁπάσης comparatum, alterum μύριοι cum πολλὰς μυριάδας. Sophista id ego equidem haud arbitrer indignum, qui nulli rei magis studuisse videtur, quam ut artifex antithetorum haberetur. Reisk.

Διεκινδύνευσαν] Revocavi veterem hanc probamque lectionem vulgatorum, repudiata ea, quam Tayloriana editio exhibet, scil. δὶς ἐκινδ. Non enim bis, sed ter Græci domi suæ cum Persis conflixerunt, Marathone, ad Salaminem, et ad Platæas. quas tres pugnas Noster quoque eodem exsequitur ordine. Idem.

Πεντήκοντα μυριάδας] Aut jactantia hæc est oratoria, aut lapsus memoriæ, aut inscitia rerum gestarum. Non ad Marathona, sed decennio post ad Salamina tot Persæ dicuntur cum Græcis pugnasse. Idem.

Ἡγησάμενοι] Tametsi μυριάδες præcessit, quod est generis fœminini, quia tamen Persæ designantur, ideo accommodatur oratio ad designatum, πρὸς τὸ σημαινόμενον, ut vulgo usurpant. Idem. Np. οἱ Πέρσαι. Auger.

Περιειστήκει] [sic vulgati libri et Aug.] Optimo Cod. optimus Coisl. 2. παρειστήκει, et Baroc. itidem a manu secunda. Εἰ οὖν τινὶ ὑμῶν τῶν ἄλλων πολιτῶν γνώμη τοιαύτη παρειστήκει πρότερον περὶ ἐμοῦ. Andocid. de Myster. p. 8. Immo adeo totus est hujus loci, cumque quem volumus sensum profert, ut istud δόξα vel γνώμη, quibus aliquando junctum reperitur, impune abesse sinat. Ἔτι τοίνυν εἰ τῶν οἰκετῶν παρέστη μοι μηδὲν φροντίζειν. N. de S. Oliva. Καὶ μηδενὶ τοῦτο παραστῇ, ὡς Ἐρατοσθένους κινδυνεύοντος Θηραμένους κατηγορῶ. Id. c. Eratosth. Οὐχὶ ταὐτὰ παρίσταταί μοι γινώσκειν, ὅταν τε εἰς τὰ πράγματα ἀποβλέψω, καὶ ὅταν εἰς τοὺς λόγους, οὓς ἀκούω. Demosth. Olynth. 3. statim exorsus. Ὥστε μοι παρίστασθαι ἐκεῖνον μηδ' εἰς ᾅδου ἰόντα ἄνευ θείας μοίρας ἰέναι. Plat. Phæd. pr. Ἵνα τότε μαθοῦσι τὴν ἀλήθειαν ἃ προσήκει καὶ περὶ τῆς πόλεως τῆσδε παραστῇ φρονεῖν. Dionys. Halic. l. 1. Antiqq. Rom. Ἡμῖν μὲν, ὦ Φειδόλαε, καὶ ζῶντος Σωκράτους καὶ τεθνηκότος οὕτως ἐννοεῖν περὶ τοῦ δαιμονίου παρίσταται. Plutarch. de Genio Socratis. Adde et Thomam. παρίσταται καὶ ἐπέρχεται. ὡς τὸ, παρίσταταί μοι θαῤῥεῖν τε καὶ δεδιέναι παρ' Ἀριστείδῃ ἐν τῇ πρὸς τοὺς βασιλέας ἐπιστολῇ. Taylor.

λεμήσουσι· προθύμως γὰρ τοῖς ἀδικουμένοις ἥξουσι βοηθή-
σοντες· εἰ δ' ἐνθάδε πρῶτον [1] ἀφίξονται, οὐδένας ἄλλους τῶν
Ἑλλήνων τολμήσειν ἑτέρους σώζοντας φανερὰν ἔχθραν πρὸς
ἐκείνους ὑπὲρ αὐτῶν καταθέσθαι. οἱ μὲν τοίνυν [2] τοιαῦτα
διενοοῦντο· οἱ δ' ἡμέτεροι πρόγονοι οὐ λογισμῷ [3] δόντες τοὺς 85
ἐν τῷ πολέμῳ κινδύνους, ἀλλὰ νομίζοντες τὸν εὐκλεᾶ θά-
νατον ἀθάνατον περὶ τῶν ἀγαθῶν καταλείπειν λόγον, οὐκ
ἐφοβήθησαν τὸ πλῆθος τῶν ἐναντίων, ἀλλὰ τῇ αὐτῶν ἀρετῇ
μᾶλλον ἐπίστευσαν. καὶ αἰσχυνόμενοι ὅτι ἦσαν οἱ βάρβαροι 86
αὐτῶν ἐν τῇ χώρᾳ, οὐκ ἀνέμειναν πυθέσθαι οὐδὲ βοηθῆσαι
τοὺς συμμάχους, οὐδ' ᾠήθησαν δεῖν ἑτέροις τῆς σωτηρίας
χάριν εἰδέναι, ἀλλὰ σφίσιν αὐτοῖς τοὺς ἄλλους Ἕλληνας.
ταῦτα μιᾷ γνώμῃ πάντες γνόντες, ἀπήντων ὀλίγοι πρὸς
πολλούς· ἐνόμιζον γὰρ ἀποθανεῖν μὲν αὐτοῖς μετὰ πάντων

[1] ἀφίξωνται R. A. [2] ταῦτα T. R. A. [3] εἰδότες T. R. A.

Ἑτέρους σώζοντας] Opinor σώσοντας, ut βοηθήσοντες, in futuro. Ἔχθραν καταθέσθαι dicitur, quemadmodum χάριν καταθέσθαι, *gratiam præstare*, Actor. XXIV. 27. quod χάριν θέσθαι vocat Æschylus Prom. Vinc. v. 781. εὐεργεσίαν καταθέσθαι, Josephus Ant. Jud. XI. 6. segm. 5. δόξαν καταθέσθαι, Thucydides IV. 87. Mox, λογισμῷ εἰδότες etc. Ultimam vocem suspectam habeo. Sensus postulare videtur μετροῦντες, vel tale quidpiam. MARKLAND.

Ἐκείνους] Persas puta. REISK.

Ὑπὲρ αὐτῶν] Pro Atheniensibus. IDEM.

Οὐ λογισμῷ εἰδότες] Post λογισμῷ videtur χρώμενοι deesse. non utentes sedata meditatione, propositum animi cum eventis id necessario consecuturis comparante, atque futuros casus prospiciente, tametsi bellorum bene nossent discrimina. [οὐ λογισμῷ εἰδότες) sub. μόνον, ἀλλὰ καὶ πείρᾳ τῇ σφῶν αὐτῶν. *non e ratiocinatione solummodo tenentes molestias et mala bellorum, sed ipsi suis quoque docti periculis.* In Var. Lect.] REISK. Ex Cod. Marciano dedi δόντες. Var. Lect. ἰδόντες, quam multi MSS. exhibent, ex punctulo adscripto ad fin. v. λογισμῷ nata videtur.

Νομίζοντες — ἀθάνατον περὶ τῶν ἀγαθῶν καταλείπειν λόγον] Mallem, περὶ τῶν ἀρετῶν (vel παρὰ τῶν ἀγαθῶν, *a bonis viris*) καταλείψειν λόγον. Ut paulo post, ἐνόμιζον —μνήμην ἰδίαν καταλείψειν. MARKLAND. Vel παρὰ τῶν ἀγαθῶν, *a bonis viris*, vel παρὰ τοῖς ἀγαθοῖς, *apud bonos viros*. TAYLOR. παρὰ τῶν ἀγαθῶν. CONT. Nil equidem causæ video, cur proba lectio sollicitetur, et perspicua sententia obscuretur: mortem præclaram esse relicturam sermones æternum duraturos de fortibus viris. Nam ἀγαθοὶ aliquoties a Lysia hoc sensu sic nude, sine ἄνδρες quod alii addere amant, usurpatum est. REISK. Scil. ἀνδρῶν. AUGER.

Πυθέσθαι] Philelphus videtur scriptum reperisse πείθεσθαι. *exspectare noluerunt, quoad socii* persuasi *auxilio venirent*. Cujus tamen lectionis apud nostros Codd. nec vola nec vestigium. TAYLOR.

Οὐκ ἀνέμειναν πυθέσθαι οὐδὲ βοηθῆσαι τοὺς συμμάχους] Transpone: οὐδὲ πυθέσθαι βοηθῆσαι τοὺς συμμάχους. *non sustinuerunt ne rogare quidem socios, ut sibi auxilium ferrent*. Brevius Isocrates, οὐ περιέμειναν τοὺς συμμάχους, p. 113. οὐδένα ἐτόλμησαν μεταπέμψασθαι, noster infra. MARKLAND. Bene habet hic locus. tenendum modo, τοῦτο subaudiri. Sententia dictionis hæc est: Athenienses committere noluerunt, ut socii hoc tantum dedecus (descensionem puta a Persis in solum Atticum factam) vel fama acciperent, neque exspectarunt, donec aut id fieret, aut socii sibi succurrerent. REISK.

Ἀποθανεῖν] Ingens visitur lacuna, non tamen id dissimulante scriba, in iis Codd. quos pro sua infelicitate versavit Manutius. In nostris suppletur (præter priorem Coisl. ubi relicta est quoque pagina vacua) itidemque in iis, quos usurparunt Stephanus et Muretus. Integræ quoque erant membranæ Fr. Philelph. et Pet. Fabri, quem vide in Semestribus, I. 19.

87 προσήκειν, [1]ἀγαθοὺς δ' εἶναι μετ' ὀλίγων, καὶ τὰς μὲν
ψυχὰς ἀλλοτρίας διὰ τὸν θάνατον κεκτῆσθαι, τὴν δ' ἐκ 193. 1
τῶν κινδύνων μνήμην ἰδίαν καταλείψειν. ἠξίουν δ', οὓς μὴ
μόνοι νικῷεν, οὐδ' ἂν μετὰ συμμάχων δύνασθαι· καὶ ἡττη-
θέντες μὲν ὀλίγῳ τῶν ἄλλων προαπολεῖσθαι, νικήσαντες δὲ
καὶ τοὺς ἄλλους ἐλευθερώσειν. ἄνδρες [2]δ' ἀγαθοὶ γενόμενοι,
καὶ τῶν μὲν σωμάτων ἀφειδήσαντες, ὑπὲρ δὲ τῆς ἀρετῆς οὐ
88 φιλοψυχήσαντες, καὶ μᾶλλον τοὺς παρ' αὐτοῖς νόμους αἰσχυ-

[1] ἀγαθοῖς A. [2] οὖν A.

Deerat ab ἀποθανεῖν usque ad τὴν πεζὴν στρατιὰν ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην mediam circiter paginam proximam Stephani. In ipso tamen aditu lacunæ, quod me pene monuisse fugerat, Codd. a nostris dissentientes, non tamen idcirco magis sanos, videtur tractasse, quem proxime laudavi, Philelphus. Sic enim, quantum ex versione augurari liceat, in qua certe erat homo religiosissimus, locum lectitavit: Ἐνόμιζον γὰρ ἀποθανεῖν μὲν αὐτοῖς μετὰ πάντων προσήκειν, ἀγαθῶν δ' εἶναι μετ' ὀλίγων τὰς μὲν ψυχὰς ἀλλοτρίας διὰ τὸν θάνατον κεκτῆσθαι, τὴν δ' ἐκ τῶν κινδύνων μνήμην ἰδίαν καταλείψειν. Ita non sine gravissimo elegantiæ dispendio in unum conflantur duo commata pulcherrima. Taylor. Poterant hæc planius atque certius sic enunciari. Post ἐνόμιζον γὰρ esse in Aldina vacuum spatium aliquot versuum, cui nihil aliud sit inscriptum, quam hoc breve, λείπει πολλά. deinde sequi τὴν στρατιὰν ἐκ τῆς Ἀσίας. Ergo desunt illi omnia, quæ hinc a versu 43. p. 192. ed. Steph. ad versum 19. p. 193. ejusdem editionis leguntur. Primus, quod sciam, lacunam hanc Henr. Stephanus explevit. Reisk.

Ἀγαθοὺς δ' εἶναι] Scribo, ἀγαθοῖς δ' εἶναι, scil. αὐτοῖς προσήκειν ἐνόμιζον, non αὐτοῖς. Markland.

Τὰς ψυχὰς ἀλλοτρίας κεκτῆσθαι] Ita supra: ὁμοίας ἐκτήσαντο τὰς ψυχὰς τῇ φύσει: id est, *monstrabant se habere animas sexui similes*; de Amazonibus victis. Eadem phrasis Luc. XXI. 19. ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν. Ἀλλοτρίας vero ψυχὰς, *animas quasi ad se non pertinentes*: ὥσπερ ἐν ἀλλοτρίαις ψυχαῖς μέλλοντες κινδυνεύσειν, ut de hac re, et ex hoc nostri loco, loquitur Isocrates. Idem.

Μετὰ συμμάχων] Μετὰ τῶν συμμάχων. Cont.

Ὑπὲρ δὲ τῆς ἀρετῆς φιλοψυχήσαντες] Conjeceram εὐψυχήσαντες. Sed verius puto Mureti οὐ φιλοψυχήσαντες. Tyrtæus apud Lycurgum p. 163.

Μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι.

Ipse Lycurgus p. 166. ἤ τίς παρὰ τὸ συμφέρον τῆς πόλεως φιλοψυχήσει, εἰδὼς ὑποκειμένην αὐτῷ τιμωρίαν; Hoc est istud quod Ioannes XII. 25. vocat φιλεῖν τὴν ψυχὴν αὐτοῦ, cui opponit, μισεῖν τὴν ψυχὴν, *animam prodigere*, Virgilio. Markland.

Ὑπὲρ δὲ τῆς ἀρετῆς] Ὑπὸ alii, inquit Schottus. Quos utinam laudasset, nam video fere necessarium. ὑπὸ δὲ ἀρετῆς τε καὶ προθυμίης Πλαταιέες — συνεπλήρουν τοῖσιν Ἀθηναίοισι τὰς νέας. Herodot. Uran. init. Idem Schottus pro δὲ legeret τε. Taylor. ὑπὲρ bene habet. virtutis ergo proferendæ, ibi loci atque temporis, ubi documentis est approbanda. Reisk.

Οὐ φιλοψυχήσαντες] Prodigiosum istud ὑπὲρ τῆς ἀρετῆς φιλοψυχήσαντες somnolentum certe habuit Editorem. (Stephanum velim, de altero nihil dico.) Non enim credo hæc ita ex membranis exiisse. Scio ne ex una quidem de nostris.

Ἀλλὰ μέγαν ποιεῖτε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν.
Μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι.

Tyrtæus apud Lycurg. in orat. c. Leocratem. Taylor. οὐ quoque addit Contius.

Καὶ μᾶλλον] λείπει ante ἔστησαν. Marg. Baroc. Quo *consilio* quivis facile carere poterat. Restitui curavimus ex optimo Cod. Coisl. 2. et ex mente duorum exemplarium Mureti. Secunda etiam manus illevit oræ Baroc. et agnovit Philelph. Eadem fere habet noster c. Alcibiad. Ἀλλὰ πολὺ μᾶλλον ἐφοβεῖσθε τοὺς τῆς πόλεως νόμους, ἢ τὸν πρὸς τοὺς πολεμίους κίνδυνον. Cui loco vicissim et ille præ manibus aliquando gratias rependet. Taylor. Verba ἢ τὸν πρὸς τ. π. κ. φοβούμενοι, quæ sunt in Aug. quoque, primus addidit Taylor. desunt enim Stephani quoque editioni, tametsi ille magnam, quæ h. l. in Aldina est, lacunam explevit. Reisk.

νόμενοι ἢ τὸν πρὸς τοὺς πολεμίους κίνδυνον φοβούμενοι,
ἔστησαν μὲν τρόπαια ὑπὲρ τῆς Ἑλλάδος τῶν βαρβάρων ἐν 89
τῇ αὐτῶν, ὑπὲρ χρημάτων εἰς τὴν ἀλλοτρίαν ἐμβαλόντων
παρὰ τοὺς ὅρους τῆς χώρας· οὕτω δὲ διὰ ταχέων τὸν κίν- 90
δυνον ἐποιήσαντο, ὥστε οἱ αὐτοὶ τοῖς ἄλλοις ἀπήγγειλαν
τήν [1] τε ἐνθάδε ἄφιξιν τῶν βαρβάρων καὶ τὴν τῶν προγόνων
νίκην. καὶ γάρ τοι οὐδεὶς τῶν ἄλλων ἔδεισεν ὑπὲρ τοῦ μέλ-
λοντος κινδύνου, ἀλλ' ἀκούσαντες ὑπὲρ τῆς αὐτῶν ἐλευθε-
ρίας ἥσθησαν. ὥστε οὐδὲν θαυμαστὸν, [2] πάλαι τῶν ἔργων
γεγενημένων, ὥσπερ καινῶν ὄντων ἔτι καὶ νῦν τὴν ἀρετὴν 91
αὐτῶν ὑπὸ πάντων ἀνθρώπων ζηλοῦσθαι.

[1] τε om. T. [2] παλαιῶν ἔργων T.

Ἔστησαν] Mureti Codd. jam soli. Ἔστησαν μὲν τρόπαια ὑπὲρ τῆς Ἑλλάδος τῶν βαρβάρων ἐκ τῆς αὐτῶν χώρας ὑπὲρ χρημάτων εἰς τὴν ἀλλοτρίαν ἐμβαλόντων [Ioan. ἐμβαλλόντων] παρὰ τοὺς ὅρκους. De fide illa juramenti vehementer ambigo. Cetera complanata sunt felicissime. Porro autem istud τρόπαια τῶν βαρβάρων (quanquam aliter habeat N. contra Poliuchum, πολλὰ δὲ καὶ καλὰ κατὰ τῶν πολεμίων ἔστησε τρόπαια) retineri tamen debet. Τρόπαιον μὲν τῶν πολεμίων ἔστησαν. Noster infra. Κολασάμενοι τὴν ὑπερηφανίαν ὅλης τῆς Ἀσίας, καὶ πρῶτοι στήσαντες τρόπαια τῶν Βαρβάρων. Plat. Menex. Πολλὰ τρόπαια τῶν πολεμίων καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὑμῖν ὑπέδειξαν. Andoc. de Myster. ad fin. TAYLOR.

Ἐν τῇ αὐτῶν, ὑπὲρ χρημάτων εἰς τὴν ἀλλοτρίαν ἐμβαλόντων παρὰ τοὺς ὅρους τῆς χώρας] Emendaveram: ἐκ τῆς αὐτῶν, ὑπὲρ χρημάτων, εἰς τὴν ἀλλοτρίαν ἐμβαλόντων, παρὰ τοὺς ὅρκους: *ex patria sua, pecuniæ gratia, in alienam terram invadentium, præter fœdera*: ejectis istis τῆς χώρας, utpote glossemate phraseos τῆς αὐτῶν. Postea deprehendi Muretum ex MSS. ita restituisse. Xenophon Cyropæd. I. οἱ δ' αὖ γεραίτεροι οὗτοι στρατεύονται οὐκέτι ἔξω τῆς ἑαυτῶν. Ubique occurrit, tum apud nostrum, tum omnes alios. MARKLAND. ἐκ τῆς αὐτῶν ὑπὲρ — CONT. Bene habet vulgata. Superenarratio horum ἐν τῇ αὐτῶν sunt insequentia παρὰ τοὺς ὅρους τῆς χώρας. Suo in solo, propter ipsos agri sui fines statuerunt monumenta victoriæ a se de barbaris reportatæ, qui barbari, cupiditate alienorum bonorum accensi, suum in agrum irrupissent. Proba est lectio ὅρους, vitiosa ὅρκους. Nullum jusjurandum, nulla pacta Græcis erant cum Persis. Conturbatior quidem est in vulgatis verborum collocatio, non tamen ideo movenda; quam mente sic in ordinem redigas: ἔστησαν ἐν τῇ ἑαυτῶν (scil. χώρᾳ) παρὰ τοὺς τῆς χώρας ὅρους τρόπαια τῶν βαρβάρων, ἐμβαλόντων εἰς τὴν ἀλλοτρίαν, ὑπὲρ χρημάτων. REISK. Sub. χώρᾳ. AUGER.

Ἐμβαλόντων] Refertur ad βαρβάρων, barbarorum qui cupiditate alienorum bonorum accensi in alienam terram irruperant, et præter fines agri Attici erant trangressi. IDEM.

Τὴν ἐνθάδε] Τήν τε ἐνθάδε Cant. Baroc. Deest ἐνθάδε Ioan. Quod minime velim. Τὴν ἐνθάδε συμφορὰν dixit noster ineunte oratione. Τὸν ἐνθάδε σύλλογον. Id. in Olymp. c. Dionys. Τὴν παραυτίκα ἡδονήν. Thucyd. Καὶ πρὸς τὴν τῶν πεζῇ δρόμων ἄσκησιν μᾶλλον σύμμετρος. Plat. de Legg. 1. init. Ita usurpantur ἔγγιστα, πλησίον, πρόσθεν, αἰεί, etc. Αὕτη δὲ μελιτόεσσα ἐν τῷ πρόσθεν αἰεὶ χρόνῳ ἐναισιμουμένη τότε ἦν ἄψαυστος. Herodot. Uran. 41. Qua vice quoque funguntur Adverbia Hebraica; האזינה תפלתי בלא שפתי מרמה Psal. XVII. 1. TAYLOR.

Προγόνων] Non respectu eorum, de quibus prædicatur, ἀπήγγειλαν (illorum enim non πρόγονοι, sed ἥλικες erant; imo vero victoriæ præcones ipsi quoque erant victores). sed respectu eorum, ad quos verba facit Lysias. REISK. Np. τῶν ἡμετέρων. AUGER.

Ἀκούσαντες] Scil. ἑαυτοὺς ὑπὸ τῶν Ἀθηναίων προκινδυνευσάντων ἐλευθερωθῆναι. REISK.

Πάλαι τῶν ἔργων γεγενημένων] Sic dedi de meo. IDEM. τῶν παλαιῶν ἔργων. CONT.

Αὐτῶν] Scil. τῶν ἔργων. quicquid in genere suo est eximium, excellens ad laudem atque admirationem, id est ejus ἀρετή. REISK.

η'. Μετὰ δὲ ταῦτα Ξέρξης ὁ τῆς Ἀσίας βασιλεὺς, καταφρονήσας μὲν τῆς Ἑλλάδος, ἐψευσμένος δὲ τῆς ἐλπίδος, ἀτιμαζόμενος δὲ τῷ γεγενημένῳ, ἀχθόμενος δὲ τῇ συμφορᾷ, ὀργιζόμενος δὲ τοῖς αἰτίοις, ἀπαθὴς δ' ὢν κακῶν καὶ ἄπειρος ἀνδρῶν ἀγαθῶν, δεκάτῳ ἔτει παρασκευασάμενος χιλίαις
92 μὲν καὶ διακοσίαις ναυσὶν ἀφίκετο, τῆς δὲ πεζῆς στρατιᾶς οὕτως ἄπειρον τὸ πλῆθος ἦγεν, ὥστε καὶ τὰ ἔθνη τὰ μετ' αὐτοῦ ἀκολουθήσαντα πολὺ ἂν ἔργον εἴη καταλέξαι. [1] τὸ δὲ μέγιστον σημεῖον τοῦ πλήθους· ἐξὸν γὰρ αὐτῷ χιλίαις ναυσὶ διαβιβάσαι κατὰ τὸ [2] στενώτατον τοῦ Ἑλλησπόντου τὴν πεζὴν στρατιὰν ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην, οὐκ ἠθέλησεν, ἡγούμενος τὴν διατριβὴν αὐτῷ πολλὴν ἔσεσθαι· ἀλλ', ὑπεριδὼν καὶ τὰ φύσει πεφυκότα καὶ τὰ θεῖα πρά-

[1] ὃ A.

[2] στενότατον T. A.

Ξέρξης] Ita loquitur, ac si Xerxes cladem apud Marathona accepisset, quam Darius accepit. IDEM.

Δεκάτῳ ἔτει] Verbis vix discrepantibus Julian. de Laude Constantii: Τὸν Ξέρξην χρόνον ἐτῶν οὐκ ἐλάσσονα δέκα πρὸς τὸν πόλεμον ἐκεῖνον παρασκευάζεσθαι. Uterque tamen nihil aliud dicit, nisi tot annos fuisse elapsos ex pugna Marathonia ad alteram Salaminiam, quorum tamen dimidiam fere partem ad labem illam delendam, quam impressit clades ad Marathonem accepta, impendebat non Xerxes, sed Darius pater, qui eatenus superfuit. Hæc cum alias, tum ex computo Arundelliano, facile patebunt.

ΑΦ ΟΥ Η ΕΝ ΜΑΡΑΘΩΝΙ ΜΑΧΗ ΕΓΕΝΕΤΟ ΑΘΗΝΑΙΟΙΣ ΠΡΟΣ ΤΟΥΣ ΠΕΡΣΑΣ . . . ΕΤΗ ΗΗΔΔΠΙΙ. CCXXVII.
ΑΦ ΟΥ ΞΕΡΞΗΣ ΤΗΝ ΣΧΕΔΙΑΝ ΕΖΕΥΞΕΝ ΕΝ ΕΛΛΗΣΠΟΝΤΩΙ, Κ. Τ. Λ.
ΕΤΗ ΗΗΔΠΙΙ. CCXVII.

Adjungamus Historicos. "Hic (Darius) ante *quadriennium*, quam decederet, apud Marathonam pugnavit celeberrimo Græcis Romanisque historiis prœlio." Sulpit. Sever. Hist. Sacr. II. 9. "Igitur Xerxes bellum a patre cœptum adversus Græciam *quinquennium* instruxit." Justin. II. 10. Recta hæc et ad calculum: Neque aliter Diod. Sic. l. 11. init. Συνεβάλετο δὲ αὐτῷ καὶ ὁ πατὴρ Δαρεῖος πρὸ τῆς τελευτῆς παρασκευὰς πεποιημένος μεγάλων δυνάμεων· καὶ γὰρ ἐκεῖνος ἡττημένος ὑπὸ Ἀθηναίων ἐν Μαραθῶνι — χαλεπῶς διέκειτο πρὸς τοὺς νενικηκότας Ἀθηναίους. Ἀλλὰ Δαρεῖος μὲν μέλλων ἤδη διαβαίνειν ἐπὶ τοὺς Ἕλληνας ἐμεσολαβήθη τελευτήσας. Easdem plane rationes subducit Herodot. Cl. 18. Ταῦτα ποιέων (Alyattes) ἐπολέμεε ἔτεα ιά, attamen subjungit: Τὰ μέν νυν ἓξ ἔτεα τῶν ἕνδεκα Σαδυάττης ὁ Ἄρδυος ἔτι Λυδῶν ἦρχε· τὰ δὲ πέντε τῶν ἐτέων τὰ ἑπόμενα τοῖσιν ἓξ Ἀλυάττης ὁ Σαδυάττεω ἐπολέμεε. A doctissimo Spanhemio in eruditis notis ad Julian. l. c. vapulat Vossius, qui aliis machinis nodum hunc dissolvere conatur. TAYLOR.

Χιλίαις —] Διακοσίαις μὲν καὶ χιλίαις. CONT.

Τὸ πλῆθος] Τι πλῆθος. et v. pen. οὕτω πολλήν. WAKEFIELD.

Μετ' αὐτοῦ ἀκολουθήσαντα] Ita Orat. XII. μεθ' αὐτῶν ἀκολουθεῖν εἰς Δαμνίππου. Bene igitur Lucas IX. 49. ὅτι οὐκ ἀκολουθεῖ μεθ' ἡμῶν. et Ioannes Apocal. XIV. 13. τὰ δὲ ἔργα αὐτῶν ἀκολουθεῖ μετ' αὐτῶν. Sic et Isocrates p. 138. ἀπεστερημένους δὲ τοῦ στρατηγοῦ, μεθ' οὗ συνηκολούθησαν: et alibi. Vide plura apud doctiss. Lambertum Bos Exercit. Philol. ad Luc. IX. MARKLAND. ἀκολουθεῖν μετά τινος damnant Atticistæ. Vide Phrynichum, virosque doctos ad Phrynichum. *In Edit. min.* TAYLOR.

Τὸ δὲ μέγιστον] Ὃ δὲ μέγιστον. CONT. Quod Tayloro quoque magis Atticum videtur.

Τὰ φύσει πεφυκότα καὶ τὰ θεῖα πράγματα] Scribo: τὰ φύσει πεπηγότα, καὶ τὰ θεῖα προστάγματα. *res a Natura fixas, et dispositiones Divinas.* Demosthenes in Aristogit. I. ταῦτα τοίνυν Ἀριστογείτων, τὰ καλῶς οὕτω πεπηγότα τῇ φύσει καὶ τοῖς ἤθεσι τοῖς ὑμετέροις, κινεῖ, καὶ ἀναιρεῖ, καὶ μεταῤῥίπτει. Fœdum in hoc genere mendum apud Athenagoram Legat. pro Christian. p. m. 110. ubi de Bonitate Dei ait: ὃ κατὰ συμβεβηκός ἐστιν αὐτῷ καὶ συνυπάρ-

γματα καὶ τὰς ἀνθρωπίνας διανοίας, ὁδὸν μὲν διὰ τῆς 93
θαλάσσης ἐποιήσατο, πλοῦν δὲ διὰ τῆς γῆς ἠνάγκασε γενέ- 94
σθαι, ζεύξας μὲν τὸν Ἑλλήσποντον, διορύξας δὲ τὸν Ἄθω, ὑφισταμένου οὐδενὸς, ἀλλὰ τῶν μὲν ἀκόντων ὑπακουόντων, τῶν δὲ ἑκόντων προδιδόντων. οἱ μὲν γὰρ οὐχ ἱκανοὶ ἦσαν ἀμύνασθαι, οἱ δ' ὑπὸ χρημάτων διεφθαρμένοι· ἀμφότερα δ' ἦν αὐτοὺς τὰ πείθοντα, κέρδος καὶ δέος. Ἀθηναῖοι δ', οὕτω διακειμένης τῆς Ἑλλάδος, αὐτοὶ μὲν εἰς τὰς ναῦς εἰσβάντες ἐπ' Ἀρτεμίσιον ἐβοήθησαν, Λακεδαιμόνιοι δὲ καὶ τῶν συμμάχων ἔνιοι εἰς Θερμοπύλας ἀπήντησαν, ἡγούμενοι διὰ τὴν στενότητα τῶν χωρίων τὴν πάροδον οἷοί τε ἔσεσθαι διαφυλάξαι. γενομένου δὲ τοῦ κινδύνου κατὰ τὸν αὐτὸν χρόνον,
Ἀθηναῖοι μὲν ἐνίκων τῇ ναυμαχίᾳ, Λακεδαιμόνιοι δὲ [1] ἡτ- 95
τῶντο [2] οὐ ταῖς ψυχαῖς ἐνδεεῖς γενόμενοι, ἀλλὰ τοῦ πλήθους

[1] ἡττῶντο om. T. R. ἐδυστύχησαν A.

[2] οὐδὲ T. οὐδὲν R. A.

χον etc. Scribe *κατὰ συμπεφυκὸς*, *connaturaliter*. De mutatione vocum *πράγματα* et *προστάγματα* fusius dicam ad Orat. XIV. MARKLAND. In medio relinquam, dederitne Lysias *τὰ φύσει ἄπορα πεφυκότα*, an id quod vulgati circumferunt; in quo ego equidem duri aut repugnantis nihil cerno. *τὰ φύσει πεφυκότα* sunt *τὰ διὰ φυσικὴν ἀνάγκην οὕτως, ὡς ἔχει, ἔχοντα, ὥστε μὴ δύνασθαι ἄλλως εἶναι ἢ ἐστί.* Tres rerum classes, a Xerxe spretarum, facit hic Lysias. primam constantem, immutabilem et vinci nesciam rerum naturalium rationem, cujusmodi res sunt, terræ, maria, montes. hæc natura rerum non consilio regitur, sed cæcæ servit necessitati. alteram divina imperia, ominibus atque portentis demonstrata; quo pertinet defectio solis, de qua Herodotus. tertiam, consilia atque instituta humana. REISK.

Ὁδὸν μὲν διὰ τῆς θαλάσσης ἐποιήσατο, πλοῦν δὲ διὰ τῆς γῆς ἠνάγκασε γενέσθαι, ζεύξας μὲν τὸν Ἑλλήσποντον, διορύξας δὲ τὸν Ἄθω] Isocrates: *οὐ πρότερον ἐπαύσατο, πρὶν ἐξεῦρε καὶ συνηνάγκασεν, ὃ πάντες θρυλλοῦσιν, ὥστε τῷ στρατοπέδῳ πλεῦσαι μὲν διὰ τῆς ἠπείρου, πεζεῦσαι δὲ διὰ τῆς θαλάττης, τὸν μὲν Ἑλλήσποντον ζεύξας, τὸν δὲ Ἄθω διορύξας.* Hic est ille celebris Oratorum campus, et locus communis, quem deridet salsus ille Samosatensis, Rhet. Præcept. p. 320. *Καὶ ἀεὶ ὁ Ἄθως πλείσθω, καὶ ὁ Ἑλλήσποντος πεζευέσθω.* MARKLAND.

Προδιδόντων] Scil. aut *τὴν Ἑλλάδα*, aut *ἑαυτούς*. REISK. Np. *τὴν Ἑλλάδα*. AUGER.

Οἱ δὲ — διεφθαρμένοι] Subaudi *ἦσαν*. Sic defendi vulgata possit. videtur tamen potius aliquid hic deesse post participium, e. c. *οὐκ ἐβούλοντο*, vel *οὐκ ἠθέλησαν*, scil. *ἀμύνεσθαι*. alii vero patriæ succurrere nolebant, propterea quod largitionibus essent ad segnitiem atque proditionem corrupti. REISK.

Ἀμφότερα] Videtur in quibusdam codicibus fuisse hæc lectio: *ἀμφοτέρους δ' ἦν αὐτοὺς*, in aliis istæc: *ἀμφοτέροις δ' ἦν αὐτοῖς*. id quod e varietate lectionis colligo. ambobus illis erant causæ, quibus moverentur. IDEM.

Γενομένου] Post *γενομένου δὲ* videtur *ἀμφοῖν* deesse, quod insequentia *κατὰ τὸν αὐτὸν χρόνον* satis perspicue postulant. discrimine sub idem tempus ambobus congruente, Lacedæmoniis puta et Atheniensibus. IDEM.

Λακεδαιμόνιοι δὲ οὐδὲ ταῖς ψυχαῖς ἐνδεεῖς γενόμενοι etc.] Claudicat constructio, defectu Verbi. legendum forte *ἐγένοντο* pro *γενόμενοι*: et ponenda *ὑποστιγμὴ* post *ἔμελλον*. Sequitur: *οὐχ ἡττηθέντες τῶν ἐναντίων, ἀλλ' ἀποθανόντες οὗπερ ἐτάχθησαν μάχεσθαι.* Isocrates: *οὐ γὰρ δὴ τοῦτό γε θέμις εἰπεῖν, ὡς ἡττήθησαν· οὐδεὶς γὰρ αὐτῶν φυγεῖν ἠξίωσεν.* Lycurgus pæne ad verbum, ex nostro, opinor: *οὐχ ἡττηθέντες, ἀλλ' ἀποθανόντες ἔνθα παρετάχθησαν* (f. *ἔνθα περ ἐτάχθησαν*) *μάχεσθαι.* MARKLAND. Post hæc verba *Λακεδαιμόνιοι δὲ* videtur *ἐδυστύχησαν* aut *συμφορᾷ ἐχρήσαντο*, aut tale quid deesse. REISK.

Οὐδὲν] Sic de meo dedi. vulgati dant

ψευσθέντες, καὶ οὓς φυλάξειν ᾤοντο καὶ πρὸς οὓς κινδυ-
νεύσειν ἔμελλον, οὐχ ἡττηθέντες τῶν ἐναντίων, ἀλλ᾿ ἀπο-
θανόντες οὗπερ ἐτάχθησαν μάχεσθαι. τούτῳ δὲ τῷ τρόπῳ
τῶν μὲν δυστυχησάντων, τῶν δὲ τῆς παρόδου κρατησάντων,
96 οἱ μὲν ἐπορεύοντο ἐπὶ τήνδε τὴν πόλιν· οἱ δ᾿ ἡμέτεροι πρό-
γονοι πυθόμενοι μὲν τὴν γεγενημένην Λακεδαιμονίοις συμ-
φορὰν, ἀποροῦντες δὲ τοῖς περιεστηκόσι πράγμασιν, εἰδότες
δ᾿ ὅτι, εἰ μὲν κατὰ γῆν τοῖς βαρβάροις ἀπαντήσονται, ἐπι-
πλεύσαντες χιλίαις ναυσὶν ἐρήμην τὴν πόλιν λήψονται, εἰ δὲ
εἰς τὰς τριήρεις ἐμβήσονται, ὑπὸ τῆς πεζῆς στρατιᾶς [1] ἁλώ-
97 σονται, ἀμφότερα δὲ οὐ δυνήσονται, ἀμύνασθαί τε καὶ
φυλακὴν ἱκανὴν καταλιπεῖν, δυοῖν δὲ προκειμένοιν, πότερον
χρὴ τὴν πατρίδα ἐκλιπεῖν ἢ μετὰ τῶν βαρβάρων γενομέ-

[1] ἁλώσεται T.

οὐδέ. οὐδὲν idem est, atque κατ᾿ οὐδέν. nulla in re passi suum animum aut fortitudinem desiderari. Idem. οὐδέν. Wakefield.

Καὶ οὓς] Bene habet hic locus. idem est ac si dixisset: καὶ τοῦ τούτων (scil. πλήθους) οὓς φυλάξειν ᾤοντο, καὶ τοῦ τούτων, πρὸς οὓς κινδυνεύειν ἔμελλον. vehementer decepti numero multitudinis, tam ejus, quam erant ipsi tuituri, quam illius, adversus quam dimicaturi. h. e. eo quod et Græci pauciores numero, quam pro spe sua, suis in castris coissent, et a Persarum turba multo majore opprimerentur, quam opinati fuissent. Reisk.

Μάχεσθαι] Hæret sententia, nec quidquam tamen in scriptis libris adjumenti. Taylor. ἡττῶντο ex cod. Laurentiano supplevi. *inferiores evadebant* — οὐχ ἡττηθέντες κ. τ. λ. *non ab hostibus victi, sed animas efflati* etc.

Εἰδότες δ᾿] Illud δὲ abesse malim. causam enim subjicit, cur incerti ac dubii fuissent, quidnam in re tam ancipiti sequerentur. Reisk.

᾿Απαντήσονται] Et ἐμβήσονται, ad Athenienses refertur, medium interjectum λήψονται ad Persas. Est quidem hæc æstuatio velut orationis, uno quasi spiritu ab aliis ad alios transsilientis, et rursus ab his ad illos resultantis, nulla addita nota, unde discernatur, utri designentur identidem, labes quædam. Verum eccui talia non excidunt, præsertim contendenti, cui tanto paratior esse debet venia, quod ipsa rerum expositarum natura lectori cuique subjiciat, quo quidque sit referendum. Idem.

Λήψονται] Np. οἱ βάρβαροι. Auger.

῾Αλώσονται] In tanto strepitu vocum ὁμοιοτελεύτων, nimirum ἀπαντήσονται, λήψονται, ἐμβήσονται, δυνήσονται, nihil novum, si Calligrapho tinniebant aures arrectæ magis, quam mens et cogitatio. Pronum ergo fuit et ἁλώσονται [quod dant vulgatæ et Aug.] ceteris adscribere, cum tamen neque Barbari neque Athenienses, sed urbs ipsa intelligitur. Taylor. Revocavi ἁλώσονται, quod Taylor auctoritate mere sua cum ἁλώσεται mutaverat. Redit ἁλώσονται ad Athenienses. Non tantum is, qui vivus captus in potestatem hostis venit, dicitur ἁλίσκεσθαι, sed etiam is, cujus postquam captæ et corruptæ sunt fortunæ, pessumdatus ipse est. quod hic loci obtinet. Reisk.

῾Αλώσονται] Np. οἱ ᾿Αθηναῖοι, vel τὰ ᾿Αθηναίων πράγματα. Auger.

Δυοῖν δὲ] Scil. πραγμάτοιν, vel potius αἱρέσεοιν. Reisk.

Καταλιπεῖν] [Sic vulgatæ et Aug.] Præ τῷ ἐκκλίνειν Codd. Ald. et Coislinianorum tutior certe fuit sententia Stephani καταλιπεῖν, adjuta quoque a Cantabrigiensibus. Optima tamen fide nobiscum agit Baroc. exhibens pro varia lectione ἐκλιπεῖν. Quod cum ad scripturam propius accedit, tum non levem auctoritatem meretur ex vulgata Græcorum phrasi. ἐξέλιπον ὑπὲρ τῆς ῾Ελλάδος τὴν πόλιν. Noster hoc ipso fere in loco. Et deinde: ἐκλιπόντες μὲν τὴν πόλιν, εἰς τὰς ναῦς δ᾿ ἐσβάντες. Et Isocr. in Paneg. Τοὺς τῶν ἑαυτῶν ἐκλιπόντας ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας. Thucyd. I. 18. in ead. historia: Καὶ οἱ ᾿Αθηναῖοι ἐπιόντων τῶν Μήδων διανοηθέντες ἐκλιπεῖν τὴν πόλιν, κ. τ. λ. Herodot. pariter Polymn. 139. Εἰ ᾿Αθηναῖοι καταῤῥωδήσαντες τὸν ἐπιόντα κίνδυνον ἐξέλιπον

νους καταδουλώσασθαι τοὺς Ἕλληνας, ἡγησάμενοι κρεῖττον 98
εἶναι μετ' ἀρετῆς καὶ πενίας καὶ φυγῆς ἐλευθερίαν ἢ μετ'
ὀνείδους καὶ πλούτου δουλείαν τῆς πατρίδος, ἐξέλιπον ὑπὲρ
τῆς Ἑλλάδος τὴν πόλιν, ἵν' ἐν μέρει πρὸς ἑκατέραν ἀλλὰ
94. 1 μὴ πρὸς ἀμφοτέρας ἅμα τὰς δυνάμεις κινδυνεύσωσιν· ὑπεκ-
θέμενοι δὲ παῖδας καὶ γυναῖκας καὶ μητέρας εἰς Σαλα-
μῖνα, συνήθροιζον καὶ τὸ τῶν ἄλλων συμμάχων ναυτικόν.
οὐ πολλαῖς δ' ὕστερον ἡμέραις ἦλθε καὶ ἡ πεζὴ στρατιὰ
καὶ τὸ ναυτικὸν τὸ τῶν βαρβάρων, ὃ τίς [1] ἰδὼν οὐκ ἂν ἐφο-
βήθη, [2] ὡς μέγας καὶ δεινὸς τῇδε τῇ πόλει κίνδυνος ὑπὲρ τῆς
τῶν Ἑλλήνων ἐλευθερίας ἠγωνίσθη; ποίαν δὲ γνώμην εἶχον
ἢ οἱ θεώμενοι τοὺς ἐν ταῖς ναυσὶν ἐκείναις, οὔσης καὶ τῆς
αὐτῶν σωτηρίας ἀπίστου [3] καὶ τοῦ προσιόντος κινδύνου, ἢ 99
οἱ μέλλοντες ναυμαχήσειν ὑπὲρ τῆς φιλότητος, ὑπὲρ τῶν

[1] οὐκ ἂν ἰδὼν T. R. ἰδὼν ἂν οὐκ A. [2] οἷος T. R. A.
[3] καὶ προσιόντος τοῦ A.

Εἰ μή τις κ. τ. λ.] Corrigenda hæc ex superiori. Idem. οὐδ᾽ εἴ τις παῖδ᾽ ἐξῆγεν, ἀλλὰ τὸν ὡς ἀνδραποδιστήν. ἢ αὐτὸς μὲν ἐδικάσω κακηγορίας. Cont.

Εἰ μή τις παῖδ᾽ ἐξῆγεν] Iterum ex Lysia corrigendum: μηδ᾽ εἰ τὴν παῖδ᾽ ἐξῆγεν, ὡς ἀνδραποδιστὴν, sc. ἀπεδέχου ἄν. Ille ita: οὐδ᾽ εἰ τὴν παῖδα ἐξαγαγὼν ληφθείη, οὐκ ἂν φάσκοις αὐτὸν ἀνδραποδιστὴν εἶναι. Luderet, inquit, quisquis diceret, Non sum ἀνδραποδιστὴς, quia in servitutem non deduxi vel abduxi ἄνδρα *virum*, sed τὴν παῖδα *puellam*. quasi aliquis diceret, Non sum *Parricida*, quia non *patrem* occidi, sed *fratrem* tantum. Atqui ut *Parricidii actio non solum in eum dabatur, qui* parentem *interemisset, sed et in eum, qui* fratrem *occiderat* (Isidorus Orig. V. 26.), sic et ἀνδραποδιστὴς erat non solum qui *liberum virum*, sed et qui *servum* vel *servam* (*serva* enim comprehenditur sub *servo*) alienam abduxisset, Pollux Onomast. III. 8. segm. 78. Horum vero pœna erat Mors, si confiterentur, vel convincerentur. unde Agorati frater ob tale delictum ultimo sup-

ποδιστήν. καὶ αὐτὸς μὲν ἐδικάσω κακηγορίας τῷ εἰπόντι σε ῥῖψαι τὴν ἀσπίδα. [1] καίτοι ἐν τῷ νόμῳ οὐ γέγραπται, ἀλλ' ἐάν τις φῇ ἀποβεβληκέναι. πῶς οὖν οὐ δεινὸν, ἐὰν [2] μέν τις σὲ εἴπῃ, τοὺς νόμους ἐκλαμβάνειν οὕτως ὥσπερ ἐγὼ νῦν, καὶ τιμωρεῖν τοὺς ἐχθρούς· ἐὰν δὲ αὐτὸς εἴπῃς, οὐκ [3] ἄξιον δοῦναι 379 δίκην; βοηθήσατε οὖν μοι, ἐνθυμούμενοι ὅτι μεῖζόν ἐστι κακὸν τὸν πατέρα ἀπεκτονέναι ἢ τὴν ἀσπίδα ῥῖψαι. ἐγὼ οὖν δεξαίμην [4] πάσας ἀποβεβληκέναι ἢ τοιαύτην γνώμην περὶ τὸν πατέρα ἔχειν. καί γε τοῦτον μὲν ἑώρακα ποιοῦντα, ὡς καὶ ὑμεῖς ἴστε· αὐτὸς δ' ἔσωσα τὴν ἀσπίδα. ὥστε διὰ τί οὐκ ἂν λάβοιμι δίκην παρ' αὐτοῦ; τίνος ἐγκλήματός μοι ὄντος; πότερον ὡς δικαίως ἤκουσα; ἀλλ' οὐδ' ἂν αὐτοὶ φήσαιτε. ἀλλ' [5] ὡς βελτίονος ὄντος; ἀλλ' οὐδ' ἂν αὐτὸς ἀξιώσειεν. ἀλλ' ὅτι ἀποβεβληκὼς τὰ ὅπλα σώσαντι δικάζομαι; ἀλλ' οὐχ οὗτος ὁ λόγος διέσπαρται κατὰ τὴν πόλιν. μὴ δὴ κακῶς ἀκούοντα τὰ προσήκοντα ἐλεεῖτε, μηδ' ὑβρίζοντί τε καὶ λέγοντι παρὰ τοὺς νόμους συγγνώμην ἔχετε· καὶ ταῦτα εἰς ἄνδρα, ὃς πολλὰς μὲν στρατηγίας ἐστρατήγηκε, [6] πολλοὺς δὲ μεθ' ὑμῶν [7] κινδύνους κεκινδύνευκε, καὶ οὔτε τοῖς πολεμίοις ὑποχείριος γέγονεν οὔθ' ὑμῖν εὔθυναν ὦφλεν, ἑβδομήκοντα δ' ἐτῶν ὢν ὑπ' ὀλιγαρχίας

[1] καίτοι περὶ τοῦ ῥῖψαι ἐν A. [2] μή τις γε εἴπῃ T. R. μέν τίς σε κακῶς εἴπῃ A. [3] ἀξιοῦν A. [4] πάσας τὰς ἀσπίδας ἀποβ. A. [5] ὡς τούτου βελτίονος A. [6] πολλὰς T. R. [7] κινδύνους om. T. R.

plicio afficiebatur, ut narrat Noster Orat. XIII. MARKLAND.

Καίτοι ἐν τῷ νόμῳ οὐ γέγραπται] Supra monui legendum: καίτοι τὸ ῥῖψαι ἐν τῷ νόμῳ οὐ γέγραπται. Lysias: καίτοι περὶ μὲν τοῦ ῥῖψαι οὐδὲν ἐν τῷ νόμῳ εἴρηται. Ita alter alteri suppetias fert. IDEM. et *in Edit. min.* TAYLOR.

Πῶς οὖν κ. τ. λ.] Scribe mecum: Πῶς οὖν οὐ δεινὸν, ἐὰν μέν τις σὲ εἴπῃ, τοὺς νόμους ἐκλαμβάνειν οὕτως, ὥσπερ ἐγὼ νῦν, καὶ τιμωρεῖν τοὺς ἐχθρούς. ἐὰν δὲ αὐτὸς εἴπῃς, οὐκ ἀξιοῦν δοῦναι δίκην. TAYLOR. Lege et distingue: ἐὰν μέν τις σε κακῶς εἴπῃ, — τιμωρεῖν τοὺς ἐχθρούς· ἐὰν δὲ αὐτὸς εἴπῃς, οὐκ ἀξιοῦν (non ἄξιον) δοῦναι δίκην; Lysias: οὐκοῦν δεινὸν, εἰ, ὅταν μὲν δεήσῃ (vel δέῃ) σε κακῶς ἀκούσαντα τοὺς ἐχθροὺς τιμωρεῖσθαι, οὕτω τοὺς νόμους, ὥσπερ ἐγὼ νῦν, λαμβάνεις· ὅταν δ' ἕτερον παρὰ τοὺς νόμους εἴπῃς κακῶς, οὐκ ἀξιοῖς δοῦναι δίκην. Omnia eadem in utroque, nisi quod Interrogative hæc efferat Abbreviator. MARKLAND. ἐὰν μέν τις γε —. CONT.

Ἐγὼ οὖν δεξαίμην] Melius Lysias: ἐγὼ γοῦν δεξαίμην ἄν. MARKLAND.

Πάσας ἀποβ.] Πάσας ἀσπίδας ἀποβ. CONT.

Καί γε τοῦτον μὲν ἑώρακα] Καίτοι γε τοῦτον μὲν τοῦτο ἑώρακα. IDEM.

Ἀλλ' ὡς βελτίονος ὄντος;] Deest τούτο ante ὄντος. Vide Orat. IX. MARKLAND. Legendum: ἀλλ' ὡς βελτίων οὗτος; sunt enim hæc expressa ex oratione præcedente, cujus hæc est epitome, ubi p. 118. v. 12. ed. Steph. hæc in eandem sententiam: ἀλλ' ὅτι βελτίων καὶ ἐκ βελτιόνων ὁ φεύγων ἐμοῦ. SLUITER.

Πολλὰς δὲ μεθ' ὑμῶν κεκινδύνευκε] Legendum cum præcedenti: πολλοὺς δὲ μεθ' ὑμῶν κινδύνους κεκινδύνευκε. CONT. TAYLOR. Lege πολλάκις. patet ex sensu et Lysia. MARKLAND. et *in Edit. min.* TAYLOR.

ἐτελεύτησε διὰ τὴν ὑμετέραν εὔνοιαν. ἄξιον δὲ ὀργισθῆναι
380 ὑπὲρ αὐτοῦ. τί γὰρ ἂν τούτου ἀνιαρότερον ἀκούσειεν, εἰ τε-
θνηκὼς ὑπὸ τῶν ἐχθρῶν αἰτίαν ἔχοι ὑπὸ τῶν τέκνων ἀνη-
ρῆσθαι; οὗ τῆς ἀρετῆς τὰ μνημεῖα πρὸς τοῖς ὑμετέροις ἱε- 40
ροῖς ἀνάκειται, τῆς δὲ τούτων κακίας πρὸς τοῖς τῶν πολε-
μίων;

γ΄. Ἐρεῖ δὲ ὡς ὀργισθεὶς εἴρηκεν. ὑμεῖς δ᾽ ἐνθυμεῖσθε ὅτι
ὁ νομοθέτης οὐδεμίαν συγγνώμην ὀργῇ δίδωσιν, ἀλλὰ ζη-
μιοῖ [1] τὸν λέγοντα, ἐὰν μὴ ἀποδεικνύῃ ἀληθῆ. ἐγὼ δὲ δὶς
περὶ τούτου μεμαρτύρηκα· οὐ γὰρ ᾔδειν ὅτι ὑμεῖς τοὺς μὲν
ἰδόντας τιμωρεῖσθε, τοῖς δὲ ἀποβάλλουσι συγγνώμην ἔχετε.
δέομαι οὖν καταψηφίσασθαι αὐτοῦ. νυνὶ γὰρ διώκω μὲν κα- 120. 1
κηγορίας, τῇ δ᾽ αὐτῇ ψήφῳ φόνου φεύγω τοῦ πατρὸς, οὗ
μείζων ἀγὼν οὐκ ἂν γένοιτό μοι, ὃς μόνος δοκιμασθεὶς τοῖς
Τριάκοντ᾽ ἐπεξῆλθον ἐν Ἀρείῳ πάγῳ. βοηθήσατ᾽ οὖν κἀ-
κείνῳ κἀμοί.

[1] τὸν κακῶς λέγοντα Λ.

Διὰ τὴν ὑμετέραν εὔνοιαν] *Propter vestram benevolentiam*, i. e. propter benevolentiam in vos. AUGER.

Ἀληθῆ] Sub. λέξαντα. Prior oratio dat plenius: ὥς ἐστιν ἀληθῆ τὰ εἰρημένα. IDEM.

Ἰδιώτας] Ostendi superius lectionem esse ἰδόντας. Ita legit et Schott. TAYLOR. Schottus ἰδόντας, optime. Lysias: τοὺς μὲν ἰδόντας τιμωρεῖσθε. MARKLAND. ἰδόντας. CONT.

Κατηγορίας] Κακηγορίας. SCAL. SCHOTT. Atqui Stephanus, qui hæc reliquit, vix unica pagina elapsa idem mendum sustulerat. TAYLOR. Iterum recte Schottus, κακηγορίας. Lysias: νῦν γὰρ διώκω κακηγορίας. Isocrates Panegyrico: χρὴ δὲ κακηγορεῖν μὲν ἡγεῖσθαι τοὺς ἐπὶ βλάβῃ λοιδοροῦντας: ita scribendum puto pro κατηγορεῖν. Sic et initio Orat. de Bigis, pro κατηγορίας scribendum forte κακηγορίας. MARKLAND.

Μόνος] Μόνον. CONT.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΕΡΑΤΟΣΘΕΝΟΥΣ*

ΤΟΥ ΓΕΝΟΜΕΝΟΥ ΤΩΝ ΤΡΙΑΚΟΝΤΑ,

ΟΝ ΑΥΤΟΣ ΕΙΠΕ ΛΥΣΙΑΣ.

ΥΠΟΘΕΣΙΣ.

Eratosthenes cum unus de triginta Tyrannis esset, Lysiæ fratrem, Polemarchum nomine, indicta causa necari jusserat. Quare nunc de eo supplicium vult sumi Lysias. CANTERUS.

Pag. ed. H. Steph. | Pag. ed. Reisk.

120. α΄. ΟΥΚ ἄρξασθαί μοι δοκεῖ ἄπορον εἶναι, ὦ ἄνδρες δικα- 381
σταὶ, τῆς κατηγορίας, ἀλλὰ παύσασθαι λέγοντι· τοιαῦτα
αὐτοῖς τὸ μέγεθος καὶ τοσαῦτα τὸ πλῆθος εἴργασται, 382
ὥστε μήτ' ἂν ψευδόμενον δεινότερα τῶν ὑπαρχόντων κατη-
γορῆσαι, μήτε τἀληθῆ βουλόμενον εἰπεῖν ἅπαντα δύνασθαι,
ἀλλ' ἀνάγκη ἢ τὸν κατήγορον ἀπειπεῖν ἢ τὸν χρόνον ἐπιλι- 383

* ΚΑΤΑ ΕΡΑΤΟΣΘΕΝΟΥΣ] Κατ' Ἐρατοσθένους. Κατ' Ἐρατοσθένους ἑνὸς τῶν Τριάκοντα. Κατὰ Ἐρατοσθένους ἑνὸς τῶν Τριάκοντα, ὃν αὐτὸς εἶπε Λυσίας. Ita MSS. et auctores, qui hanc orationem laudant. V. Harpocr. in Δαρεικός. Θέογνις. Θηραμένης. et alibi. Neque ambitiosa nimis cuiquam videatur priorum temporum sedulitas, quæ adjunxit ὃν αὐτὸς εἶπε Λυσίας. Noster enim, qui plurimas causas *scripsit*, nullam fortasse *egit*, hac unica excepta, eam diligentiam annotandi flagitat. Contra fere Demostheni usu venit, ut non quas ipse egerit, sed quas aliis agendas scripserit, curiosius erant indicandæ. Athen. l. 13. p. 283. m. Δημοσθένης δ' ὁ ῥήτωρ ἐν τῷ κατὰ Νεαίρας λόγῳ, εἰ γνήσιος, ὃν Ἀπολλόδωρος εἴρηκεν. Egit enim Apollodorus quidam, cujus gratia scripta fuit a Demosthene, si tamen a Demosthene. Tu interea, Dalechampi, non bene de Apollodoro Critico somniasti. "Demosthenes Rhetor in oratione contra Neæram, si modo germana est," ut Apollodorus censuit. TAYLOR.

Οὐκ ἄρξασθαί—] Initium orationis notante V. D. in M. Ald. expressit Cicero pro Leg. Manil. c. 1. "Hujus autem orationis difficilius est exitum, quam principium invenire." SLUITER.

Τοιαῦτα] Cont. τοιαῦτα γὰρ, addendo γὰρ, quod et ego velim in textum induxisse. AUGER.

Αὐτοῖς] Eratostheni ejusque collegis atque satellitibus. REISK. AUGER.

Ἀνάγκη] Ἀνάγκην εἶναι Stephano placet magis, præter rem religioso. Nam quamvis præ Stephanica lectione tolerari possit ἀνάγκῃ in tertio casu pro ἀναγκαίως, ego tamen quasi absolute dictum integrum relinquo. N. de Evandri probat. Ἐὰν ἐπὶ τοιόνδε λόγον τράπωνται ὡς ὁ χρόνος οὐκ ἐγχωρεῖ ἄλλον ἀποκληρῶσαι, ἀλλ' ἀνάγκη ἐὰν αὐτὸν ἀποδοκιμάσητε, ἄθυτα τὰ πάτρια ἱερὰ γίγνεσθαι κ. τ. λ. Hujusmodi est in Orat. c. Andoc. Οὐχ οἷόν τε ὑμῖν ἐστὶν ἅμα τοῖς τε νόμοις — καὶ Ἀνδοκίδῃ χρῆσθαι, ἀλλὰ δυοῖν θάτερον, ἢ τοὺς νόμους ἐξαλειπτέον ἐστὶν ἢ ἀπαλλακτέον τοῦ ἀνδρός. Et Lucian. in Amorib. Καί τις ἄρα πρῶτος ὀφθαλμοῖς τὸ ἄῤῥεν εἶδεν ὡς θῆλυ δυοῖν

πεῖν. τοὐναντίον δέ μοι δοκοῦμεν πείσεσθαι ἢ ἐν τῷ [1] πρὸ τοῦ χρόνῳ. πρότερον μὲν γὰρ ἔδει τὴν ἔχθραν τοὺς κατηγοροῦντας ἐπιδεῖξαι, ἥτις εἴη πρὸς τοὺς φεύγοντας· νυνὶ δὲ παρὰ τῶν φευγόντων χρὴ πυνθάνεσθαι, ἥτις ἦν αὐτοῖς πρὸς τὴν πόλιν ἔχθρα, ἀνθ' ὅτου τοιαῦτα ἐτόλμησαν εἰς αὐτὴν ἐξαμαρτάνειν. οὐ μέντοι ὡς οὐκ ἔχων οἰκείας ἔχθρας καὶ συμφορὰς τοὺς λόγους ποιοῦμαι, ἀλλ' ὡς ἅπασι πολλῆς
384 ἀφθονίας [2] οὔσης ὑπὲρ τῶν ἰδίων ἢ ὑπὲρ τῶν δημοσίων ὀργίζεσθαι. ἐγὼ μὲν οὖν, ὦ ἄνδρες δικασταὶ, οὔτ' ἐμαυτοῦ πώποτε οὔτε ἀλλότρια πράγματα πράξας νῦν ἠνάγκασμαι ὑπὸ τῶν γεγενημένων τούτου κατηγορεῖν, ὥστε πολλάκις εἰς πολλὴν ἀθυμίαν κατέστην, μὴ διὰ τὴν ἀπειρίαν ἀναξίως καὶ ἀδυνάτως ὑπὲρ τοῦ ἀδελφοῦ καὶ ἐμαυτοῦ τὴν κατηγορίαν ποιήσωμαι· ὅμως δὲ πειράσομαι ὑμᾶς ἐξ ἀρχῆς ὡς ἂν δύνωμαι δι' ἐλαχίστων διδάξαι.

β'. Οὑμὸς πατὴρ Κέφαλος ἐπείσθη μὲν ὑπὸ Περικλέους εἰς ταύτην τὴν γῆν ἀφικέσθαι, ἔτη δὲ τριάκοντα ᾤκησε, καὶ οὐδενὶ πώποτε οὔτε ἡμεῖς οὔτε ἐκεῖνος δίκην οὔτε ἐδι-

[1] προτοῦ T. R. A. [2] οὔσης οὐχ ὑπὲρ A.

θάτερον, ἢ τυραννικῶς βιασάμενος ἢ πείσας πανούργως. TAYLOR. Non opus puto ut quidquam mutetur: subintelligas modo ἐστὶ post ἀνάγκη. Cæterum Orationem hanc *quinquies* nominatim citat Harpocration sine ulla dubitationis nota: nempe in Vocibus Δαρεικὸς, Θέογνις, Θηραμένης, Πείσων, Πολέμαρχος. Scripsit quoque Orationem Noster ὑπὲρ τοῦ Ερατοσθένους, *pro Eratosthene*, quodam: Idem V. Αὐθέντης. MARKLAND. Sub. ἐστί. AUGER.

Ἥτις ἢ] Π. ἥτις ᾖ. Μᾶλλον δὲ, ἥτις ἦν. H. STEPHAN.

Ἀνθ' ὅτου] Aut ἀνθ' ὅτης leg. ut ad ἔχθρας referatur, aut leg. καὶ ἀνθ' ὅτου, scil. ἔργου, vel γεγονότος, vel συμβάντος. *et cujus facti aut casus ergo.* REISK. Sub. πράγματος. aliqui vellent legi ἀνθ' ὅτης referendo ad ἔχθρα, quod malim. AUGER.

Πολλῆς ἀφθονίας οὔσης] Deest οὐ μᾶλλον post οὔσης. CANTER. Si deesset μᾶλλον, attamen non οὐ μᾶλλον. Sed neque μᾶλλον abest per dolum librarii. Abesse solet. Ἐγὼ γοῦν δεξαίμην ἂν πάσας τὰς ἀσπίδας ἐῤῥιφέναι ἢ τοιαύτην γνώμην ἔχειν. N. in oratt. præcedentibus.

Βουλοίμην δ' ἂν ἔγωγε καὶ ἄλγεα πολλὰ μογήσας
Οἴκαδέ τ' ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι
Ἢ ἐλθὼν ἀπολέσθαι ἐφέστιος.
Hom. Odyss. Γ. 232.

Οὕτω ὦν ἡμέας δίκαιον ἔχειν τὸ ἕτερον κέρας ἤπερ Ἀθηναίους. i. e. δικαιότερον. Herodot. Calliop. 26. δικαίως ἄν τις τούτους ἢ τοὺς — Diod. Sic. l. 11. Ita Latini. "Eo tacent, quia tacita *bona* st mulier semper *quam* loquens." Plaut. Rud. IV. 4. 70. Qui plura velit adeat Bosii Ellips., Vechner. Hellenolex., et Scholam Grammaticorum. Παρ' ἡμῖν γὰρ πόκος εὖ κνάπτεται. TAYLOR. Ad verba πολλῆς ἀφθονίας οὔσης subauditur τῶν ἰδίων καὶ τῶν δημοσίων κακῶν. tum post verba ὑπὲρ τῶν ἰδίων desunt istæc pauca εἰώθασι μᾶλλον. *sed quia, quanquam satis et superest cuique malorum privatorumque publicorumque, tamen homines majores iras concipere et exercere solent super privatis injuriis, quam super publicis.* REISK. Ante ὑπὲρ addidi οὐχ, subaudiendo μᾶλλον, quod haud raro subaudiunt scriptores Attici. AUGER.

Ὤκησε] Imo vero μετῴκησε. Cephalus enim cum liberis, non cives erant Athenis, sed μέτοικοι, *inquilini*. REISK. Et quidem recte. AUGER.

κασάμεθα οὔτε ἐφύγομεν, ἀλλ᾽ οὕτως ᾠκοῦμεν δημοκρα-
τούμενοι, ὥστε μήτε εἰς τοὺς ἄλλους ἐξαμαρτάνειν μήτε ὑπὸ
τῶν ἄλλων ἀδικεῖσθαι. ἐπειδὴ δ᾽ οἱ Τριάκοντα πονηροὶ μὲν
καὶ συκοφάνται ὄντες [1] εἰς τὴν ἀρχὴν κατέστησαν, φάσκον- 385
τες χρῆναι τῶν ἀδίκων καθαρὰν ποιῆσαι τὴν πόλιν καὶ τοὺς
λοιποὺς πολίτας ἐπ᾽ ἀρετὴν καὶ δικαιοσύνην τραπέσθαι·
καὶ τοιαῦτα λέγοντες οὐ τοιαῦτα ποιεῖν ἐτόλμων, ὡς ἐγὼ
περὶ τῶν ἐμαυτοῦ πρῶτον εἰπὼν καὶ περὶ τῶν ὑμετέρων 386
ἀναμνῆσαι πειράσομαι. Θέογνις γὰρ καὶ Πείσων ἔλεγον ἐν
τοῖς Τριάκοντα περὶ τῶν μετοίκων, ὡς εἶέν τινες τῇ πολι-
τείᾳ ἀχθόμενοι· καλλίστην οὖν εἶναι πρόφασιν τιμωρεῖσθαι
μὲν δοκεῖν, τῷ δ᾽ ἔργῳ χρηματίζεσθαι, [2] πάντως δὲ τὴν μὲν

[1] εἰς τὴν ἀρχὴν κατέστησαν, πονηροὶ μὲν καὶ συκοφάνται ὄντες, φάσκοντες δὲ χρῆναι A.
[2] πάντως δὲ ταύτην τὴν ἀρχὴν δεῖν γενέσθαι, τὴν πόλιν δεῖσθαι χρημάτων A.

Πονηροὶ μὲν] *Πονηροὶ μὲν αὐτοὶ συκοφ.* et mox *φάσκοντες δὲ χρῆναι.* Cont. *μὲν* abesse malim, turbat enim sententiam, non habens sibi respondens *δέ.* præterea quoque, periodum hanc utcunque verso et volvo, nihil aliud deprehendo, quam mutilam eam esse, et *ἐπειδὴ* carere sua antapodosi. videtur utique post *ἐτόλμων* hæc brevis sententia deesse, *πάντα ταῦτα ἀνετράπη,* vel similis quæpiam. *tota hæc nostra pristina felicitas concidit et eversa fuit.* perversa sunt ista omnia, scil. quæ modo dixerat de quieta sua Athenis habitatione, etc. Reisk.

Τραπέσθαι] F. *τρέπεσθαι.* Taylor. Nulla est connexio vel exitus sententiæ, nisi vel supra pro *φάσκοντες* legas *ἔφασκον,* et hic pro *καὶ τοιαῦτα, καίτοι ταῦτα:* vel, quod potius puto, *τραπέσθαι, τοιαῦτα λέγοντες,* etc. omisso *καί.* *Ποιεῖν ἐτόλμων* est *facere sustinebant,* id est, *faciebant:* ut Orat. III. *οὐκ ἐτόλμησα ἐπισκήψασθαι αὐτῷ, actionem illi non intendi.* et Orat. II. *οὐδένα ἐτόλμησαν μεταπέμψασθαι, non in animum induxerunt quemquam accersere,* id est, *neminem accersebant.* Et ita sumenda hæc vox passim in N. T. ut 1 Cor. VI. 1. et Ioan. XXI. 12. *οὐδεὶς ἐτόλμα ἐξετάσαι αὐτὸν, nemo eum interrogabat, Tu quis es?* propter Rationem, quæ sequitur, *scientes* (i. e. *sciebant enim*) *quod Dominus est.* nihil igitur hic cum *audacia:* neque in isto loco Isocratis Panathen. *οὐκ ἐξιδιώσασθαι τὰς χώρας ἐτόλμησαν.* quem Wolfius vertit, *non in suum peculium convertere ausi fuerunt.* rectius fuisset, *converterunt,* vel, *convertere sustinuerunt,* in animum induxerunt. Markland. Bene habet vulgata *τραπέσθαι.* In simili re, ubi de animi in melius commutatione agitur, aoristus secundus magis, quam imperfectum usurpatur. Reisk.

Καὶ] Post præmissum *πρῶτον* debebat *ἔπειτα καὶ* sequi. verum in scriptore brevitatem consectante facile fero hanc indiligentiam. Idem.

Ἀναμνῆσαι] H. e. *διὰ παραδειγμάτων διδάξαι, ὧν ὑμᾶς ἀναμνήσω. planum vobis facere conabor, per exempla, quæ vobis in memoriam revocabo.* Idem.

Τινες] Scil. *τῶν μετοίκων.* Idem.

Πάντως κ. τ. λ.] *Τὴν μὲν πόλιν γενέσθαι, τὴν δ᾽ ἀρχὴν δεῖσθαι.* Cont. Laudo bellulos interpretes, qui hæc concoquere potuerunt. Lege autem: *πάντας δὲ αἰσθέσθαι τὴν μὲν πολιτείαν ἀρχὴν δεῖσθαι χρημάτων.* De vi *τοῦ ἀρχὴν* dixi bene multa in superioribus. Scalig. adhuc non intelligo: *πάντως δὲ τὴν μὲν πόλιν γενέσθαι, τὴν δε ἀρχὴν δεῖσθαι χρημάτων.* Taylor. Nullus in his Sensus. Lego: *τὴν μὲν πόλιν πένεσθαι, τὴν δ᾽ ἀρχὴν δεῖσθαι χρημάτων. civitatem pauperem esse, imperium vero (vel Magistratus) pecunia indigere.* Orat. XIX. *δεομένης μὲν τῆς πόλεως χρημάτων.* et ita Orat. XVIII. Paullo post: *ἔδοξεν αὐτοῖς δέκα συλλαβεῖν.* Xenophon *Ἑλλην.* II. p. 469. dicit *triginta,* non *decem.* Dicam de hac re ad Orat. XXV. Markland. Mihi venit aliquando in mentem *πάντως δὲ* (quod *δὲ* hic loci idem valet atque *γὰρ,* quomodo *δὲ* haud raro usurpatur) *τὴν μὲν πόλιν δεῖν ἄπολιν γενέσθαι, τὴν δ᾽ ἀρχὴν δεῖσθαι χρημάτων* (aut *τὴν ἀρχὴν δὲ δεῖσθαι χρημάτων*). *universe enim, et prorsus necessario debere civitatem eo redigi, ut nulla sit, principes autem pecuniis indigere. πόλις ἄπολις,* est, ea civitas, quæ nomine civita-

387 πόλιν γενέσθαι τὴν ἀρχὴν δεῖσθαι χρημάτων. καὶ τοὺς ἀκούοντας οὐ χαλεπῶς ἔπειθον· ἀποκτιννύναι μὲν γὰρ ἀνθρώπους περὶ οὐδενὸς ἡγοῦντο, λαμβάνειν δὲ χρήματα περὶ πολλοῦ ἐποιοῦντο. ἔδοξεν οὖν αὐτοῖς δέκα συλλαβεῖν· τούτων δὲ δύο πένητας, ἵνα αὐτοῖς ᾖ πρὸς τοὺς ἄλλους ἀπολογία, ὡς οὐ χρημάτων [1] ἕνεκα ταῦτα πέπρακται, ἀλλὰ συμφέροντα τῇ πολιτείᾳ γεγένηται, ὥσπερ τι τῶν ἄλλων εὐλόγως [2] πεποιηκότες.

388 γ΄. Διαλαβόντες δὲ τὰς οἰκίας ἐβάδιζον. καὶ ἐμὲ μὲν ξένους ἑστιῶντα κατέλαβον, οὓς ἐξελάσαντες Πείσωνί με παραδιδόασιν· οἱ δὲ ἄλλοι εἰς τὸ ἐργαστήριον ἐλθόντες τὰ ἀνδράποδα ἀπεγράφοντο. ἐγὼ δὲ Πείσωνα μὲν ἠρώτων εἰ

[1] οὕνεκα T. R. A. [2] πεποιηκότας A.

tis cum gaudeat, re careat, h. e. libertate et æquo jure civili, cujus res et fortunæ omnes conciderint, numerus civium sit imminutus, nervi convulsi, animi dejecti. Ubi tyranni sunt, ibi nulla est πόλις, sed δουλεία. Reisk. F. leg. πάντως δὲ τὴν πρόφασιν γίνεσθαι, Τὴν ἀρχὴν δεῖσθαι χρημάτων. Similiter Plutarchus in Vit. Agesil. c. 13. εἰ μὲν μὴ ἀδικεῖ, ἄφες· εἰ δ' ἀδικεῖ, ἡμῖν ἄφες· πάντως δ' ἄφες. ubi πάντως Anglice verteris, *at all events*. Demosth. c. Conon. p. 1262. 16. οἱ μὲν γὰρ νόμοι, πολὺ τἀναντία, καὶ τὰς ἀναγκαίους προφάσεις, ὅπως μὴ μείζους γίγνωνται, προείδοντο.

Δέκα] Inquilinorum vexationem paulo aliter memoriæ prodidit Xenophon: Ἔδοξεν αὐτοῖς ὅπως ἔχοιεν καὶ τοῖς φρουροῖς χρήματα διδόναι, καὶ τῶν μετοίκων ἕνα ἕκαστον λαβεῖν, καὶ αὐτοὺς μὲν ἀποκτεῖναι, τὰ δὲ χρήματα αὐτῶν ἀποσημήνασθαι. Hist. Gr. Plutarchus de Animal. Terrestr. et Aquatic. quoque de hac re consulendus. Taylor.

Γεγένηται] In hac regione pauca quædam desunt. Possit locus sic propemodum sarciri: ἀλλὰ συμφερόντως τῇ πολιτείᾳ, καὶ φαίνανται καὶ τοῦτο, ὥσπερ τι τῶν ἄλλων, εὐλόγως πεποιηκότες. *sed e rep., constetque inter omnes, etiam hoc, ut si quid aliud, ipsos sapienter gessisse.* Reisk. Voc. γεγένηται, quod in Oratoribus haud raro ad voc. τῇ πολιτείᾳ et τῇ πόλει appingi solet, sartorem olet. F. leg. ἀλλὰ [τὰ] συμφέροντα τῇ πολιτείᾳ, ὥσπερ τι τῶν ἄλλων, εὐλόγως πεποιηκότες.

Πεποιηκότες] Vel potius πεποιηκότας absolute, Atticorum more. Taylor. Cave ne mutes, in πεποιηκόσι, ut concordet cum αὐτοῖς, prout postulat Constructio Grammatica. his enim Casuum mutationibus gaudent Attici, quando nihil est Obscuritatis vel Ambiguitatis in Sensu. Vide ad Orat. X. et infra adhuc dicam, ad Orat. XX. Mox, pro ἐπεγράφοντο recte Stephanus admisit in contextum ἀπεγράφοντο. et recte quoque Interpres vertit, *in tabulas referebant*. Vide Perizonium ad Ælian. V. H. IV. 25. Markland. Dedi πεποιηκότας, subaudiendo αὐτοὺς, et est accusativus absolutus. Auger.

Διαλαβόντες δὲ τὰς οἰκίας ἐβάδιζον] *Partiti vero domos ibant.* Quomodo hæc concilianda cum iis, quæ de his temporibus refert Demosthenes Orat. in Androtionem? τότε τοίνυν, ὡς ἔστιν ἀκούειν, οὐδείς ἐστιν, ὅςτις ἀπεστερεῖτο τοῦ σωθῆναι, ὃς ἑαυτὸν οἴκοι κρύψειεν. ἀλλὰ τοῦτο κατηγοροῦσι τῶν Τριάκοντα, ὅτι τοὺς ἐκ τῆς ἀγορᾶς ἀδίκως ἀπῆγον. *iis igitur temporibus, ut fama accepimus, nemo salute privabatur, qui se domi occultabat: sed ob hoc accusantur Triginta-viri, quod homines inique ex medio foro abducebant.* Lysiæ potius, de se narranti, habenda fides: nisi forte Distinctio aliqua reperiri possit. Repetit hæc Demosthenes, iisdem fere verbis, Orat. contra Timocratem. Pro Lysia facit Xenophon Hellen. II. ubi Thrasybulus in oratione sua ait, δειπνοῦντες συνελαμβανόμεθα καὶ καθεύδοντες καὶ ἀγοράζοντες. Falli igitur videtur vel Demosthenes, vel Rumor. Markland.

Ἐργαστήριον] Huc alludere videtur Poll. IX. 5. ubi post laudatam vocem οἰκάριον ex orat. Lysiæ, qua intercidit, subjungit: καί που καὶ ἐργαστήριον καὶ καταγωγαί. Taylor.

Ἀπεγράφοντο] Male Ald. ἐπεγράφοντο. V. Vales. ad Harpocr. in vocc. *Descri-*

121. βούλοιτό με σῶσαι χρήματα λαβών· ὁ δ' ἔφασκεν, εἰ πολ- 389
λὰ εἴη. εἶπον οὖν ὅτι τάλαντον ἀργυρίου ἕτοιμος εἴην δοῦναι·
ὁ δ' ὡμολόγησε ταῦτα ποιήσειν. ἠπιστάμην μὲν οὖν ὅτι
οὔτε θεοὺς οὔτε ἀνθρώπους νομίζει, ὅμως δ' ἐκ τῶν παρόν-
των ἐδόκει μοι ἀναγκαιότατον εἶναι πίστιν παρ' αὐτοῦ λα-
βεῖν. ἐπειδὴ δὲ ὤμοσεν ἐξώλειαν ἑαυτῷ καὶ τοῖς παισὶν
ἐπαρώμενος, λαβὼν τὸ τάλαντον μὲ σώσειν, εἰσελθὼν εἰς τὸ
δωμάτιον τὴν κιβωτὸν ἀνοίγνυμι· Πείσων δ' αἰσθόμενος εἰσ- 390
έρχεται, καὶ ἰδὼν τὰ ἐνόντα καλεῖ τῶν ὑπηρετῶν δύο, καὶ
τὰ ἐν τῇ κιβωτῷ λαβεῖν ἐκέλευσεν. ἐπεὶ δὲ οὐχ ὅσον [1] ὡμο-
λόγησα εἶχεν, ὦ ἄνδρες δικασταί, ἀλλὰ τρία τάλαντα ἀρ- 391

[1] ὁμολογεῖν T. ὡμολογήκειν R. A.

bere, in tabulas referre. Hesych. Ἀπογραφὴ, ἀρίθμησις, ἢ ἡ γινομένη μήνυσις. Recte. Et utroque modo utitur noster, et *Describere* et *Deferre.* Ὁ Ἀξωνεὺς Θρασύλαος ὁ Πυθοδώρου διετέθη ποτὲ ὑπὸ μανίας τοιαύτης, ὡς πάντα τὰ πλοῖα τὰ εἰς Πειραιᾶ καταγόμενα ὑπολαμβάνειν αὐτοῦ εἶναι, καὶ ἀπεγράφετο αὐτὰ καὶ ἀπέστειλε καὶ διῴκει. Took a Bill of their Lading. Heraclid. Pontic. apud Athen. l. 12. extrem. Ubi lego Αἰξωνεύς. Ita enim proferuntur et quidem constanter istius δήμου Populares. Hesych. Αἰξωνεύεσθαι. κατηγορεῖν. Lege Κακηγορεῖν.

ΦΑΝΟΣΤΡΑΤΗ. ΕΞΗΚΕΣΤΙΔΟΥ. . . . .
ΑΥΤΩΙ. ΥΙΩΝΟΙ. Μ . . . . . . ΛΟΠΙ. ΤΗΔ. ΑΝΕΘΗΚΑΝ.
ΖΗΛΩΤΟΝ. ΣΤΕΦΑΝΟΝ. ΤΟΙΣ. ΠΑΡΙΟΥΣΙΝ. ΟΔΟΝ.
ΕΞΗΚΕΣΤΙΔΗΣ. ΠΡΩΤΙΩΝΟΣ. ΑΙΞΩΝΕΥΣ.
ΖΑΝ. ΧΑΙΡΕ.
Monument. Antiq. Græcum Venetiis. Taylor.

Ὤμοσεν — ἐπαρώμενος — σώσειν] Vel, si me audias: ὡμολόγησεν — ἐπαρώμενος — σώσειν. Ut D. Matthæus: Μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι, ὃ ἐὰν αἰτήσηται. XIV. 7. Idem.

Ἑαυτῷ] Ἑαυτοῦ, Ald. Sed perperam. Corrige Antiphon. de cæd. Herod. juxta init. Ἐξώλειαν αὐτῷ καὶ γένει καὶ οἰκίᾳ τῇ σῇ ἐπαρώμενον. Hodie αὐτῷ. Idem. ἑαυτῷ. Cont.

Αἰσθόμενος] Scil. ἐμὲ ἀνοιγνύντα τὴν κιβωτὸν, ἢ πολὺ ἦν ἐν αὐτῇ τὸ ἀργύριον. Reisk.

Ὁμολογεῖν] Ὡμολόγουν. Scalig. Stephanus: ὡμολογήκειν, *promiseram.* Potes etiam ὡμολόγουν. Paulo ante, τὰ ἐνόντα, *quæ insunt,* vel *inerant;* ut Luc. XI. 41. πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην, *sed date eleemosynam* QUÆ INSUNT: nempe in *calice et catino;* hoc est *potum* et *cibum;* prout postulat Sensus et Argumentatio, quam corrupit prava distinctio com. 30. ubi vulgo distinguitur, τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας, et construitur ἔσωθεν cum ὑμῶν: cum ita distingui oporteret, τὸ δὲ ἔσωθεν, (scil. τοῦ ποτηρίου καὶ τοῦ πίνακος, ut paullo ante, τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος) ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας: *internum* (ita loqui liceat) *vero* calicis et catini, *plenum est rapina et nequitia vestra:* id est, deliciis, quæ paratæ sunt ex opibus rapina partis, et ad intemperantiam versis. Pergam, quoniam ibi sum. Sequitur: *Stulti, nonne qui fecit quod deforis est, etiam id, quod deintus est, fecit?* id est, *Stolidi* ratiocinatores! si in honorem Dei, vel ad vitandam offensionem ejus, *externum* calicis et catini a materiali pollutione purum tam sollicite servatis; nonne multo fortior Ratio postulat, ut *internum* eorum a morali pollutione purum servetis? *nonne* enim idem Deus, *qui externum* eorum *fecit, internum quoque fecit? Sed* vobis monstrabo veram munditiarum viam: *date eleemosynam* pauperibus *ea quæ insunt* vestris calicibus et catinis, *et ecce,* (observate quid dicturus sum, ἰδοὺ) *omnia* (calix et catinum, internum et externum, potus et cibus) *vobis munda* erunt. ita interpretor πάντα: quia necesse est, ut ejus significatio restringatur ad ea, de quibus sermo fit: ut cap. XXI. 32. ἕως ἂν πάντα γένηται: scil. *omnia* ista, de

γυρίου καὶ τετρακοσίους κυζικηνοὺς καὶ ἑκατὸν δαρεικοὺς
392 καὶ φιάλας [1] ἀργυρᾶς τέσσαρας, ἐδεόμην αὐτοῦ ἐφόδιά μοι
δοῦναι. ὁ δ᾽ ἀγαπήσειν με ἔφασκεν, εἰ τὸ σῶμα σώσω.
ἐξιοῦσι [2] δ᾽ ἐμοὶ καὶ Πείσωνι ἐπιτυγχάνει Μηλόβιός τε καὶ
Μνησιθείδης ἐκ τοῦ ἐργαστηρίου ἀπιόντες, καὶ καταλαμ-
βάνουσι πρὸς αὐταῖς ταῖς θύραις, καὶ ἐρωτῶσιν ὅποι βα-
δίζοιμεν· ὁ δ᾽ ἔφασκεν εἰς τὰ τοῦ ἀδελφοῦ τοῦ ἐμοῦ, ἵνα
καὶ τὰ ἐν ἐκείνῃ τῇ οἰκίᾳ σκέψηται. ἐκεῖνον μὲν οὖν ἐκέ-
λευον βαδίζειν, ἐμὲ δὲ μεθ᾽ αὑτῶν ἀκολουθεῖν εἰς Δαμνίπ-
που. Πείσων δὲ προσελθὼν σιγᾶν [3] μοι παρεκελεύετο καὶ
θαῤῥεῖν, ὡς ἥξων ἐκεῖσε. καταλαμβάνομεν δὲ αὐτόθι Θέο-
393 γνιν ἑτέρους φυλάττοντα· ᾧ παραδόντες ἐμὲ πάλιν ᾤχοντο.
ἐν τοιούτῳ δ᾽ ὄντι μοι [4] κινδυνεύειν ἐδόκει, ὡς τοῦ γε ἀπο-

[1] ἀργυρίου T. R. A. [2] δέ μοι T. R. A. [3] με T. R. A.
[4] ἀποκινδυνεύειν A.

quibus paullo ante locutus fuerat. At unde Tu, inquies, hanc novam Interpunctionem inferre audes? Nimirum inde, quia eadem disertim affirmantem video Matthæum XXIII. 25. καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν (sc. τὸ ποτήριον καὶ ἡ παροψίς. non dicit τὸ ἔσωθεν ὑμῶν γέμει) ἐξ ἁρπαγῆς καὶ ἀκρασίας, scil. ὑμῶν. Satis idoneus hic Sponsor. vide et comm. 26. Markland. Præter alia, quæ Scaliger et Stephanus hunc ad locum attulerunt, possit quoque ὡμολογοῦμεν et ὡμολογήκειμεν probari. Ego Stephani conjecturam prætuli. Reisk. Cont. ὡμολόγουν, proponendo et aliam lectionem ὡμολόγει. Auger.

Καρικοὺς] (Sic vulg.) Librarios omnes fefellit istud portentum, homines nasutos non fefellit. Procurarunt enim Schott. Palmer. et doctissimus Maussacus ad Harpocr. in Δαρεικὸς, quem vide. Nummi hujus meminere ex antiquis Arrian. expedit. Alex. I. 4., Plutarch. in Apophthegm. Lacon., in lib. de fraterno amore, in Agesil. Artaxerx. et Lysandro, et alibi, Thucyd. VIII. 28., Plato in Lyside, Xenoph. in Cyripæd. et in Expedit. Cyri junioris, Herodot. Polym. 28. Melpom. 166., Lucian. Dial. Meretric., Aristoph. Eccl. 598. vide σχ. Ælian. V. H. I. 22. præter Lexicographos, Pollucem, Hesychium, Harpocrat. et Suid. Ex neotericis explicant et illustrant Gronov. de pecuniis Vett., Sperling. de nummis non cusis, Hostus, Brerewoodus, O. W. de Monetis, Bernard. de mensuris et pond., Brissonius de regno Persarum, Alexand. ab Alexand. Genial. Dier. IV. 15. ceterique quam plurimi. Taylor. Recte Schottus Δαρεικοὺς, (hoc enim opinor voluit, licet in impresso mendose legatur δαρυκοὺς) et confirmat Harpocration. Markland.

Μηλόβιος] Unus e XXX. tyrannis, de quo apud Harpocrationem. Auger.

Εἰς τὰ τοῦ ἀδελφοῦ τοῦ ἐμοῦ] *Ad domum fratris mei.* Hinc illustratur Lucas II. 49. ἐν τοῖς τοῦ πατρός μου, *in domo patris mei.* Sic Josephus Antt. Jud. XVI. 10. segm. 1. ἦν δ᾽ αὐτῷ καταγωγὴ ἐν τοῖς Ἀντιπάτρου, *hospitio autem Antipatri domo utebatur.* Sic ἐγγὺς τῶν Πυθοδώρου, *juxta Pythodori ædes*, Demosthenes adv. Cononem. Miror aliquos hunc Lucæ locum aliter interpretari et vertere. Dicit: Mirum vos tam diu me quæsivisse, et non statim scivisse, ubi futurus eram. ubi enim quærendus erat *Filius*, nisi in *domo Patris* sui? Emphasis quoque est in istis, τοῦ πατρός μου. Maria enim supra dixerat, ὁ πατήρ σου, de *Josepho* loquens: Jesus vero ex hoc responso dat iis intelligere, *Deum*, non *Josephum*, Patrem ejus *revera* esse. Markland. εἰς τὴν τοῦ ἀδελφοῦ etc. Cont.

Ἐν τοιούτῳ κ. τ. λ.] Locus asperrimus. Quis non arripiat: ἐν τοιούτῳ δ᾽ ὄντι μοι κινδύνῳ φεύγειν ἐδόκει, ὡς τοῦ γε ἀποθανεῖν ὑπάρχοντος ἤδη. Taylor. Subauditur καιρῷ vel τόπῳ. Alias solent ἐν τοιούτοις usurpare. Reisk.

Κινδυνεύειν] Ego equidem compositum ἀποκινδυνεύειν hic præferrem, *tentare fortunam, aleam jacere, experiri, successurumne sit, nec ne.* Idem.

θανεῖν ὑπάρχοντος ἤδη. καλέσας [1] δὲ Δάμνιππον λέγω πρὸς αὐτὸν τάδε, ἐπιτήδειος μέν μοι τυγχάνεις ὤν, ἥκω δ' εἰς τὴν σὴν οἰκίαν, ἀδικῶ δ' οὐδὲν, χρημάτων δ' ἕνεκα ἀπόλλυμαι. σὺ οὖν ταῦτα πάσχοντί μοι πρόθυμον παράσχου τὴν σεαυτοῦ δύναμιν εἰς τὴν ἐμὴν σωτηρίαν. ὁ δ' ὑπέσχετο ταῦτα ποιήσειν. ἐδόκει δ' αὐτῷ βέλτιον εἶναι πρὸς Θέογνιν μνησθῆναι· ἡγεῖτο γὰρ ἅπαν ποιήσειν αὐτὸν, εἴ τις ἀργύριον διδοίη. ἐκείνου δὲ διαλεγομένου Θεόγνιδι — ἔμπειρος γὰρ ὢν ἐτύγχανον τῆς οἰκίας, καὶ ᾔδειν ὅτι ἀμφίθυρος εἴη —, ἐδόκει μοι ταύτῃ πειρᾶσθαι σωθῆναι, ἐνθυμουμένῳ ὅτι, ἐὰν μὲν λάθω, σωθήσομαι, ἐὰν δὲ ληφθῶ, [2] ἡγούμην μὲν, εἰ Θέογνις εἴη πεπεισμένος ὑπὸ 394
τοῦ Δαμνίππου χρήματα λαβεῖν, οὐδὲν ἧττον ἀφεθήσεσθαι, εἰ δὲ μὴ, ὁμοίως ἀποθανεῖσθαι. ταῦτα διανοηθεὶς ἔφευγον, ἐκείνων ἐπὶ τῇ αὐλείῳ θύρᾳ τὴν φυλακὴν ποιουμένων· τριῶν δὲ θυρῶν οὐσῶν, ἃς ἔδει με διελθεῖν, ἅπασαι ἀνεῳγμέναι ἔτυχον. ἀφικόμενος δὲ εἰς Ἀρχένεω τοῦ ναυκλήρου ἐκεῖνον πέμπω εἰς ἄστυ, πευσόμενον περὶ τοῦ ἀδελφοῦ· ἥκων δὲ ἔλεγεν ὅτι Ἐρατοσθένης αὐτὸν ἐν τῇ ὁδῷ λαβὼν εἰς τὸ δεσμωτήριον ἀπαγάγοι. καὶ ἐγὼ τοιαῦτα πεπυσμένος τῆς ἐπιούσης νυκτὸς διέπλευσα Μέγαράδε.

δ'. Πολεμάρχῳ δὲ παρήγγειλαν οἱ Τριάκοντα τὸ [3] ὑπ' ἐκείνων εἰθισμένον παράγγελμα, πίνειν κώνειον, πρὶν τὴν αἰτίαν εἰπεῖν δι' ἥντινα [4] ἔμελλον ἀποθανεῖσθαι· οὕτω πολλοῦ ἐδέησε κριθῆναι καὶ ἀπολογήσασθαι. καὶ ἐπειδὴ ἀπε- 395

[1] οὖν A. [2] ἡγούμην, εἰ μὲν Θ. A. [3] ἐπ' R.
[4] ἔμελλεν T. R. A.

Καλέσας δὲ] Δὲ bene si habet, usurpatum hic est pro οὖν, quod sententia postulat. Et sane nullas non formas sententiarum induit δέ. Idem.

Ἥκω] Duo subjicit hæc momenta. 1) versor nunc in domo tua. quapropter te decet hospitem tuum tueri, salvumque servare jus hospitii. 2) opportunitas mei in libertatem emittendi hoc tibi major est, quoniam tibi recessus et latebræ et exitus domus tuæ tibi noti sunt. Idem.

Μνησθῆναι] Μηνυθῆναι. Cont.

Ἡγούμην μὲν, εἰ] Verba malim sic strui: ἡγούμην, εἰ μὲν —. Reisk.

Ὁμοίως] Perinde ac si mansissem, nullo facto elabendi periculo. Idem.

Εἰς Ἀρχένεω] Sub. δῶμα. Auger.

Ἐν τῇ ὁδῷ λαβὼν] Usitatius est συλλαβών. infra: ἐν τῇ ὁδῷ σώζοντα αὐτὸν — ὃν συλλαβὼν ἀπήγαγεν. et ita sæpe in hac Oratione, et alibi. proprie igitur loquitur Matthæus XXVI. 55. συλλαβεῖν με, *comprehendere me.* Nihil tamen muto. Vide Orat. I. Mox, pro τοιαῦτα πέπυσμένος, scribe ταῦτα. Markland. Leg. ταῦτα. *In Edit. min.* Taylor.

Ἐπ' ἐκείνων] Revocavi bonam hanc probamque lectionem ex Aldina, a Stephano frustra et perperam cum ὑπ' ἐκείνων mutatam, quam Stephani conjecturam insecuti editores retinuerunt. ἐπ' ἐκείνων est *eorum ætate,* illo tempore, quo illi summa rerum potiebantur. Reisk.

Ἀποθανεῖσθαι] ἀποθανεῖν. Cont.

φέρετο ἐκ τοῦ δεσμωτηρίου τεθνεὼς, τριῶν ἡμῖν οἰκιῶν οὐσῶν οὐδεμιᾶς εἴασαν ἐξενεχθῆναι, ἀλλὰ κλίσιον μισθωσάμενοι προὔθεντο αὐτόν· καὶ πολλῶν ὄντων ἱματίων αἰτοῦσιν οὐδὲν ἔδοσαν εἰς[1] τὴν ταφὴν, ἀλλὰ τῶν φίλων ὁ μὲν ἱμάτιον, ὁ δὲ προσκεφάλαιον, ὁ δὲ ὅ τι ἕκαστος ἔτυχεν, ἔδωκεν εἰς τὴν ἐκείνου ταφήν. καὶ ἔχοντες μὲν ἑπτακοσίας ἀσπίδας τῶν ἡμετέρων, ἔχοντες δὲ ἀργύριον καὶ χρυσίον τοσοῦτον, χαλκὸν δὲ καὶ κόσμον καὶ ἔπιπλα καὶ ἱμάτια γυναικεῖα, ὅσα οὐδεπώποτε ᾤοντο κτήσασθαι, καὶ ἀνδράποδα εἴκοσι καὶ ἑκατὸν, ὧν τὰ μὲν βέλτιστα ἔλαβον, τὰ δὲ λοιπὰ εἰς τὸ δημόσιον ἀπέδοσαν, εἰς τοσαύτην ἀπληστίαν καὶ αἰσχροκέρδειαν ἀφίκοντο καὶ τοῦ τρόπου τοῦ αὐτῶν ἀπόδειξιν ἐποιήσαντο· τῆς γὰρ Πολεμάρχου γυναικὸς χρυσοῦς ἑλι-
396 κτῆρας, οὓς ἔχουσα ἐτύγχανεν, ὅτε [2] τὸ πρῶτον ἦλθεν εἰς
τὴν οἰκίαν, Μηλόβιος ἐκ τῶν ὤτων ἐξείλετο.

έ. Καὶ οὐδὲ κατὰ τὸ ἐλάχιστον μέρος τῆς οὐσίας ἐλέου 122. 1
παρ' αὐτῶν ἐτυγχάνομεν, ἀλλ' οὕτως εἰς ἡμᾶς διὰ τὰ χρήματα ἐξημάρτανον, ὥσπερ ἂν ἕτεροι μεγάλων ἀδικημάτων ὀργὴν ἔχοντες, οὐ τούτων ἀξίους γε ὄντας τῇ πόλει, ἀλλὰ πάσας τὰς χορηγίας χορηγήσαντας, πολλὰς δ' εἰσφορὰς [3] εἰσενεγκόντας, κοσμίους δ' ἡμᾶς αὐτοὺς παρέχοντας καὶ πᾶν τὸ προσταττόμενον ποιοῦντας, ἐχθρὸν δ' οὐδένα κεκτημένους, πολλοὺς δ' Ἀθηναίων ἐκ τῶν πολεμίων λυσαμένους,

[1] τὴν om. T. R. A. [2] τοπρῶτον T. R. [3] ἐνεγκόντας T.

Ἕκαστος] Vel potius ἑκάστῳ. Taylor. Lego: ὅ, τι ἑκάστῳ ἔτυχεν, ἔδωκεν etc. Sic Orat. XIII. ὁ μὲν ἀδελφὸν, ὁ δὲ μητέρα, ὁ δὲ γυναῖκα, ὁ δ', εἴ τις ἦν ἑκάστῳ αὐτῶν προσήκων. ita legendum pro προσήκουσα. 1 Cor. III. 5. 6. ἑκάστῳ ὡς ὁ Κύριος ἔδωκεν, ἐγὼ ἐφύτευσα, Ἀπολλῶς ἐπότισεν· ita distinguendum. Porro, has vestes funebres, cervicalia, etc. Herodianus VIII. 13. vocat τὰ ἐπιτήδεια εἰς ταφάς. ubi inepte legitur τροφάς. Markland. Bene habet vulgata. Ad ἕκαστος subauditur διδοὺς, aut ἔχων, aut φέρων, aut θέλων. Reisk. Vel lege ἑκαστῷ ἔτυχεν, vel ad ἔτυχεν sub. ἔχων. Auger.

Ἑλυκτῆρας] (Sic vulg.) Inaures veterum nominabantur ἑλικτῆρες. Atque ita hunc locum correxit Stephan. et Scalig. Ἑλικτῆρας quoque habet Cod. Coisl. Ἑλικτῆρες. ἐνωτίων εἶδος. Λυσίας. Harpocr. De inauribus vide Bartholini opus posthumum, Casp. Barthii librum singularem, Isidorum, aliosque, non tamen ut omittam præclarissimum Dempster. Paralipom. ad c. 20. Antiquitatum Rosini L. 1. Taylor. Recte Stephanus ἑλικτῆρας. Hesychius: Ἑλικτῆρες, ἐνώτια. Latine, *inaures*. Markland. Contius ἑλκτῆρας, male, non enim Græcum est. Auger.

Ἀξίους ὄντας] Refer ad εἰς ἡμᾶς, quod præcessit; nisi referre malis ad τοιούτων ἠξίωσαν, quod sequitur. Idem.

Πάσας τὰς] Interponi velim μέν. Reisk.

Εἰσφορὰς ἐνεγκόντας] Scribe εἰσενεγκόντας. Sic Orat. VII. καὶ εἰσφορὰς εἰσφέρων, καὶ χορηγῶν. et Orat. XXV. et sæpissime. Vide Pollucem VIII. 15. segm. 157. Markland.

Αὐτοὺς παρέχοντας] Αὑτούς. Scalig. Quod nollem. Taylor. παρασχόντας. Cont.

τοιούτων ἠξίωσαν, οὐχ ὁμοίως μετοικοῦντας ὥσπερ αὐτοὶ ἐπολιτεύοντο. οὗτοι γὰρ πολλοὺς μὲν τῶν πολιτῶν εἰς τοὺς πολεμίους ἐξήλασαν, πολλοὺς δ' ἀδίκως ἀποκτείναντες ἀτάφους ἐποίησαν, πολλοὺς δ' ἐπιτίμους ὄντας ἀτίμους τῆς 397
πόλεως κατέστησαν, πολλῶν δὲ θυγατέρας μελλούσας ἐκδίδοσθαι ἐκώλυσαν. καὶ εἰς τοσοῦτόν εἰσι τόλμης ἀφιγμένοι, ὥσθ' ἥκουσιν ἀπολογησόμενοι, καὶ λέγουσιν ὡς οὐδὲν κακὸν οὐδ' αἰσχρὸν εἰργασμένοι εἰσίν. ἐγὼ δ' ἐβουλόμην ἂν αὐτοὺς ἀληθῆ λέγειν· μετῆν γὰρ ἂν καὶ ἐμοὶ τούτου τἀγαθοῦ οὐκ ἐλάχιστον μέρος. νῦν δὲ οὔτε πρὸς τὴν πόλιν αὐτοῖς τοιαῦτα ὑπάρχει οὔτε πρὸς ἐμέ· τὸν ἀδελφὸν γάρ μου, ὥσπερ καὶ πρότερον εἶπον, Ἐρατοσθένης ἀπέκτεινεν, οὔτε αὐτὸς ἰδίᾳ ἀδικούμενος οὔτε εἰς τὴν πόλιν ὁρῶν ἐξαμαρτάνοντα, ἀλλὰ τῇ ἑαυτοῦ παρανομίᾳ προθύμως ἐξυπηρετῶν. ἀναβιβασάμενος δ' αὐτὸν βούλομαι ἐρέσθαι, ὦ ἄνδρες δικασταί. τοιαύτην γὰρ γνώμην ἔχω· ἐπὶ μὲν τῇ τούτου ὠφελείᾳ καὶ πρὸς ἕτερον περὶ τούτου διαλέγεσθαι ἀσεβὲς εἶναι νομίζω, ἐπὶ δὲ τῇ τούτου βλάβῃ καὶ 398
πρὸς αὐτὸν τοῦτον ὅσιον καὶ εὐσεβές. ἀνάβηθι οὖν μοι καὶ ἀπόκριναι εἴ τι ἄν σε ἐρωτῶ.

ϛʹ. Ἀπήγαγες Πολέμαρχον ἢ οὔ; Τὰ ὑπὸ τῶν ἀρχόντων προσταχθέντα δεδιὼς ἐποίουν. Ἦσθα δ' ἐν τῷ βουλευτηρίῳ ὅτε οἱ λόγοι [1] ἐγίνοντο περὶ ἡμῶν; Ἦν. Πότερον συνηγόρευες τοῖς κελεύουσιν ἀποκτεῖναι ἢ ἀντέλεγες; Ἀντέλεγον. Ἵνα [2] μὴ ἀποθάνωμεν; Ἵνα μὴ ἀποθάνητε. Ἡγού-

[1] ἐγένοντο T. [2] μὴ om. T. R. A.

Πολλοὺς δ' ἐπιτίμους ὄντας, ἀτίμους τῆς πόλεως κατέστησαν] Voces *τῆς πόλεως* abundare videntur, cum satis fuisset *ἀτίμους κατέστησαν.* Orat. XX. *μὴ ἡμᾶς, ἀντὶ μὲν ἐπιτίμων, ἀτίμους ποιήσητε.* et XXI. *ἐπὶ τοιαύταις αἰτίαις ἄτιμοι γενέσθαι.* Videntur poni debere ante *ἐξήλασαν*, vel post. Sic Orat. XXVI. *ἀλλὰ καὶ τῆς πόλεως ἐξήλασαν.* Markland. Aut delenda sunt ista duo vocabula cum Marklando, aut leg. est sic: *ἀτίμους καὶ ἀμοίρους τῆς πόλεως κατέστησαν.* Reisk. Intelligo *ἀτίμους τῆς πόλεως*, *juribus et muniis civitatis orbatos*, malim tamen abesse *τῆς πόλεως.* Auger.

Περὶ τούτου] Omitti possent hæ voces sine aliquo sensus dispendio. sed non ideo ejiciendæ sunt: hujusmodi enim Pleonasmi satis sunt frequentes. Vertendum vero, *de hac re:* non, *de hoc homine*, prout fecit Vanderheidius. Pone etiam minimam Distinctionem post *ὠφελείᾳ.* Markland.

Ὅσιν καὶ ἀσεβὲς] (Sic Ald.) *ὡς ὂν καὶ εὐσεβές.* et mox *ἀπήγαγες.* Cont.

Ἵνα ἀποθάνωμεν] Interponi velim *μή.* Nam cum respondisset Eratosthenes, se XXX Tyrannis oblocutum fuisse, consentaneum erat, aut Lysiam interrogandi finem hic facere, aut, si quid tamen ultra vellet, hoc interrogare: *Nempe quo nos morti ne daremur?* cui respondet Eratosthenes iisdem verbis: *Scilicet, quo vos morti ne daremini.* Reisk. Sub. *πότερον ἔπραττες.* Auger.

μενος ἡμᾶς ἄδικα πάσχειν ἢ δίκαια; Ἄδικα. Εἶτ', ὦ σχε-
τλιώτατε πάντων, ἀντέλεγες μὲν ἵνα σώσειας, συνελάμβα-
νες δὲ ἵνα [1] ἀποκτείναις; καὶ ὅτε μὲν τὸ πλῆθος ἦν ὑμῶν
κύριον τῆς σωτηρίας τῆς ἡμετέρας, ἀντιλέγειν φὴς τοῖς βου-
λομένοις ἡμᾶς ἀπολέσαι· ἐπειδὴ δὲ ἐπὶ σοὶ μόνῳ ἐγένετο
καὶ σῶσαι Πολέμαρχον καὶ μὴ, εἰς τὸ δεσμωτήριον ἀπή-
γαγες; εἶθ' ὅτι μὲν, ὡς φὴς, ἀντειπὼν οὐδὲν ὠφέλησας,
ἀξιοῖς χρηστὸς νομίζεσθαι, ὅτι δὲ συλλαβὼν ἀπέκτεινας,
οὐκ οἴει ἐμοὶ καὶ τουτοισὶ δοῦναι δίκην;

ζ'. Καὶ μὴν οὐδὲ τοῦτο εἰκὸς αὐτῷ πιστεύειν, [2] εἴπερ
399 ἀληθῆ λέγει φάσκων ἀντειπεῖν, ὡς αὐτῷ [3] ἐτάχθη. οὐ γὰρ
δή που ἐν τοῖς μετοίκοις πίστιν παρ' αὐτοῦ ἐλάμβανον.
400 [4] ἔπειτα τῷ [5] ἧττον εἰκὸς ἦν προσταχθῆναι, ἢ ὅστις ἀντειπών
γε ἐτύγχανεν καὶ γνώμην ἀποδεδειγμένος; τίνα γὰρ εἰκὸς
ἦν ἧττον ταῦτα ὑπηρετῆσαι ἢ τὸν ἀντειπόντα οἷς ἐκεῖνοι
ἐβούλοντο πραχθῆναι; Ἔτι δὲ τοῖς μὲν ἄλλοις Ἀθηναίοις
ἱκανή μοι δοκεῖ πρόφασις εἶναι τῶν γεγενημένων εἰς τοὺς
Τριάκοντα ἀναφέρειν τὴν αἰτίαν· αὐτοὺς δὲ τοὺς Τριάκοντα,
ἂν εἰς σφᾶς αὐτοὺς ἀναφέρωσι, πῶς [6] εἰκὸς ὑμᾶς ἀποδέχε-
σθαι; εἰ μὲν γάρ τις [7] ἦν ἐν τῇ πόλει ἀρχὴ ἰσχυροτέρα

[1] ἀποκτείνοις T. R. A. [2] (εἴπερ . . . ἀντειπεῖν) T. R. [3] προσετάχθη R. A. [4] ἔπειτοι τῷ πιστὸν ἐκείνῳ προσταχθῆναι, ὅστις A. [5] πίστιν T. ἧσσον R. [6] ὑμᾶς εἰκὸς T. R. A. [7] ἦν om. T. R. A.

Τοῦτο] Np. negotium de peregrinis. Construe hanc vocem cum προσετάχθη, in quod mutandum duxi vulgatæ simplex ἐτάχθη. Idem.

Ἔπειτα κ. τ. λ.] Jamdudum vidi locum ita rescribi debere: ἔπειτοι [ἔπειτα, *in Edit. min.*] τῷ (i. e. τινὶ) ἧττον εἰκὸς ἦν προσταχθῆναι, ἢ κ. τ. λ. Nam ἧττον et πίστιν scriptione quam propissime absunt. Ἧττον quoque, quod serius vidi, subjecit Canterus. Taylor. Delendam puto vocem πίστιν, utpote a Librario ex præcedenti male repetitam. pro ea bene legi posset ἧττον, (sublata Interrog. nota post προσταχθῆναι) nisi a vestigiis vulgatæ nimis recederet. πίστιν vero nequaquam ad rem. Quæ paullo ante sunt, sic distinguas: καὶ μὴν οὐδὲ τοῦτο εἰκὸς αὐτῷ πιστεύειν, (εἴπερ ἀληθῆ λέγει φάσκων ἀντειπεῖν) ὡς αὐτῷ ἐτάχθη. *ac ne in hoc quidem illi credere par est,* (si *concedamus illum vera dicere, cum affirmat* SE CONTRADIXISSE) *ex mandato illum egisse.* Alludit ad verba Eratosthenis, in Responsione ejus supra allata, ἀντέλεγον, et προσταχθέντα ἐποίουν. Porro, πίστιν ἐλάμβανον est *fidem accipiebant*, scil. *per jusjurandum*, ἥτις ἐστὶ μεγίστη τοῖς ἀνθρώποις πίστις, ut loquitur Noster Orat. XIX. satis in his Orationibus usitata phrasis. Interpres tamen male cepit. Markland. Bene habet ἔπειτα. est enim hoc alterum argumentum. Sed πίστιν cum ἧσσον mutavi. *eccui alii videntur tyranni hoc minus fuisse mandaturi*; seu aliis verbis, cuicunque alii potius, quam tibi, videntur hoc negotium demandaturi fuisse. Olim suspicabar ita scriptum fuisse: ἔπειτα τῷ πιστὸν, ἐκείνῳ προσταχθῆναι, ὅστις—*eccui credibile est, hoc demandatum fuisse ei, qui* —. Reisk. Quid si? ἔπει τούτῳ οὐ πιστὸν ἐκείνην (sc. πίστιν) προστεθῆναι, ὅστις etc.

Ἐβουλεύοντο] (Sic vulg.) Sanior est lectio Cod. Coisl. quam et ego quoque vidi fuisse necessariam, priusquam eam auctoritatem consecutus essem, ἐβούλοντο. Taylor. Lege ἐβούλοντο. Sic Orat. XII. ἵνα ῥαδίως ἃ βούλοιντο διαπράττοιντο. et sic passim. Markland.

Εἰ μὲν γὰρ κ. τ. λ.] Lego: εἰ μὲν γὰρ

αὐτῆς, ὑφ' ἧς αὐτῷ προσετάττετο παρὰ τὸ δίκαιον ἀνθρώπους
ἀπολλύναι, ἴσως ἂν εἰκότως αὐτῷ συγγνώμην εἴχετε· νῦν
δὲ [1] παρὰ τοῦ ποτὲ καὶ λήψεσθε δίκην, εἴπερ ἐξέσται τοῖς
Τριάκοντα λέγειν ὅτι τὰ ὑπὸ τῶν Τριάκοντα προστα-
χθέντα [2] ἐποίουν; Καὶ μὲν δὴ οὐκ ἐν τῇ οἰκίᾳ, ἀλλ' ἐν τῇ ὁδῷ, 401
[3] σώζων αὐτὸν καὶ τὰ τούτοις ἐψηφισμένα, συλλαβὼν ἀπή- 402
γαγεν. ὑμεῖς δὲ [4] πάντες ὀργίζεσθε, ὅσοι εἰς τὰς οἰκίας ἦλ-
θον τὰς ὑμετέρας ζήτησιν ποιούμενοι ἢ ὑμῶν ἢ τῶν ὑμετέ-
ρων τινός. καίτοι, εἰ χρὴ [5] τούτοις διὰ τὴν ἑαυτῶν σωτηρίαν

[1] παρ' αὐτοῦ πότε T. A.
[2] ἐποίουν, καὶ μηδὲν δὴ οὐκ T. R. ἐποίουν, καὶ τὰ τούτοις ἐψηφισμένοις. καὶ μὴν ἔδει οὐκ A.
[3] σώζοντα αὐτὸν, καὶ τ. τ. ἐψ., ὃν συλλαβὼν T. R. σώζειν αὐτὸν, ὃν συλλαβὼν A.
[4] πάντες τούτοις ὀργίζεσθε A. [5] τοῖς A.

ἥν τις ἐν τῇ πόλει, etc. TAYLOR. Post ἀρχὴ Cont. addit ἦν, non male quidem quamvis hæc vox possit subaudiri. AUGER.

Αὐτῆς] Malim ταύτης. REISK.

Νῦν δὲ κ. τ. λ.] Nemo aliquid hic dixit præter Canterum. Νῦν δὲ π α ρ ά τ ο υ. [νῦν δὲ παρά του πότε. *jam autem abs quo demum.* Ita et MS. Venet. *In Edit. min.*] TAYLOR. Mallem παρ' αὐτῶν, sc. τῶν τριάκοντα, ex subsequentibus repetendum. Post καὶ forte deest πῶς. Interrogative hæc legenda sunt, usque ad ἐποίουν. Legi quoque bene potest παρὰ τοῦ, καὶ πότε, λήψεσθε, etc. τοῦ pro τίνος, ut apud Isæum p. 66. λαβὼν παρά του τῶν φίλων, et Platonem in Symposio, χρήματα βουλόμενος παρά του λαβεῖν, *volens pecuniam ab aliquo accipere.* Demosthenes in Aristogit. I. εἶτά σοι συγγνώμη; πόθεν, ἢ παρὰ τοῦ; MARKLAND. Dedi παρὰ τοῦ, id est, παρὰ τίνος, *a quonam?* REISK.

Καὶ μηδὲν δὴ κ. τ. λ.] Locum insigni medela macto. Nam et gravissime exceptus est, et cæteri ante me fere omnes conclamarunt potius, quam adjumento præsto erant. Punge igitur post ἐποίουν. Perfecta est ea sententia. Tum autem pergas: Καὶ μ ὴ ν ἤ δ η [δὴ, *in Edit. min.*] οὐκ ἐν τῇ οἰκίᾳ κ α τ ὰ τὰ τούτοις ἐψηφισμένα, ἀλλ' ἐν τῇ ὁδῷ σώζοντα α ὑ τ ὸ ν συλλαβὼν ἀπήγαγεν. Ubi vides istud ὃν ante συλλαβὼν oriri ex priori voce exeunte. Cetera omnia eædem fere sunt literæ. Præivit aliquo modo Canter: Καὶ μ ὴ ν ἔ δ ε ι κ. τ. λ. Groulartus hæc interpretatione non donavit. TAYLOR. Lege, καὶ μὲν δὴ, ut in quavis pagina. Sic Orat. XXVI. pro καὶ μηδὲν δὴ βουλεύειν, restituit Stephanus καὶ μὲν δή. MARKLAND. Ut paucis rem peragam, totum hunc locum sic ponam, ut Lysias, si non ita reliquit, videtur saltim voluisse scribere, sententia illuc lectorem deferente. Nam verba ipsa dare negatum nunc est. καὶ μὴν οὐδὲ τοῦτο δύναιτο προφασίζεσθαι (vel οὐδὲ τοῦτο ὠφελήσειεν ἂν αὐτὸν λέγοντα), ὅτι οὐκ ἐν τῇ οἰκίᾳ, ἀλλ' ἐν τῇ ὁδῷ, σώζων τε αὑτὸν, καὶ τὰ τούτοις ἐψηφισμένα ποιῶν, Πολέμαρχον συλλαβὼν ἀπήγαγεν. *neque hoc poterit ad sui excusationem afferre* (vel, *nil ei proderit hoc excusare*), *quod Polemarchum in carcerem abduxerit a se, non domi ejus, sed in via publica comprehensum; quem comprehendisset ipse ideo, quod saluti ipse suæ cavisset, et paruisset mandatis XXX virorum.* REISK.

Καὶ τὰ τούτοις ἐψηφισμένα] Suspicor has voces ex loco suo motas esse, et pertinere ad præcedentem sententiam hoc modo: εἴπερ ἐξέσται τοῖς Τριάκοντα λέγειν, ὅτι τὰ ὑπὸ τῶν Τριάκοντα προσταχθέντα, καὶ τὰ τούτοις ἐψηφισμένα, ἐποίουν; καὶ μὲν δὴ οὐκ ἐν τῇ οἰκίᾳ ἀλλ' ἐν τῇ ὁδῷ σώζοντα αὑτὸν συλλαβὼν ἀπήγαγεν. ὑμεῖς δὲ πάντες ὠργίζεσθε (non ὀργίζεσθε) ὅσοι εἰς τὰς οἰκίας ἦλθον τὰς ὑμετέρας, etc. Certe omnia sic optime cohærebunt. Pro αὐτὸν rescripsi αὑτὸν, *seipsum*, de Fratre enim suo loquitur: et delevi ὃν, natum forte ex præcedente syllaba. Ante ὅσοι intelligendum est αὐτοῖς: quæ Ellipsis Nostro et omnibus usitatissima est. MARKLAND. Leg. ὠργίζεσθε. *In Edit. min.* TAYLOR.

Πάντες] Aut cum πᾶσιν est mutandum, aut utrumque est copulandum, ut sit πάντες πᾶσιν ὀργίζεσθε. Sed prius malim. REISK.

Ποιοῦμεν] (Sic Ald.) ποιούμενοι, et mox χρὴ τοῖς. CONT.

Τούτοις] Videtur quidem oppositio esse inter τούτοις et ἐκείνοις. verum si τούτοις servatur, sententia exit impedita, aut potius nulla. non enim video, quo referri possit alio, quam eodem, quo τούτοις proximum superius redit, scil. ad XXX tyrannos. Verum nemo tum XXX tyrannis ignoscebat ideo, quod alios pessumdedissent sui conservandi causa. quare ma-

403 ἑτέρους ἀπολέσασι συγγνώμην ἔχειν, ἐκείνοις ἂν δικαιότε- 123.
ρον ἔχοιτε· κίνδυνος γὰρ ἦν πεμφθεῖσι μὴ ἐλθεῖν καὶ κα-
ταλαβοῦσιν ἐξάρνοις γενέσθαι. τῷ δὲ Ἐρατοσθένει ἐξῆν
εἰπεῖν ὅτι οὐκ ἀπήντησεν, ἔπειτα ὅτι οὐκ [1] εἶδεν· ταῦτα
γὰρ οὔτ' ἔλεγχον οὔτε βάσανον εἶχεν, ὥστε μηδ' ὑπὸ τῶν
ἐχθρῶν βουλομένων οἷόν τε εἶναι ἐξελεγχθῆναι. χρῆν δέ σε,
ὦ Ἐρατόσθενες, εἴπερ ἦσθα χρηστὸς, πολὺ μᾶλλον τοῖς
μέλλουσιν ἀδίκως ἀποθανεῖσθαι μηνυτὴν γενέσθαι ἢ [2] τοὺς
404 ἀδίκως ἀπολουμένους συλλαμβάνειν. νῦν δέ σου τὰ ἔργα
φανερὰ γεγένηται οὐχ ὡς ἀνιωμένου ἀλλ' ὡς ἡδομένου τοῖς
γιγνομένοις, ὥστε τούσδε ἐκ τῶν ἔργων χρὴ μᾶλλον ἢ ἐκ
τῶν λόγων τὴν ψῆφον φέρειν, ἃ ἴσασι γεγενημένα, τῶν τότε
λεγομένων τεκμήρια λαμβάνοντας, ἐπειδὴ μάρτυρας περὶ
αὐτῶν οὐχ οἷόν τε παρασχέσθαι. οὐ γὰρ μόνον ἡμῖν πα-

[1] οἶδεν T. R. A. [2] τοῖς ἀδικῶς ἀπολλύουσι A.

lim τοῖς h. l. legi. quanquam si venia debetur iis, qui alios pessumdant, quo ipsi salvi maneant, multo maximo jure debetur ea venia iis, qui, a XXX tyrannis ablegati, in domus civium irrumpebant, et cives illinc in carcerem rapiebant. Quod in Eratosthene secus est, qui Polemarchum non domo extractum, sed media e via publica correptum in carcerem egit. Tum docet orator, quare minus peccaverint, et majore venia digni sint hi, si qui cives domibus extraxissent, quam qui e semita publica corripuissent. Nam, ait, qui missi a tyrannis in domos, aut non irent, aut in renunciando negarent reperisse, quos reperissent, capite suo culpam luebant. Verum infitiari a se visum aut noscitatum esse, cui in via publica occurrisset, id vero periculo carebat. Reisk.

Ἐκείνοις] Scil. qui cives e domibus suis extractos in carcerem agerent. Idem. Auger.

Δικαιότερον ἔχοιτε] Scil. quam illis, qui cives media de via publica abripiunt. Reisk.

Μὴ ἐλθεῖν] Scil. eam in domum, in quam missi fuissent. Idem.

Ἐρατοσθένει] Quippe qui Polemarchum non domo extraxisset, sed e via corripuisset, ut e p. 121. 29. ed. Steph. constat. Idem.

Βουλομένων] Scil. ἐλέγχειν αὐτὸν ψευδόμενον. Idem.

Τοῖς μέλλουσιν ἀδίκως ἀποθανεῖσθαι] Contrarium dicere voluit, δικαίως ἀποθανεῖσθαι: Cui statim opponitur, τοὺς ἀδίκως ἀπολουμένους. Markland. Leg. δικαίως ἀποθανεῖσθαι. *In Edit. min.* Taylor.

Ἢ τοὺς ἀδίκως ἀπολουμένους συλλαμβάνειν] Si συλλαμβάνειν sensu vulgari hic accipitur, pro *comprehendere*, vocabula secundum, tertium et quartum sunt supervacanea, nam modo præcesserunt. Sin autem sensu *adjuvandi, operam navandi*, accipies, et antitheton hic subesse censebis, quod vero simile nemini non videbitur, qui Lysiam norit, leg. erit: ἢ τοῖς ἀδίκως ἀπολλύουσι συλλαμβάνειν, *quam operam navare sceleratis insontes opprimentibus.* Reisk.

Τῶν τότε λεγομένων] Eorum sermonum, quos Eratosthenes tum ad XXX tyrannos revera habuit, ad pestem insontibus civibus consciscendam, non horum, quos nunc jactat a se habitos pro defensione nostri, quos sermones ille nunquam habuit, sed comminiscitur modo nunc, sui purgandi causa, quo vos fallat, atque e manibus vestris elabatur. Idem.

Ἡμῖν παρεῖναι] Lege, ὑμῖν, *vobis*, scil. τοῖς Τριάκοντα, vestris consultationibus. ἀλλ' οὐδὲ παρ' αὐτοῖς εἶναι, *sed ne illis quidem* (sc. damnatis) *adesse permissum fuit.* Artificiose et ut Invidiam augeat. Orat. XIX. ἄκριτοι ἀπέθανον, πρὶν παραγενέσθαι τινὰ αὐτοῖς ἐλεγχομένοις ὡς ἠδίκουν. Mox pro ποιήσαις scribo ποιήσειας. Markland. Bene habet ἡμῖν, neque eo carere potest oratio, at altero vocabulo ὑμῖν facillime potest; quoniam τοῖς τότε λεγομένοις ἐν ὑμῖν e præmissis facile subauditur. *nobis non solum non licuit interesse vestris deliberationibus, sed ne esse quidem domi nostræ, manere in domiciliis nostris,* verum exsulandum nobis propter vos fuit. idem

ρεῖναι οὐκ ἐξῆν, ἀλλ' οὐδὲ παρ' [1] αὑτοῖς εἶναι, ὥστ' ἐπὶ τού-
τοις ἐστὶ πάντα τὰ κακὰ εἰργασμένοις τὴν πόλιν πάντα 405
τἀγαθὰ περὶ αὑτῶν λέγειν. τοῦτο μέντοι οὐ φεύγω, ἀλλ'
ὁμολογῶ σοι, εἰ βούλει, ἀντειπεῖν. θαυμάζω δὲ τί ἄν ποτε
ποιήσαις συνειπὼν, ὁπότε ἀντειπεῖν φάσκων ἀπέκτεινας Πο-
λέμαρχον. φέρε δὴ, τί ἂν εἰ καὶ ἀδελφοὶ ὄντες ἐτύχετε αὐτοῦ
ἢ καὶ υἱεῖς; [2] ἀπεψηφίσασθε; δεῖ γὰρ, ὦ ἄνδρες δικασταὶ,
Ἐρατοσθένην δυοῖν θάτερον ἀποδεῖξαι, ἢ ὡς οὐκ ἀπήγαγεν
αὐτὸν, ἢ ὡς δικαίως τοῦτ' ἔπραξεν. οὗτος δὲ [3] ὡμολόγηκεν
ἀδίκως συλλαβεῖν, ὥστε ῥᾳδίαν ὑμῖν τὴν διαψήφισιν περὶ
αὑτοῦ πεποίηκε. Καὶ μὲν δὴ πολλοὶ καὶ τῶν ἀστῶν καὶ
τῶν ξένων ἥκουσιν εἰσόμενοι τίνα γνώμην περὶ τούτων ἕξετε.
ὧν οἱ μὲν [4] ὑμέτεροι ὄντες πολῖται μαθόντες ἀπίασιν ὅτι ἢ 406
δίκην δώσουσιν ὧν ἂν ἐξαμάρτωσιν, ἢ πράξαντες μὲν ὧν
ἐφίενται τύραννοι τῆς πόλεως ἔσονται, δυστυχήσαντες δὲ τὸ
ἴσον ὑμῖν ἕξουσιν· ὅσοι δὲ ξένοι ἐπιδημοῦσιν, εἴσονται πότε-
ρον ἀδίκως τοὺς Τριάκοντα ἐκκηρύττουσιν ἐκ τῶν πόλεων, ἢ
δικαίως. εἰ γὰρ δὴ αὐτοὶ οἱ κακῶς πεπονθότες λαβόντες
ἀφήσουσιν, ἦπου σφᾶς αὐτοὺς ἡγήσονται περιέργους ὑπὲρ
ὑμῶν [5] τειρομένους. οὔκουν δεινὸν, εἰ τοὺς μὲν στρατηγοὺς,
οἳ ἐνίκων ναυμαχοῦντες, [6] ὅτι διὰ χειμῶνα οὐχ οἷοί τ' ἔφα-
σαν εἶναι τοὺς ἐκ τῆς θαλάττης ἀνελέσθαι, θανάτῳ ἐζημιώ- 407

[1] αὐτοῖς T. [2] , ἀπεψηφίσαισθε A. [3] ὡμολόγησεν T. R. A.
[4] ἡμέτεροι T. R. [5] τηρουμένους. οὐκοῦν T. A. [6] ὅτε T. A.

est ac si dixisset: παρ' ἡμῖν αὐτοῖς εἶναι, οἴκοι μένειν. Reisk. παρεῖναι, *adesse*, ap. in publico. Auger.

Παρ' αὐτοῖς] Lege: παρ' αὑτοῖς. Taylor. παρ' αὑτοῖς εἶναι, *apud nosmetipsos esse*, i. e. domi manere. Auger.

Ποιήσαις] F. ποιήσειας. Taylor.

Τί ἂν] Scil. ἐποιεῖτε, aut ἐποιήσατε. nisi potius alterutrum addendum est. Reisk.

Ἀπεψηφίσασθε;] Vel deesse videtur ἂν, vel legendum ἀποψηφίσαισθε. Markland. Videtur post hoc vocabulum ἀπεψ. deesse responsio οὔ. *absolveretisne? neutiquam.* Reisk.

Διαψήφισιν] Exponit Vales. ad Harpocr. pag. notar. 46. Taylor.

Ἡμέτεροι] Imo vero ὑμέτεροι. Lysias, qui civis Atheniensis non esset, dicere non poterat, *civis noster*, at poterat *vester* dicere, id quod inquilinum decebat. Reisk.

Λαβόντες] Scil. ὑποχειρίους ἐκείνους, ὑφ' ὧν κακῶς πεπόνθασι. Reisk.

Τηρομένους] Τειρομένους. Canter. Non assequor. Lege: περιέργως ὑπὲρ ὑμῶν τηρομένους [τηρουμένους *in Edit. min.*]. Taylor. Lego, τιμωρουμένους, *vestri gratia pœnas sumentes:* ut infra, ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῶν ἐκ Πειραιέως τιμωρήσασθε. Mox, pro ὅτε mallem ὅτι. Ista vero periodus longa ita distinguenda est: τούτους δὲ, οἳ ἰδιῶται μὲν ὄντες, καθόσον ἐδύναντο, ἐποίησαν — ἀποκτιννύναι, οὐκ ἄρα χρὴ αὐτοὺς — κολάζεσθαι. Male plene distinguebatur post ἀποκτιννύναι. Markland. Leg. ὅτι. *In Edit. min.* Taylor.

Οὐκοῦν] Vel οὔκουν. Idem.

Τοὺς ἐκ τῆς θαλάττης] Potest ferri, si necesse est, ut multa alia dura et aspera. mihi tamen videtur Lysias reliquisse: τοὺς ναυαγοῦντας ἐκ τῆς θαλ. Reisk.

σατε, ἡγούμενοι χρῆναι τῇ τῶν [1] τεθνεώτων ἀρετῇ παρ' ἐκεί-
νων δίκην λαβεῖν· τούτους δὲ [2] δὴ, οἳ ἰδιῶται μὲν ὄντες καθ'
ὅσον ἐδύναντο [3] ἐποίησαν ἡττηθῆναι ναυμαχοῦντας, ἐπειδὴ
δὲ εἰς τὴν ἀρχὴν κατέστησαν, ὁμολογοῦσιν ἑκόντες πολλοὺς
τῶν πολιτῶν ἀκρίτους ἀποκτιννύναι, οὐκ ἄρα χρὴ αὐτοὺς
καὶ τοὺς παῖδας [4] ὑφ' ὑμῶν ταῖς ἐσχάταις ζημίαις κολάζε-
σθαι;

η'. Ἐγὼ τοίνυν, ὦ ἄνδρες δικασταὶ, ἠξίουν ἱκανὰ εἶναι
τὰ κατηγορημένα· μέχρι γὰρ τούτου νομίζω χρῆναι κα-
τηγορεῖν, ἕως ἂν θανάτου δόξῃ τῷ φεύγοντι ἄξια εἰργάσθαι·
408 [5] ταύτην γὰρ ἐσχάτην δίκην δυνάμεθα παρ' αὐτῶν λαβεῖν.
ὥστ' οὐκ οἶδ' [6] ὅ τι δεῖ πολλὰ κατηγορεῖν τοιούτων ἀνδρῶν,
οἳ οὐδ' ὑπὲρ ἑνὸς ἑκάστου τῶν πεπραγμένων δὶς ἀποθα-
νόντες δίκην δοῦναι δύναιντ' ἄν. οὐ γὰρ δὴ οὐδὲ τοῦτο
409 [7] αὐτῷ προσήκει ποιῆσαι, ὅπερ ἐν τῇδε τῇ πόλει εἰθισμέ-

[1] τεθνειότων T. R. A. [2] δὴ om. T. A. [3] ἐποίησαν ὑμᾶς ἡττηθ. A. [4] ἀφ' T. [5] ταῦτα T. τότε A. [6] ὅτι T. A. [7] αὐτοῖς T. A.

Τεθνειότων] Recurrit hæc forma p. 371. 4. usitatior tamen est altera, quæ pro diphthongo simplex ε dat, quam formam ubique locorum Lysiæ restituendam arbitror. Idem.

Ἐποίησαν] Aut ante aut post hoc vocabulum deest ὑμᾶς. *in culpa fuerunt, ut vos prælio navali vinceremini.* designat illam Atheniensibus fatalem ad Ægospotamos pugnam. Idem.

Ἀφ' ὑμῶν] Ὑφ' ὑμῶν. Cont.

ἀρετὴν πλείονος ἀξίαν ἀποφαίνοντες τῆς [1][τούτων] πονηρίας· ἐβουλόμην μέντ' ἂν αὐτοὺς οὕτω προθύμους εἶναι σώζειν τὴν πόλιν, ὥσπερ οὗτοι [2]ἀπολλύναι· ἢ ὡς δεινοὶ λέγειν ἀπολογήσονται καὶ τὰ τούτων ἔργα πολλοῦ ἄξια ἀποφανοῦσιν; ἀλλ' οὐχ ὑπὲρ ὑμῶν οὐδεὶς αὐτῶν [3]οὐδὲ τὰ δίκαια πώποτε ἐπεχείρησεν εἰπεῖν.

ιδ'. Ἀλλὰ τοὺς μάρτυρας ἄξιον ἰδεῖν, οἳ τούτοις μαρτυροῦντες [4]αὑτῶν κατηγοροῦσι, σφόδρα ἐπιλήσμονας καὶ εὐήθεις νομίζοντες ὑμᾶς εἶναι, εἰ διὰ μὲν τοῦ ὑμετέρου πλή-
438 θους ἀδεῶς ἡγοῦνται τοὺς Τριάκοντα σώσειν, διὰ δὲ Ἐρατοσθένην καὶ τοὺς συνάρχοντας αὐτοῦ δεινὸν ἦν καὶ τῶν [5]τεθνεώτων ἐπ' ἐκφορὰν ἐλθεῖν. [6]καίτοι οὗτοι μὲν σωθέντες πάλιν ἂν δύναιντο τὴν πόλιν ἀπολέσαι· ἐκεῖνοι δέ, οὓς οὗτοι ἀπώλεσαν, τελευτήσαντες τὸν βίον, πέρας ἔχουσι τῆς παρὰ τῶν ἐχθρῶν τιμωρίας. οὐκοῦν δεινὸν εἰ τῶν μὲν ἀδίκως τεθνεώ-

[1] τούτων om. T. R. uncos om. A. [2] ἀποδοῦναι T. [3] οὔτε T. [4] αὐτῶν T. [5] τεθνειότων T. R. A. [6] καὶ τοιοῦτοι T. A.

Τὴν αὐτῶν ἀρετὴν πλείονος ἀξίαν ἀποφαίνοντες τῆς πονηρίας] Clare legendum, τῆς τούτων πονηρίας: cui opponitur τὴν αὐτῶν ἀρετήν. SUA IPSORUM *merita majora esse ostendentes, quam* HORUM *improbitas fuerit.* Vide sequentia. MARKLAND. Assentior Marklando, aiens, aut τούτων aut ἐκείνων interponendum esse. REISK.

Ἀποδοῦναι] Προδοῦναι. CONT. Lego, ἀπολλύναι. *Utinam*, inquit, *Hi tanto studio* SERVARE (σώζειν), *quanto Isti* PERDERE *rempublicam, vellent.* Eadem oppositio infra: καίτοι οὗτοι μὲν σωθέντες, πάλιν ἂν δύναιντο τὴν πόλιν ἀπολέσαι. ita legendum pro καὶ τοιοῦτοι. Mox, pro αὐτῶν κατηγοροῦσι, supra monui scribendum αὑτῶν, *se ipsi accusant.* MARKLAND. F. ἀπολλύναι. *In Edit. min.* TAYLOR.

Οὐδὲ] Sic de meo dedi, pro vulgari οὔτε. *ne justa quidem et æqua.* REISK.

Διὰ τοῦ ὑμετέρου πλήθους] Ultima vox videtur servare vestigia veræ Lectionis; quæ, nisi me fallit Ratio, est ἐλέου. mirum, inquit, si *per vestram misericordiam* hi nunc serventur, ipsi olim adeo crudeles et *immisericordes*, ut in civium a se occisorum funera prodire ne propinquis quidem eorum permiserint: οὐδ' ἐπὶ τὰς ταφὰς καὶ ἐκφορὰς τῶν τελευτησάντων εἴων τοὺς προσήκοντας παραγενέσθαι, ut de iis narrat Æschines adv. Ctesiph. §. πς'. MARKLAND. Bene videtur πλήθους habere. Lysias, antithetorum venator, multitudinem plebis Atheniensis opponit paucitati tyrannorum. REISK.

Τεθνειότων] Ὀλίγῳ ὕστερον, τεθνεώτων. H. STEPHAN.

Αὐτοῦ, δεινὸν ἦν καὶ τῶν τεθνειότων etc.] Lego: διὰ δὲ Ἐρατοσθένην καὶ τοὺς συνάρχοντας αὐτοῦ οὐδ' ἐνῆν καὶ τῶν τεθνεώτων etc. *per Eratosthenem vero et collegas ejus non licuit, ne defunctorum quidem funera prosequi.* MARKLAND.

Οὐκοῦν δεινὸν κ. τ. λ.] Locum ita restituere meditatur Schottus: Οὐκοῦν δεινὸν, εἰ — ἀπολέσασι, τοσοῦτοι εἰς ἐκφορὰν ἥξουσιν, ὁπόσοις θανεῖν ἀδίκως αὐτοὶ παρεσκευάσαντο. Jam mihi quotidianus erit ille Œdipus, qui Lysiam corrigit, præ illo, qui a te correctum intelligit. Facilius mecum sanabis: Οὐκοῦν δεινὸν εἰ τῶν μὲν ἀδίκως τεθνεώτων οἱ φίλοι πολλοὶ συναπώλλυντο, ὁπότε ἐπ' ἐκφορὰν ἥξωσιν· αὐτοῖς δὲ τοῖς τὴν πόλιν ἀπολέσασιν, τοσοῦτοι βοηθεῖν παρασκευάζονται. Modo dixerat δεινὸν fuisse διὰ Ἐρατοσθένην, τῶν τεθνεώτων ἐπ' ἐκφορὰν ἐλθεῖν, ad domesticam calamitatem sc. et funus Polemarchi respiciens: jam autem comparatione facta grave istud et indignum clamitat, *periclitari eos, qui sub trigintavirali dominatu ad amicorum injuria sublatorum exsequias ivere: eis autem sicariis ipsis tot cives in eorum calamitate subvenire.* TAYLOR. Non pœnitet conjecturæ in hunc desperatissimum locum: οὐκοῦν δεινὸν, εἰ τῶν μὲν ἀδίκως τεθνεώτων οἱ φίλοι, νῦν ἀπολλυμένοις αὖ τοῖσδε, τοῖς τὴν πόλιν ἀπολέσασι, μὴ ἐπ' ἐκφορὰν πολλοὶ ἥξουσιν, ὁπότε τὸ θανεῖν τοσούτοις οὗτοι παρεσκευάζοντο: *iniquum igitur foret, si amicis eo-*

των οἱ φίλοι συναπώλλυντο, αὐτοῖς δὲ τοῖς τὴν πόλιν ἀπο- 439
λέσασιν [1]ἐπ' ἐκφορὰν πολλοὶ ἥξουσιν, ὁπότε [2]βοηθεῖν 440
τοσοῦτοι παρασκευάζονται. καὶ μὲν δὴ πολὺ [3]ῥᾷον ἡγοῦμαι
εἶναι ὑπὲρ ὧν ὑμεῖς ἐπάσχετε ἀντειπεῖν, ἢ περὶ ὧν οὗτοι
πεποιήκασιν ἀπολογήσασθαι. καίτοι λέγουσιν, ὡς Ἐρατο-
σθένει ἐλάχιστα τῶν Τριάκοντα κακὰ εἴργασται, καὶ διὰ
τοῦτο αὐτὸν ἀξιοῦσι σωθῆναι· ὅτι δὲ τῶν ἄλλων Ἑλλήνων
πλεῖστα εἰς ὑμᾶς ἐξημάρτηκεν, οὐκ οἴονται χρῆναι αὐτὸν
ἀπολέσθαι. ὑμεῖς δὲ δείξατε ἥντινα γνώμην ἔχετε περὶ τῶν 441
πραγμάτων. εἰ μὲν γὰρ τούτου καταψηφιεῖσθε, δῆλοι ἔσεσθε
ὡς ὀργιζόμενοι τοῖς πεπραγμένοις· εἰ δὲ ἀποψηφιεῖσθε,
ὀφθήσεσθε τῶν αὐτῶν ἔργων ἐπιθυμηταὶ τούτοις ὄντες, καὶ
οὐχ ἕξετε λέγειν ὅτι τὰ ὑπὸ τῶν Τριάκοντα προσταχθέντα
ἐποιεῖτε· νυνὶ μὲν γὰρ οὐδεὶς ὑμᾶς ἀναγκάζει παρὰ τὴν
ὑμετέραν γνώμην ἀποψηφίζεσθαι. ὥστε συμβουλεύω μὴ
τούτων ἀποψηφισαμένους ὑμῶν αὐτῶν καταψηφίσασθαι.
μηδ' οἴεσθε κρύβδην τὴν ψῆφον [4]εἶναι· φανερὰν γὰρ τῇ
πόλει τὴν ὑμετέραν γνώμην ποιήσετε.

[1] ἤ που T. ἤπου ἐπ' R. A. [2] νοηθεῖεν T. [3] ῥᾴδιον T.
[4] εἶναι om. T. R. οἴσειν A.

rum, qui injuste perierunt, ad horum, qui rempublicam perdiderunt, nunc invicem pereuntium, funera venire non licuerit; multi numero venturi, *quandoquidem isti* (οἱ Tragginta) *causa mortis tam multis exstiterint.* Usitatior ordo scribendi est, μὴ ἐπ' ἐκφορὰν ἥξουσι· πολλοὶ, ὁπότε, etc. et hunc in Versione, perspicuitatis causa, secutus sum: sed alterum fieri solet, et venustatem suam habet. Hæc ultima acutissima sunt. Schotti Conjectura de hoc loco, nimis vaga et libera, per se ipsa refutatur. Mox, pro δείξατε, sensus postulat δείξετε, *ostendetis.* MARKLAND. In hoc loco primum pro εἰ leg. videtur ἦ vel εἴη. Sic οὐκοῦν δεινὸν ᾖ. *grave et infandum sit.* hic insistit oratio paululum. tum de novo sic orditur τῶν μὲν ἀδίκως—deinde pro ἢ που ἐκφορὰν legendum arbitror ἤ που ἐπ' ἐκφορὰν utique, profecto, procul dubio, exsequias ibunt, honoris causa. tertio βοηθεῖν e Taylori annotatione adscivi, pro vulgari νοηθεῖεν. Et sic perlevi opera sanatum habemus hunc locum. REISK.

Ῥᾴδιον] Π. ῥᾷον. H. STEPHAN. CONT.

Ἀντειπεῖν] Id est h. l. κατηγορεῖν. REISK. AUGER.

Περὶ] Ὑπὲρ Coisl. Hæc loco moveri video. Lege itaque: ῥᾴδιον—περὶ ὧν ὑμεῖς ἐπάσχετε ἀντειπεῖν, ἢ ὑπὲρ ὧν οὗτοι πεποιήκασιν ἀπολογήσασθαι. TAYLOR. Vid. not. Brem. ad Demosth. Olynth. A. vol. i. p. 12. ed. Nost.

Τῶν ἄλλων Ἑλλήνων] Rectius, ut mihi videtur, scripsisset τῶν ἄλλων πολιτῶν. Comparatio enim nimis extenditur, et ultra rem profertur. Suspicor vocem Ἑλλήνων ortum habuisse ex præcedente ἄλλων. MARKLAND. Ego equidem Ἑλλήνων tuebor. Sententia plana est. Eratosthenes, etiamsi verum sit, quod aiunt ejus defensores, eum omnium tyrannorum minimum vobis malorum injunxisse, tamen omnium Græcorum unus plurima mala vobis dedit. Vel in omnibus Græcis simul sumtis, qui vos bellis unquam exagitarunt, nemo est, qui vos pluribus affecerit damnis, quam hic unus Eratosthenes. REISK.

Οὐκ οἴονται] Subaudi διὰ τοῦτο. IDEM.

Ἀπολέσθαι] Melius conveniret interrogationis nota post ἀπολέσθαι. *Annon arbitrantur eum morte plecti debere?* Modo δείξετε. *Vos vero ostendetis, &c.* *In Edit. min.* TAYLOR.

Ὡς] Malim aut plane deletum, aut in ejus locum suffectum πᾶσιν. REISK.

Οἴεσθε] Οἴσεσθε. SCALIG. Οἴσετε. CANTER. Οἴεσθαι, ὅτι οἴσετε κρύβδην. CONT. Legendum, οἴσετε: *neque clam suffra-*

ιέ. Βούλομαι δὲ ὀλίγα ἑκατέρους ἀναμνήσας καταβαί-
νειν, τούς τε ἐξ ἄστεος καὶ τοὺς ἐκ [1]Πειραιῶς, ἵνα τὰς
ὑμῖν διὰ [2]τοῦτον γεγενημένας συμφορὰς παραδείγματα
ἔχοντες τὴν ψῆφον φέρητε. καὶ πρῶτον μὲν ὅσοι ἐξ ἄστεός
ἐστε, σκέψασθε ὅτι ὑπὸ τούτων οὕτω σφόδρα ἤρχεσθε,
ὥστε ἀδελφοῖς καὶ υἱέσι καὶ πολίταις ἠναγκάζεσθε πο-
442 λεμεῖν τοιοῦτον πόλεμον, ἐν ᾧ ἡττηθέντες μὲν τοῖς νικήσασι
τὸ ἴσον [3]ἔχετε, νικήσαντες δ᾽ ἂν τούτοις ἐδουλεύετε. καὶ
τοὺς ἰδίους οἴκους οὗτοι μὲν ἂν ἐκ τῶν πραγμάτων μεγά-
λους ἐκτήσαντο, ὑμεῖς δὲ διὰ τὸν πρὸς ἀλλήλους πόλεμον
ἐλάττους [3]ἔχετε. συνωφελεῖσθαι μὲν γὰρ ὑμᾶς οὐκ ἠξίουν,
συνδιαβάλλεσθαι δ᾽ ἠνάγκαζον, εἰς τοσοῦτον ὑπεροψίας
ἐλθόντες, ὥστε οὐ τῶν ἀγαθῶν κοινούμενοι πιστοὺς ὑμᾶς
ἐκτῶντο, ἀλλὰ τῶν ὀνειδῶν μεταδιδόντες εὔνους ᾤοντο εἶναι.
ἀνθ᾽ ὧν ὑμεῖς νῦν ἐν τῷ θαῤῥαλέῳ ὄντες, καθ᾽ ὅσον δύνασθε,
443 καὶ ὑπὲρ ὑμῶν αὐτῶν καὶ ὑπὲρ τῶν ἐκ [1]Πειραιῶς τιμωρή-
σασθε, ἐνθυμηθέντες μὲν ὅτι ὑπὸ τούτων [4]πονηροτέρων 129. 1
ὄντων ἤρχεσθε, ἐνθυμηθέντες δὲ ὅτι μετ᾽ ἀνδρῶν νῦν ἀρίστων
πολιτεύεσθε καὶ τοῖς πολεμίοις μάχεσθε καὶ περὶ τῆς
πόλεως βουλεύεσθε, ἀναμνησθέντες δὲ τῶν ἐπικούρων, οὓς
οὗτοι φύλακας τῆς [5]σφετέρας ἀρχῆς καὶ τῆς ὑμετέρας δου-

[1] Πειραιέως A. [2] τούτων T. A. [3] εἴχετε T. R. A.
[4] πονηροτάτων R. [5] ὑμετέρας T.

gium laturi estis: ut mox, ποιήσετε. Dinarchus adv. Aristogit. περὶ τῶν ἄλλων ἀποφάσεων οἴσετε τὴν ψῆφον. Demosthenes in Mid. καὶ περὶ τούτου τὴν ψῆφον οἴσετε νῦν ὑμεῖς. Ubique occurrit phrasis. Ad rem Lycurgus: κρύβδην ψηφιζόμενος ἕκαστος ὑμῶν φανερὰν ποιήσει τὴν αὑτοῦ γνώμην τοῖς Θεοῖς. Markland. Ego equidem οἴεσθε servem, at οἴσειν addi velim post ψῆφον. Reisk.

Τὸ ἴσον εἴχετε] Excidit Negativa οὐκ, vel οὐκ ἂν, ante εἴχετε. Dixi ad Orat. IV. ubi idem mendum. Markland. Bene habet vulgata. *in quo si vinceremini, pari eratis loco futuri atque victores*, h. e. perinde servi XXX tyrannorum, atque illi, a quibus victi fuissetis, erant. Reisk.

Ἐκ τῶν πραγμάτων] Opinor ἁρπαγμάτων, *rapinis*. Æschines adv. Ctes. §. π΄. τὰ περὶ τὰς τριήρεις καὶ τοὺς τριηράρχους ἁρπάγματα. Scio quidem πράγματα interdum significare *turbas*. Markland. Vulgatum rursus ausim defendere. Subauditur τῶν τότε ὑπαρχόντων. Sæpe vocab. πράγματα malo sensu usurpatur pro molestiis, negotiis turbulentis et luctuosis. *ex illis negotiis calamitosis, in quibus versabantur*. Reisk. Cum Reiskio facit Augerus.

Ἐλάττους] Ἔλαττον. Cont.

Συνδιαβάλλεσθαι] Eadem invidia, eodemque odio, quo ipsi apud cives a se crudeliter vexatos ardebant, conflagrare, eorumque, qui alias amici vobis futuri fuissent, animos erga vos exulcerari. Reisk.

Ὅτι ὑπὸ] Si omnia ad amussim inter se respondere debent, prodit insequens νῦν hic inserendum esse τόθ᾽ (id est τότε). verum nil est cur autumemus Lysiam tam misere diligentem verborum libripendem fuisse. Satis indicat imperfectum ἤρχεσθε tempus præteritum. Sed ais, satis indicat πολιτεύεσθε tempus præsens, ut addi νῦν nihil opus esset. cur ergo addidit? haud habeo, quod respondeam. Idem.

Πονηροτέρων] Malim cum Reiskio πονηροτάτων. Auger.

Ὑμετέρας] Sensus postulat: οὓς οὗτοι φύλακας τῆς ἑαυτῶν ἀρχῆς, καὶ τῆς ὑμετέρας δουλείας — κατέστησαν. Taylor.

λείας εἰς τὴν ἀκρόπολιν κατέστησαν. καὶ πρὸς ὑμᾶς μὲν, ἔτι πολλῶν ὄντων εἰπεῖν, τοσαῦτα λέγω. ὅσοι δ' ἐκ [1]Πειραιῶς ἐστὲ, πρῶτον μὲν τῶν ὅπλων ἀναμνήσθητε, ὅτι πολλὰς 444 μάχας ἐν τῇ ἀλλοτρίᾳ μαχεσάμενοι οὐχ ὑπὸ τῶν πολεμίων ἀλλ' ὑπὸ τούτων, εἰρήνης οὔσης, ἀφῃρέθητε τὰ ὅπλα· ἔπειθ' ὅτι ἐξεκηρύχθητε μὲν ἐκ τῆς πόλεως, ἣν ὑμῖν οἱ πατέρες παρέδοσαν, φεύγοντας δὲ ὑμᾶς ἐκ τῶν πόλεων [2]ἐξῃτοῦντο. ἀνθ' ὧν ὀργίσθητε μὲν ὥσπερ ὅτ' ἐφεύγετε, ἀναμνήσθητε δὲ καὶ τῶν ἄλλων κακῶν ἃ πεπόνθατε ὑπ' αὐτῶν· οἳ τοὺς μὲν ἐκ τῆς ἀγορᾶς τοὺς δ' ἐκ τῶν ἱερῶν συναρπάζοντες βιαίως [3]ἀπέκτειναν, τοὺς δὲ ἀπὸ τέκνων καὶ γονέων καὶ γυναικῶν [4]ἀφελόντες φονέας αὑτῶν ἠνάγκασαν γενέσθαι, καὶ οὐδὲ ταφῆς τῆς νομιζομένης εἴασαν τυχεῖν, ἡγούμενοι τὴν αὑτῶν ἀρχὴν βεβαιοτέραν εἶναι τῆς παρὰ τῶν θεῶν τιμωρίας. ὅσοι δὲ τὸν θάνατον διέφυγον, πολλαχοῦ κινδυνεύσαντες καὶ εἰς πολλὰς πόλεις πλανηθέντες καὶ πανταχόθεν ἐκκηρυττόμενοι, ἐνδεεῖς ὄντες τῶν ἐπιτηδείων, οἱ μὲν ἐν πολεμίᾳ τῇ πατρίδι τοὺς παῖδας καταλιπόντες, οἱ δ' ἐν ξένῃ γῇ, πολλῶν ἐναντιουμένων ἤλθετε εἰς τὸν Πειραιᾶ. πολλῶν δὲ καὶ μεγάλων κινδύνων ὑπαρξάντων, ἄνδρες ἀγαθοὶ γενόμενοι τοὺς μὲν ἠλευθερώσατε, τοὺς δ' εἰς τὴν πατρίδα κατηγάγετε. εἰ δὲ ἐδυστυχήσατε καὶ τούτων ἡμάρτετε, αὐτοὶ μὲν ἂν δείσαντες ἐφεύγετε, μὴ 445 πάθητε τοιαῦτα οἷα καὶ πρότερον, καὶ οὔτ' ἂν ἱερὰ οὔτε βωμοὶ ὑμᾶς ἀδικουμένους διὰ τοὺς τούτων τρόπους ὠφέλησαν, ἃ καὶ τοῖς ἀδικοῦσι [5]σωτήρια γίνεται· οἱ δὲ παῖδες ὑμῶν, ὅσοι μὲν ἐνθάδε ἦσαν, ὑπὸ τούτων ἂν ὑβρίζοντο, οἱ δ' ἐπὶ ξένης μικρῶν ἂν ἕνεκα συμβολαίων ἐδούλευον, ἐρημίᾳ τῶν ἐπικουρησόντων.

ιϛ'. Ἀλλὰ γὰρ οὐ τὰ μέλλοντα ἔσεσθαι βούλομαι λέγειν, τὰ πραχθέντα ὑπὸ τούτων οὐ δυνάμενος εἰπεῖν· οὐδὲ

[1] Πειραιέως A. [2] ἐξῃτοῦντο T. [3] ἀπέκτανον A. [4] ἀφέλκοντες R. [5] σωτηρία T. A.

Lege: τῆς σφετέρας ἀρχῆς. *custodes imperii* SUI, *vestræ vero servitutis, constituerunt.* Ita supra, τῶν σφετέρων ἁμαρτημάτων, *peccatorum suorum.* Intelligit vero Lacedæmonios. Vide Orat. XIII. MARKLAND. et *in Edit. min.* TAYLOR. Dedi ad mentem Marklandi σφετέρας pro vulgari ὑμετέρας. opponuntur enim inter se *ipsorum* (XXX tyrannorum) *dominatio et vestra servitus.* REISK.

Ὑμᾶς] Subaudi τοὺς ἐξ ἄστεος. IDEM.

Ἐζητοῦντο] Π. ἐξῃτοῦντο. H. STEPHAN. CONT.

Ἀφελόντες] Melius forsan legeretur ἀφέλκοντες. AUGER.

Τοὺς δ'] Num leg. αὐτοὺς δέ. *vosmet ipsos*

γὰρ ἑνὸς κατηγόρου οὐδὲ δυοῖν ἔργον ἐστὶν, ἀλλὰ πολλῶν. ὅμως δὲ τῆς ἐμῆς προθυμίας [1][οὐδὲν] ἐλλέλειπται ὑπὲρ τῶν
446 ἱερῶν, ἃ οὗτοι τὰ μὲν ἀπέδοντο τὰ δ' εἰσιόντες ἐμίαινον, ὑπέρ τε τῆς πόλεως ἣν μικρὰν ἐποίουν, ὑπέρ τε τῶν νεωρίων ἃ καθεῖλον, καὶ ὑπὲρ τῶν τεθνεώτων οἷς ὑμεῖς, ἐπειδὴ ζῶσιν ἐπαμῦναι οὐκ ἠδύνασθε, ἀποθανοῦσι βοηθήσατε. οἶμαι δ' αὐτοὺς [2]ἡμῶν τε ἀκροᾶσθαι καὶ ὑμᾶς [3]εἴσεσθαι τὴν ψῆφον φέροντας, ἡγουμένους, ὅσοι μὲν ἂν τούτων ἀποψηφίσησθε, αὐτῶν θάνατον καταψηφιεῖσθαι, ὅσοι δ' ἂν παρὰ τούτων δίκην λάβωσιν, ὑπὲρ αὐτῶν τιμωρίας [4]πεποιημένους.

447 Παύσομαι κατηγορῶν. ἀκηκόατε, ἑωράκατε, πεπόνθατε, ἔχετε. δικάζετε.

[1] οὐδὲν om. T. uncos om. R. A. [2] ὑμῶν T. R. [3] εἴσεσθαι τοὺς τὴν T. A. [4] πεποιημένους φανήσεσθαι. παύσομαι A.

autem in patriam reduxistis. Reisk.

Ἐλλέλειπται] Οὐδὲν ἐλλέλειπται. Canter. Nescio quo animo. Taylor. Sensus videtur esse: *Verumtamen, studium meum non defuit pro rebus sacris dicere:* vox enim λέγειν vel εἰπεῖν sententiæ adjicienda est. Idem fere dicit, quod Orat. XIV. ad fin. ἐγὼ μὲν οὖν ὡς ἐδυνάμην ἄριστα κατηγόρηκα. *ego quidem, quam optime potui, accusatoris officio functus sum.* Scribi forsan potest: ὅμως δὲ, τὸ τῆς ἐμῆς προθυμίας οὐ λέλειπται· Attice idem, quod ἡ ἐμὴ προθυμία: ut τὸ τῆς αἰτίας, pro ἡ αἰτία, apud Lucianum Tyrannicid. p. 700. ubi vulgo male legitur τὸ τῆς ἀδείας. Sic τὰ τῆς μανίας, et τὰ τῆς ὀργῆς, Idem p. 708. et τὰ τῆς ὀργῆς ὑμῶν, pro ἡ ὀργὴ, Thucydides lib. II. segm. 60. τὰ τῶν πόλεων, et τὸ τῆς τύχης, pro αἱ πόλεις, et ἡ τύχη, apud Eundem. Legi quoque potest: ὥστε τῆς ἐμῆς προθυμίας ἐλλέλειπται· *adeo ut voluntas mea non sufficiat dicere pro rebus sacris* etc. Markland. Inter προθυμίας et ἐλλέλειπται interposui οὐδέν. *ego studium contentionemque meam haud passus sum desiderari.* Reisk.

Τὰ μὲν ἀπέδοντο] Interpres videtur legisse ἀπεδύοντο. vertit enim *spoliarunt.* Sed nihil muta. intelligit enim Orator *vasa, donaria,* et cæteras *res sacras* in Templis repositas, quas Illi *vendiderunt* surreptas. τὰ ἱερὰ κλέπτειν vocat hoc Xenophon Hellen. I. in oratione Euryptolemi: et ἐξ ἱερῶν κλέπτειν, Orat. de Agesil. p. 672. Markland. Venduntur templa multis referta pretiosisque donariis et vasis argenteis aureisque, ei, cui potestatem facimus ea templa spoliandi. Reisk.

Ἀκροᾶσθαι] Forte, ἀκροάσεσθαι, *audituros:* ut εἴσεσθαι. Nisi εἴσεσθαι sumendum sit in significatione Temporis Præsentis. Markland.

Ὅσοι δ' ἂν] Pro ἂν malim h. l. αὖ. Reisk.

Τιμωρίας πεποιημένους] Videtur φανήσεσθαι interponendum. Idem.

Παύσομεν] (Sic Ald.) Παύομαι. Cont.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΑΓΟΡΑΤΟΥ

ΕΝΔΕΙΞΕΩΣ.

ΥΠΟΘΕΣΙΣ.

Agoratus, homo nequam, sub trigintavirali dominatione multa nefaria commisit, eorum tyrannidis satelles atque administer. Dionysodorum maxime, actoris affinem, aliosque de rep. bene meritos cives delatione sua interfecit. Postulatur cædis, rep. redintegrata. Causa est Ἐνδείξεως, quam inter alios optime explicat Pollux VIII. 6.

Pag. ed. H.Steph. — Pag. ed. Reisk.

129.38 α΄. ΠΡΟΣΗΚΕΙ μὲν, ὦ ἄνδρες δικασταὶ, πᾶσιν ὑμῖν τι- 447
μωρεῖν ὑπὲρ τῶν ἀνδρῶν οἳ ἀπέθανον εὖνοι ὄντες τῷ πλήθει
τῷ ὑμετέρῳ· προσήκει δὲ κἀμοὶ οὐχ ἥκιστα· κηδεστὴς γάρ
μοι ἦν Διονυσόδωρος καὶ ἀνεψιός. τυγχάνει οὖν μοι ἡ αὐτὴ
ἔχθρα πρὸς Ἀγόρατον τουτονὶ καὶ τῷ πλήθει τῷ ὑμετέρῳ
ὑπάρχουσα· ἔπραξε γὰρ οὗτος τοιαῦτα, δι᾽ ἃ ὑπ᾽ ἐμοῦ νυνὶ
130.1 εἰκότως μισεῖται, ὑπό τε ὑμῶν, ἂν θεὸς θέλῃ, δικαίως [1] τι- 448
μωρηθήσεται. Διονυσόδωρον γὰρ τὸν κηδεστὴν τὸν ἐμὸν καὶ ἑτέρους πολλοὺς, ὧν δὴ τὰ ὀνόματα ἀκούσεσθε, ἄνδρας ὄντας ἀγαθοὺς περὶ τὸ πλῆθος τὸ ὑμέτερον, ἐπὶ τῶν Τριάκοντα ἀπέκτεινε, μηνυτὴς κατ᾽ ἐκείνων γενόμενος. ποιήσας δὲ ταῦτα ἐμὲ μὲν ἰδίᾳ καὶ ἕκαστον τῶν προσηκόντων μεγάλα ἐζημίωσε· τὴν δὲ πόλιν κοινῇ πᾶσαν τοιούτων ἀνδρῶν ἀποστερήσας οὐ μικρὰ, ὡς ἐγὼ νομίζω, ἔβλαψεν. ἐγὼ οὖν, ὦ ἄνδρες δικασταὶ, δίκαιον καὶ ὅσιον ἡγοῦμαι εἶναι καὶ ἐμοὶ

[1] τιμωρήσεται T.

ΑΓΟΡΑΤΟΥ] Nomen est servile, significans τὸν ἠγορασμένον ἐκ τῆς ἀγορᾶς, *in foro emptum, de catasta.* Reisk.

Ἀπέκτανε] (Sic vulg.) Ejeci, quoniam est semibarbarum. Th. Magister: Ἀπέκτονα κάλλιον ἢ ἀπέκτεινα· ἀπέκτανον δὲ ἀδόκιμον πάντη. Deinde autem ἀπέκτεινε prætuli, eodem licet refragante Magistro, cujus vadimonio nuper fruebar, tum quia est ipsissima lectio Cod. Coisl. tum quia est verbum Lysiæ familiare, idque sæpe in hac oratione. Ἐκεῖνοι μὲν οὖν δικαστήριον παρασκευάσαντες — ἀπέκτειναν ἐν τῇ προφάσει ταύτῃ. Deinde: Οὓς σὺ Ἀγόρατε — ἀπέκτεινας. Et paucis interjectis: οὔτ᾽ ἂν ἑκὼν οὔτε ἄκων τοσούτους Ἀθηναίους ἀπέκτεινας. Et alibi sæpissime. Taylor.

καὶ ὑμῖν ἅπασι τιμωρεῖσθαι καθ᾽ ὅσον ἕκαστος δύναται·
καὶ ποιοῦσι ταῦτα νομίζω ἡμῖν καὶ παρὰ θεῶν καὶ παρ᾽
ἀνθρώπων ἄμεινον ἂν γίγνεσθαι. δεῖ δ᾽ ὑμᾶς, ὦ ἄνδρες
449 Ἀθηναῖοι, ἐξ ἀρχῆς τῶν πραγμάτων ἁπάντων ἀκοῦσαι,
ἵν᾽ εἰδῆτε πρῶτον μὲν ᾧ τρόπῳ ὑμῖν ἡ δημοκρατία κατελύθη
καὶ ὑφ᾽ ὅτου, ἔπειτα ᾧ τρόπῳ οἱ ἄνδρες ὑπ᾽ Ἀγοράτου
ἀπέθανον, καὶ [1] δὴ ὅ τι ἀποθνήσκειν μέλλοντες ἐπέσκηψαν·
ἅπαντα γὰρ ταῦτα ἀκριβῶς ἂν μαθόντες ἥδιον καὶ ὁσιώ-
τερον Ἀγοράτου τουτουὶ καταψηφίζοισθε. ὅθεν οὖν ἡμεῖς
τε ῥᾷστα διδάξομεν καὶ ὑμεῖς μαθήσεσθε, ἐντεῦθεν ὑμῖν
ἄρξομαι διηγεῖσθαι.

β΄. Ἐπειδὴ γὰρ αἱ νῆες αἱ ὑμέτεραι διεφθάρησαν καὶ
450 τὰ πράγματα ἐν τῇ πόλει ἀσθενέστερα [2] ἐγεγένητο, οὐ
πολλῷ χρόνῳ ὕστερον αἵ τε νῆες αἱ Λακεδαιμονίων ἐπὶ τὸν
Πειραιᾶ ἀφικνοῦνται, καὶ ἅμα λόγοι πρὸς Λακεδαιμονίους
περὶ τῆς εἰρήνης [3] ἐγίγνοντο. ἐν δὲ τῷ χρόνῳ τούτῳ οἱ βου-
λόμενοι νεώτερα πράγματα ἐν τῇ πόλει γίγνεσθαι ἐπεβού-
λευον, νομίζοντες κάλλιστον καιρὸν εἰληφέναι καὶ [4] μάλιστα
ἐν τῷ τότε χρόνῳ τὰ πράγματα, ὡς αὐτοὶ ἠβούλοντο,
[5] καταστήσασθαι. ἡγοῦντο δὲ οὐδὲν ἄλλο σφίσιν ἐμποδὼν
εἶναι ἢ τοὺς τοῦ δήμου προεστηκότας καὶ τοὺς στρατηγοῦν-
τας καὶ ταξιαρχοῦντας. τούτους οὖν ἐβούλοντο ἀμωσγέπως

[1] διότι in Edit. 4. δὴ ὅ,τι in Edit. 8. T. [2] ἐγεγένηντο T. R. A.
[3] ἐγίνοντο T. A. [4] μάλιστα ἂν ἐν A. [5] καταστήσεσθαι in Edit. 8. T.

Νομίζω — ἂν γίγνεσθαι] Pro γενήσεσθαι. Sic Orat. VII. ἂν ζημιοῦσθαι pro ζημιωθήσεσθαι, Orat. XXVII. ἂν λαμβάνειν pro λήψεσθαι. Et ita ubique, et apud omnes. Diog. Laertius lib. IV. in Bione, facete, ut exscribere sit operæ pretium: ἔλεγε τοὺς (f. τὰς) ἐν ᾅδου μᾶλλον ἂν κολάζεσθαι, εἰ ὁλοκλήροις καὶ μὴ τετριμμένοις (f. τετρημένοις) ἀγγείοις ὑδροφόρουν· pro κολασθήσεσθαι. *dicebat* Bion, *Danaïdas apud Inferos majores cruciatus subituras, si integris potius quam perforatis vasis aquam ferrent.* Paullo ante lege, ὦ ἄνδρες δικασταί. vulgo deest Interjectio. MARKLAND. ἂν γίγνεσθαι idem valet ac γενήσεσθαι. AUGER.

Καὶ διότι, κ. τ. λ.] Legerem: καὶ δὴ ὅτι ἀποθνήσκειν μέλλοντες ἐπέσκηψαν. Ald. habuit ἐπέσκεψαν. Quod mendum omnes fere ante me sustulere. TAYLOR. Lego· καὶ δὴ ὅ,τι ἀποθνήσκειν μέλλοντες ἐπέσκηψαν. *et præterea quid jam morituri mandarunt:* nempe, puniri Agoratum; ut ex multis infra locis patet. sic εἴ τι ἐπισκήπτοι, *num quid mandare vellet*, ap. Diog. Laert. Theophrasto. Mox, pro καταστήσασθαι legendum videtur καταστήσεσθαι. MARKLAND.

Ἐπειδὴ γὰρ κ. τ. λ.] In pugna scilicet ad Ægospotamos, ubi universa fere classe amissa Athenienses a Lysandro victi sunt, et res eorum omnino depressæ. PALMER.

Ἐγεγένηντο] Ἐγεγένητο. CONT.

Νομίζοντες —] Νομίζοντες κάλλιστον καιρὸν εἰληφέναι ἐν τῷ τότε χρόνῳ· καὶ μάλιστα τὰ πράγματα, ὡς etc. WAKEFIELD.

Μάλιστα] Post μάλιστα videtur ἐπιτήδειον deesse, quo admisso καταστήσασθαι (in aoristo) poterit probari et servari. REISK.

Ἄλλως γέ πως] (Sic vulg.) Videtur legendum ἀμωσγέπως. Hesych. ἀμωσγέ-

ἐκποδὼν ποιήσασθαι, ἵνα ῥᾳδίως ἃ βούλοιντο διαπράττοιν- 451
το. πρῶτον μὲν οὖν Κλεοφῶντι ἐπέθεντο ἐκ τρόπου τοιούτου. ὅτε γὰρ ἡ πρώτη ἐκκλησία περὶ τῆς εἰρήνης ἐγίγνετο, καὶ οἱ παρὰ Λακεδαιμονίων ἥκοντες ἔλεγον ἐφ᾽ οἷς ἕτοιμοι εἶεν τὴν εἰρήνην ποιεῖσθαι Λακεδαιμόνιοι, εἰ κατασκαφείη τῶν τειχῶν τῶν μακρῶν ἐπὶ δέκα στάδια ἑκατέρου, τότε ὑμεῖς τε, ὦ ἄνδρες Ἀθηναῖοι, οὐκ ἠνέσχεσθε ἀκούσαντες περὶ τῶν τειχῶν τῆς κατασκαφῆς, Κλεοφῶν τε ὑπὲρ ὑμῶν πάντων ἀναστὰς ἀντεῖπεν ὡς οὐδενὶ τρόπῳ οἷόν τε εἴη ποιεῖν ταῦτα.

γ΄. Μετὰ δὲ ταῦτα Θηραμένης, ἐπιβουλεύων τῷ πλήθει τῷ ὑμετέρῳ, ἀναστὰς λέγει ὅτι, ἐὰν αὐτὸν ἕλησθε περὶ τῆς εἰρήνης πρεσβευτὴν αὐτοκράτορα, [1] ποιήσει ὥστε μήτε τῶν τειχῶν διελεῖν μήτε ἄλλο τὴν πόλιν ἐλαττῶσαι μηδέν· οἴοιτο δὲ καὶ ἄλλο τι ἀγαθὸν παρὰ Λακεδαιμονίων τῇ πόλει εὑρήσεσθαι. πεισθέντες δὲ ὑμεῖς εἵλεσθε ἐκεῖνον πρεσβευτὴν αὐτοκράτορα, ὃν τῷ προτέρῳ ἔτει στρατηγὸν χειροτονηθέντα ἀπεδοκιμάσατε, οὐ νομίζοντες εὔνουν εἶναι τῷ πλήθει τῷ ὑμετέρῳ. ἐκεῖνος μὲν οὖν ἐλθὼν εἰς Λακεδαίμονα
[2] ἔμεινεν ἐκεῖ πολὺν χρόνον, καταλιπὼν ὑμᾶς πολιορκουμέ- 452
νους, εἰδὼς τὸ ὑμέτερον πλῆθος ἐν ἀπορίᾳ ἐχόμενον καὶ διὰ τὸν πόλεμον [3] [καὶ [4] τὰ κακὰ] τοὺς [5] πολλοὺς τῶν ἐπιτη-

[1] ποιήσειν T. [2] ἔμενεν T. R. A. [3] uncos om. T. R. A. [4] τὰ τούτου κακὰ A. [5] πολίτας in Edit. 8. T.

πως, ὁπωσδήποτε, καὶ ἐκ παντὸς τρόπου. Etym. M. Ἀμωσγέπως, ὁπωσδήποτε, καθ᾽ ὁντιναοῦν τρόπον. ἔνιοι τὸ μετρίως. Πλάτων τὸ ἐκ παντὸς τρόπου, ἑνί γέ τινι. ἔστι δὲ ῥητορικὴ ἡ λέξις. Atque hinc quoque emendandus Harpocratio. Ἀμωσγέπως, ἀντὶ τοῦ ἑνί γέ τινι τρόπῳ. Λυσίας ἐν τῷ κατ᾽ Ἀριστταγόρου ἐνδείξεως, εἰ γνήσιος. Ubi reponendum, si forte ad hunc locum respexit, Ἀγοράτου. V. Meurs. Biblioth. Attic. TAYLOR. Scribe, ἀμωσγέπως, *quoquo modo*, ὁπωσδήποτε καὶ ἐκ παντὸς τρόπου, ut hanc vocem explicat Hesychius. Luciani Scholiastes p. 40. t. I. ἀμηγέπη· ἀντὶ τοῦ, κατά τινα τρόπον. Vide Harpocrationem, qui Lysiam citat hac voce alibi utentem sensu paullum diverso, pro ἑνί γέ τινι τρόπῳ, *uno aliquo modo*. MARKLAND.

Κλεοφῶντι] Plura de Cleophonte habemus infra in orat. c. Nicomach. TAYLOR.

Ἑκατέρου] Ad ἑκατέρου sub. μέρους, *ex utraque parte*. AUGER.

Ποιήσειν] Π. ποιήσει. ἢ παρέλκει τὸ ὅτι μετὰ τὸ λέγει. H. STEPHAN.

Διελεῖν] Subaudi primum δεῖν, quod solet in talibus infinitivis omitti, deinde μηδὲν, quod in proximo situm est ambobus infinitivis, διελεῖν et ἐλαττῶσαι, commune. Sitne denique ante μηδὲν etiam μηδένα addendum, id in medio relinquam. REISK. Subaudi δεῖν et μηδέν. AUGER.

Εἰδὼς] Ὠδὼς Ald. Unde ὧδ᾽ ὡς, Scalig. TAYLOR. εἰδώς. CONT.

Ἐν ἀπορίᾳ ἐχόμενον] Alii dicere solent ἀπορίᾳ συνεχόμ. aut κατεχόμ. Nescio tamen, an istæc locutio Lysiæ, ut ipsi propria, relinquenda sit. REISK.

Τὰ κατὰ] Videtur τούτου interponendum. *ejusque*, belli puta, *mala*. IDEM.

Τοὺς πολλοὺς] Ferri forte potest, ut intelligatur *vulgus*, major pars. Forte tamen τοὺς πολίτας. MARKLAND. et *in Edit. min.* TAYLOR.

δείων ἐνδεεῖς ὄντας, νομίζων, εἰ διαθείη ὑμᾶς ἀπόρως, ὥσπερ διέθηκεν, ἀσμένως ὁποιαντινοῦν ἐθελῆσαι ἂν εἰρήνην ποιήσασθαι. οἱ δ' ἐνθάδε ὑπομένοντες καὶ ἐπιβουλεύοντες καταλῦσαι τὴν δημοκρατίαν εἰς ἀγῶνα Κλεοφῶντα καθιστᾶσι, πρόφασιν μὲν ὅτι οὐκ ἦλθεν εἰς τὰ ὅπλα [1] ἀναπαυσόμενος, τὸ δ' ἀληθὲς ὅτι ἀντεῖπεν ὑπὲρ ὑμῶν μὴ καθαιρεῖν τὰ τείχη. ἐκείνῳ μὲν οὖν δικαστήριον παρασκευάσαντες καὶ εἰσελθόντες οἱ βουλόμενοι ὀλιγαρχίαν καταστήσασθαι ἀπέκτειναν ἐν τῇ προφάσει ταύτῃ.

453 δ'. Θηραμένης δὲ ὕστερον ἀφικνεῖται ἐκ Λακεδαίμονος. προσιόντες δ' αὐτῷ τῶν τε [2] στρατηγῶν τινὲς καὶ τῶν [3] ταξιάρχων, ὧν ἦν Στρομβιχίδης καὶ Διονυσόδωρος, καὶ ἄλλοι 131. 1
τινὲς τῶν πολιτῶν εὐνοοῦντες ὑμῖν, ὥς γ' ἐδήλωσαν ὕστερον, ἠγανάκτουν σφόδρα. ἦλθε γὰρ φέρων εἰρήνην τοιαύτην, ἣν ἡμεῖς ἔργῳ μαθόντες ἔγνωμεν· πολλοὺς γὰρ τῶν πολιτῶν καὶ ἀγαθοὺς ἀπωλέσαμεν, καὶ αὐτοὶ ὑπὸ τῶν Τριάκοντα ἐξηλάθημεν. ἦν γὰρ, ἀντὶ μὲν τοῦ ἐπὶ δέκα στάδια τῶν μακρῶν τειχῶν διελεῖν, ὅλα τὰ μακρὰ τείχη διασκάψαι, ἀντὶ δὲ τοῦ ἄλλο τι ἀγαθὸν τῇ πόλει εὑρέσθαι, τάς τε ναῦς παραδοῦναι τοῖς Λακεδαιμονίοις καὶ τὸ περὶ τὸν Πειραιᾶ
454 τεῖχος περιελεῖν. ὁρῶντες δὲ οὗτοι οἱ ἄνδρες [4] τῷ μὲν ὀνόματι εἰρήνην λεγομένην, τῷ δ' ἔργῳ τὴν δημοκρατίαν καταλυομένην, οὐκ [5] ἔφασαν ἐπιτρέψαι ταῦτα γενέσθαι, οὐκ ἐλε-

[1] ἀναπαυσάμενος in Edit. 8. T. [2] στρατιωτῶν in Edit. 4. T.
[3] ταξιαρχῶν T. R. A. [4] ὀνόματι μὲν T. R. [5] ἔφασαν ἂν ἐπιτρέψαι A.

Ἐπιβουλεύοντες καταλῦσαι τὴν δημοκρατίαν] Rarior hæc dictio, sed nullo modo improbanda, idem dicit atque usitatior: ἐπιβουλεύοντες τῇ καταλύσει τῆς δημοκρατίας. quasi dixisset: βουλευόμενοι μετ' ἐπιβουλῆς καὶ κακοτεχνίας καταλῦσαι τὴν δημοκρατίαν. Reisk.

Ἀναπαυσόμενος] Vel ἀναπαυσάμενος. Markland. Bene videtur vulgata habere. quo respiraret aliquantisper, in urbe, domi suæ manens, atque requiesceret a laboribus militiæ. Reisk.

Ἐν τῇ προφάσει] Alii aut plane omittunt in ejusmodi loco præpositionem, aut ἐπὶ pro ἐν usurpant. Neque tamen ideo damnare ausim ἐν, bene gnarus, ut cuique alii auctori, ita Lysiæ quoque suum esse proprium loquendi morem, eumque ipsi relinquendum. Idem.

Στρατιωτῶν] Potius στρατηγῶν, et communiter per totam hanc orationem, κατὰ τῶν στρατηγῶν καὶ τῶν ταξιαρχῶν. Modo τοὺς στρατηγοῦντας καὶ ταξιαρχοῦντας. Taylor. Lege, στρατηγῶν: ut mox hæ voces conjunguntur: μηνυτὴν κατὰ τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων γενέσθαι. iterum infra: ἔπειτα τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων. et statim: περὶ τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων. et ita rursum inferius: in quibus omnibus locis de iisdem viris sermo fit. Markland.

Ἔγνωμεν] Deesse suspicor post ἔγνωμεν. Taylor.

Ἐπιτρέψαι] Π. ἐπιτρέψειν. H. Stephan. Locum consimilem, qui infra occurrit, idem neglexit. Si tamen hoc sit negligenter agere. Ταῦτα ἐκεῖνοι — αἰσθόμενοι οὐκ ἔφασαν ἐπιτρέψαι τὴν εἰρήνην ποιήσασθαι.

οῦντες, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ τείχη, εἰ πεσεῖται, οὐδὲ κη-
δόμενοι τῶν νηῶν, εἰ Λακεδαιμονίοις παραδοθήσονται —
οὐδὲν γὰρ αὐτοῖς τούτων πλεῖον ἢ ὑμῶν ἑκάστῳ προσῆκεν—,
ἀλλ' αἰσθόμενοι ἐκ τοῦ τρόπου τούτου τὸ ὑμέτερον πλῆθος
καταλυθησόμενον, οὐδ' — ὥς φασί τινες — οὐκ ἐπιθυμοῦν-
τες εἰρήνην γίγνεσθαι, ἀλλὰ βουλόμενοι βελτίω ταύτης
[1] εἰρήνην τῷ δήμῳ τῶν Ἀθηναίων ποιήσασθαι. ἐνόμιζον δὲ 455
δυνήσεσθαι. καὶ ἔπραξαν ἂν ταῦτα, εἰ μὴ ὑπ' Ἀγοράτου
τουτουῒ ἀπώλοντο. γνοὺς δὲ ταῦτα Θηραμένης καὶ οἱ ἄλλοι
οἱ ἐπιβουλεύοντες ὑμῖν, ὅτι εἰσί τινες οἳ κωλύσουσι τὸν δῆ-
μον καταλυθῆναι καὶ ἐναντιώσονται περὶ τῆς ἐλευθερίας,
εἵλοντο, πρὶν τὴν ἐκκλησίαν τὴν περὶ τῆς εἰρήνης γενέσθαι,
[2] τούτους πρῶτον εἰς διαβολὰς καὶ κινδύνους καταστῆσαι,
ἵνα μηδεὶς [3] ἐκεῖ ὑπὲρ τοῦ ὑμετέρου πλήθους [4] ἀντιλέγοι.

έ. Ἐπιβουλὴν οὖν τοιαύτην ἐπιβουλεύουσι. πείθουσι γὰρ
Ἀγόρατον τουτονὶ μηνυτὴν κατὰ τῶν στρατηγῶν καὶ τῶν
[5] ταξιάρχων γενέσθαι, οὐ ξυνειδότα ἐκείνοις, ὦ ἄνδρες
Ἀθηναῖοι, οὐδὲν — οὐ γὰρ δήπου ἐκεῖνοι οὕτως ἀνόητοι ἦσαν
καὶ ἄφιλοι, ὥστε περὶ τηλικούτων ἂν πραγμάτων [6] πράτ-
τοντες Ἀγόρατον ὡς πιστὸν καὶ εὔνουν, δοῦλον καὶ ἐκ δού- 456
λων ὄντα, παρεκάλεσαν —, ἀλλ' ἐδόκει αὐτοῖς οὗτος ἐπι-
τήδειος εἶναι μηνυτής. ἐβούλοντο οὖν ἄκοντα δοκεῖν αὐτὸν

[1] εἰρήνης T. [2] τοῦτον T. [3] ἐκείνων T. [4] ἀντιλέγῃ T. R. A.
[5] ταξιαρχῶν T. R. [6] [πράττοντες] R.

TAYLOR. Miror eum præteriisse alterum locum infra, ubi eadem fere verba et de eadem re, οὐκ ἔφασαν ἐπιτρέψαι τὴν εἰρήνην ποιήσασθαι. et mutandum esse aliquid in ambobus his locis non dubito (non enim credo ἐπιτρέψαι, per se positum, idem valere, quod ἐπιτρέψειν): sed mallem repetitam esse syllabam præcedentem, οὐκ ἔφασαν ἂν ἐπιτρέψαι: hoc enim usitatissimum est. ita supra, ἐθελῆσαι ἂν pro ἐθελήσειν, et infra, ἂν ποιῆσαι pro ποιήσειν: et alibi centies, tum apud Nostrum, tum omnes alios. Scio istud Orat. XXV. τὴν πολιτείαν παραμεῖναι, pro παραμενεῖν. Sed et ibi pariter excidisse ἂν opinor. Scio quoque istud Thucydidis, V. 22. οὐκ ἔφασαν δέξασθαι. sed scribendum puto δέξεσθαι, vel ἂν δέξασθαι. MARKLAND.

Εἰρήνης] Εἰρήνην. CONT.

Ποιήσασθαι] Vel accipe sensu passivo, *fieri*; vel subaudi Λακεδαιμονίους. AUGER.

Ἐναντιώσονται περὶ τῆς ἐλευθερίας] Forte, ὑπέρ. Sed utrovis modo videtur recte dici posse hoc loco. MARKLAND.

Τοῦτον — ἐκείνων] Locus idcirco flagitat τούτους. Sed istud ἐκείνων est sublestæ fidei. Codd. enim Steph. et Coisl. exhibent potiorem lectionem: ἵνα μηδεὶς ἐκεῖ. TAYLOR. Lege, τούτους. patet ex connexu Orationis. MARKLAND.

Ἐκεῖ] *Ibi*, in concione puta. sic dedi, pro vulgari ἐκείνων. REISK.

Οὐ γὰρ δήπου] Hunc locum laudat Priscian. l. 18. minima cum varietate lectionis. TAYLOR.

Πράττοντες] Ut supervacaneum et perperam e proximo πραγμάτων iteratum, uncis inclusi. Sin tamen existimetur in eo non nihil exquisitius latere, suspicer latere προκρίναντες. REISK. Non male utrumque, sed potest servari πράττοντες. AUGER.

καὶ μὴ ἑκόντα μηνύειν, ὅπως [1] πιστότερα ὑμῖν ὑποφαίνοιτο.
ὡς δὲ ἑκὼν ἐμήνυσε, καὶ ὑμᾶς οἶμαι ἐκ τῶν πεπραγμένων
αἰσθήσεσθαι. ἐκπέμπουσι γὰρ εἰς τὴν βουλὴν τὴν πρὸ τῶν
Τριάκοντα βουλεύουσαν Θεόκριτον τὸν τοῦ Ἐλαφοστίκτου
καλούμενον· ὁ δὲ Θεόκριτος οὗτος ἑταῖρος ἦν τῷ Ἀγοράτῳ
καὶ ἐπιτήδειος. ἡ δὲ βουλὴ [2] ἡ πρὸ τῶν Τριάκοντα βουλεύ-
457 ουσα διέφθαρτο καὶ ὀλιγαρχίας ἐπεθύμει, ὡς ἴστε, μάλι-
στα. τεκμήριον δέ· οἱ γὰρ πολλοὶ ἐξ ἐκείνης τῆς βουλῆς
τὴν [3] ὑστέραν βουλὴν [4] [τὴν] ἐπὶ τῶν Τριάκοντα ἐβούλευον.
τοῦ δ' ἕνεκα ταῦτα λέγω ὑμῖν; ἵν' εἰδῆτε ὅτι τὰ ψηφί-
458 σματα [5] [τὰ] ἐξ ἐκείνης τῆς βουλῆς οὐκέτι εὐνοίᾳ τῇ ὑμε-
τέρᾳ ἀλλ' ἐπὶ καταλύσει τοῦ δήμου τοῦ ὑμετέρου ἅπαντα
ἐλέγετο, καὶ ὡς [6] τοιούτοις οὖσιν αὐτοῖς τὸν νοῦν [7] μὴ [8] προσ-

[1] πιστότερος A. [2] ἡ om. T. [3] ὑμετέραν T.
[4] τὴν om. T. uncos om. R. A. [5] [τὰ] om. T. R. A.
[6] τοιούτοις οὐκ οὖσιν T. [7] μὴ om. T. A. * ἧσσον R. [8] προσείχετε T. A.

Ὅπως πιστότερα ὑμῖν ὑποφαίνοιτο] Puto legendum πιστότερος, *fide dignior*: scil. Agoratus. Pro, πρὸς τῶν τριάκοντα, Stephanus notat in MS. esse, πρὸ τῶν τριάκοντα: quod verissimum puto: et patet ex sequentibus. Markland. Vel potius post ὑμῖν deest τὰ μηνυθέντα. Reisk.

Ἐκπέμπουσι γὰρ εἰς τὴν βουλὴν — ὡς ἴστε, μάλιστα] Magnopere demiror fastidiosam illam repetitionem in scriptore brevitatis interdum extra modum studioso a nemine fuisse animadversam. Alterutra senatus descriptio prorsus vacat et sine ullo perspicuitatis damno abesse potest magno cum elegantiæ lucro, quæ repetitiones ejusmodi inanes respuit; altera autem senatus descriptio necessaria erat ad oppositionem τῆς βουλῆς τῆς ἐπὶ τῶν τριάκοντα v. 9. Sluiter.

Πρὸς] (Sic vulg.) Lege πρό. Postrema sc. βουλὴ, quæ habita erat ante trigintavirorum dominatum. Et hæc lectio confirmatur a Codd. Steph. et Coisl. Taylor. πρό. Cont.

Καλούμενον] Patre incerto et quasi *vulgo quæsito*. Ita Æsch. c. Timarch. Τίς τῶν πολιτῶν οὐκ ἐδυσχέραινε Κηφισόδωρον τὸν τοῦ Μόλωνος καλούμενον — ἢ Μνησίθεον τὸν τοῦ μαγείρου καλούμενον; Taylor.

Ἴστε, μάλιστα] Velim πάντες interponi. *omnes propemodum*. nam alias haud apparet; quæ vis sit illi μάλιστα h. l. Reisk.

Ὑμετέραν] Est vox nihili. Lego ὑστέραν vel ὑστεραίαν βουλήν. Demosth. π. παραπρεσβ. Ὁ δὲ ταῦτ' εἰπὼν τῇ προτεραίᾳ (sc. βουλῇ) πάντων ἀκουόντων ὑμῶν εἰς τὴν ὑστεραίαν, ἐν ᾗ τὴν εἰρήνην ἔδει κυροῦσθαι κ. τ. λ. *Alio senatu* dixit Plin. V. ep. 4. Τῇ ὑστέρῃ Ὀλυμπιάδι Herodot. Erat. 103. i. e. *proxima Olympiade*. Videbit lector duos locos, Codd. ope alterum, alterum solertia emendatos sibique invicem lucem affundentes. ἡ βουλὴ ἡ πρὸ τῶν τριάκοντα. et deinde: οἱ πολλοὶ ἐξ ἐκείνης τῆς βουλῆς τὴν ὑστεραίαν βουλὴν ἐπὶ τῶν τριάκοντα ἐβούλευον. Taylor. Ex sensu facile restituitur hic locus, τῇ ὑστέρᾳ βουλῇ τῇ ἐπὶ etc. Distinguit inter concilium prius, quod erat *ante* XXX Viros, et *posterius* istud, quod eorum tempore ἐβούλευεν. Infra: εἰς τὴν βουλὴν τὴν ἐπὶ τῶν τριάκοντα. et rursus: ἡ βουλὴ ἡ ἐπὶ τῶν τριάκοντα βουλεύουσα. Markland.

Τὰ ψηφίσματα — ἐλέγετο] Forte ἐγένετο. Infra: ἐπειδὰν δὲ τοῦτο τὸ ψήφισμα ἐγένετο. Xenophon. Cyropæd. II. ἕνεκα τῶν ὁμοτίμων γενέσθαι τοῦτο τὸ ψήφισμα. Demosthenes contra Everg. τούτου τοίνυν τοῦ ψηφίσματος γεγενημένου. Apud eundem tamen occurrit τὸ ψήφισμα εἴρηται, Orat. contra Aristocr., et alibi ψήφισμα εἶπεν, contra Timocratem. Markland. F. ἐγένετο. *In Edit. min.* Taylor. Videtur ἐλέγετο servari posse. Psephismati cuique præscribebat auctor cum nomine suo εἶπε. ut e. c. Κτησιφῶν — εἶπε. Reisk.

Καὶ ὡς τοιούτοις οὐκ οὖσιν αὐτοῖς τὸν νοῦν προσείχετε] Vel delendum videtur οὐκ, vel pro οὐκ οὖσιν scribendum ἀκούουσιν, posita ὑποστιγμῇ post ἐγένετο. Forte etiam scripsit Lysias προσέχητε. Markland. οὐκ junge cum προσείχετε. Accipe τοιούτοις οὖσιν αὐτοῖς in neutro genere. Auger.

ἔχητε. εἰσελθὼν δὲ εἰς ταύτην τὴν βουλὴν ἐν ἀπορρήτῳ
Θεόκριτος μηνύει ὅτι συλλέγονταί τινες ἐναντιωσόμενοι τοῖς
τότε καθισταμένοις πράγμασι. τὰ μὲν οὖν ὀνόματα οὐκ
ἔφη αὐτῶν ἐρεῖν καθ᾽ ἕκαστον· ὅρκους τε γὰρ ὀμωμοκέναι
τοὺς αὐτοὺς ἐκείνοις, καὶ εἶναι ἑτέρους οἳ ἐροῦσι τὰ ὀνόματα,
αὐτὸς δὲ οὐκ ἄν ποτε ποιῆσαι [1] ταῦτα. καίτοι εἰ μὴ ἐκ
παρασκευῆς ἐμηνύετο, πῶς οὐκ ἂν ἠνάγκασεν ἡ βουλὴ εἰ-
πεῖν τὰ ὀνόματα Θεόκριτον καὶ μὴ ἀνώνυμον τὴν μήνυσιν
[2] ποιήσασθαι; νυνὶ [3] δὲ τοῦτο τὸ ψήφισμα [4] ἐψηφίσατο. 459

[5] ΨΗΦΙΣΜΑ.

ϛʹ. Ἐπειδὴ τοίνυν τοῦτο τὸ ψήφισμα ἐψηφίσθη, κατέρ-
χονται ἐπὶ τὸν Ἀγόρατον εἰς τὸν Πειραιᾶ οἱ διαιρεθέντες
τῶν βουλευτῶν, καὶ περιτυχόντες αὐτῷ ἐν ἀγορᾷ ἐζήτουν
ἄγειν. [6] παραγενόμενος δὲ Νικίας καὶ Νικομένης καὶ ἄλλοι
τινές, ὁρῶντες τὰ πράγματα οὐχ οἷα βέλτιστα ἐν τῇ πόλει
132. 1 ὄντα, ἄγειν μὲν τὸν Ἀγόρατον οὐκ ἔφασαν [7] προήσεσθαι,
ἀφῃροῦντο δὲ καὶ ἠγγυῶντο καὶ ὡμολόγουν παρέξειν εἰς τὴν
βουλήν. γραψάμενοι δὲ οἱ βουλευταὶ τὰ ὀνόματα τῶν ἐγ- 460
γυωμένων καὶ κωλυόντων, ἀπιόντες ᾤχοντο εἰς [8] τὸ ἄστυ.
ὁ δὲ Ἀγόρατος καὶ οἱ ἐγγυηταὶ καθίζουσιν ἐπὶ τὸν βωμὸν

[1] τοῦτο A. [2] post ποιήσασθαι asterisci, lacunæ notæ, habent T. R. [3] δὲ om. T. R. [4] ψηφίσεσθαι T. R. [5] ΨΗΦΙΣΜΑ om. T. R. [6] παραγινόμενος T. [7] προσήσεσθαι T. [8] τὸ om. T. R. A.

Ταύτην τὴν βουλὴν] Intellige de senatu ante trigintaviros constituto. Idem.

Καθισταμένοις] Velim legi κατασταθησομένοις. Idem.

Ποιῆσαι ταῦτα] Melius τοῦτο. Mox, post ψηφίσεσθαι videtur excidisse vox ΨΗΦΙΣΜΑ, ut bis alibi in hac Oratione. Markland.

Ἐμηνύετο] Malim in activo ἐμήνυε. Reisk.

Ποιήσασθαι] Λείπει πολύ. Ald. In Cod. tamen Coisl. continenter hæc sunt scripta, quasi nulla intercesserit lacuna. Deinde habet Cod. Steph. νυνὶ δε τοῦτο τὸ ψήφισμα ψηφίσετε. Atque ita Coisl. nisi quod non legatur δὲ post νυνί. Taylor. Nihil deesse suadet consensus codicum Coisl. et Bessar. in quibus illa continue exarata sunt; et forsitan in Vindob. quoque. Deinde leg. est: νυνὶ δὲ τοῦτο τὸ ψήφισμα ἐψηφίσατο. ΨΗΦΙΣΜΑ. Ἐπειδὴ τοίνυν. Ad ἐψηφίσατο subauditur ἡ βουλὴ e continente. Reisk.

Διαιρεθέντες] Malim simplex αἱρεθέντες. nam alterum illud compositum in hac re haud est usitatum. ΔΙ facile potuit ex ΑΙ enasci. Reisk. Intelligo διαιρεθέντες, *seorsim electi*. Auger.

Ἐν ἀγορᾷ] Lego: ἐν τῇ ἀγορᾷ. Reisk. Reiskio assentitur Augerus.

Οἷα] Bene si habet, aut usurpatum est raro modo pro ὡς, aut leg. est: οὐχ οἷα οἱ βέλτιστοι ἐν τῇ πόλει ἐβούλοντο, ὄντα. Reisk. *Non qualia optima*, pro *non optima* simpliciter, modo apud scriptores Græcos usitato. Auger.

Ἄγειν] Idem est atque ὥστε ἄγειν, vel πρὸς τὸ ἄγειν. Reisk.

Προσήσεσθαι] Προήσεσθαι. Cont.

Κωλυόντων, ἀπιόντες] Videtur ἄγειν interponendum. Reisk. Ad κωλυόντων subaudi ἄγειν, quod addi velim. Auger.

Μουνυχιάσιν· ἐπειδὴ δὲ [1] ἐκάθισαν, ἐβουλεύοντο τί χρὴ
ποιεῖν. ἐδόκει οὖν τοῖς ἐγγυηταῖς καὶ τοῖς ἄλλοις ἅπασιν
ἐκποδὼν ποιῆσαι τὸν Ἀγόρατον ὡς τάχιστα. καὶ [2] παρορ-
461 μίσαντες δύο πλοῖα Μουνυχιάσιν ἐδέοντο αὐτοῦ παντὶ τρό-
πῳ ἀπελθεῖν Ἀθήνηθεν, καὶ αὐτοὶ ἔφασαν συνεκπλευσεῖ-
σθαι, ἕως τὰ πράγματα κατασταίη, λέγοντες ὅτι, εἰ κο-
μισθείη εἰς τὴν βουλὴν, βασανιζόμενος ἴσως ἀναγκασθή-
σεται ὀνόματα εἰπεῖν Ἀθηναίων, ὧν ἂν [3] ὑποβάλωσιν οἱ
βουλόμενοι κακόν τι ἐν τῇ πόλει ἐργάζεσθαι. ταῦτα ἐκεί-
νων δεομένων, καὶ παρασκευασάντων πλοῖα, καὶ αὐτῶν
ἑτοίμων ὄντων συνεκπλεῖν, οὐκ ἠθέλησε πείθεσθαι αὐτοῖς
Ἀγόρατος οὑτοσί. καίτοι, ὦ Ἀγόρατε, εἰ μή τί σοι ἦν
παρεσκευασμένον καὶ ἐπίστευες μηδὲν κακὸν πείσεσθαι,
πῶς οὐκ ἂν ᾤχου, καὶ πλοίων παρεσκευασμένων καὶ τῶν
ἐγγυητῶν ἑτοίμων ὄντων σοι συνεκπλεῖν; ἔτι γὰρ οἷόν τέ
σοι [4] ἦν, καὶ οὔπω ἡ βουλή σου ἐκράτει. ἀλλὰ μὲν δὴ οὐχ
462 ὅμοιά γέ σοι καὶ ἐκείνοις ὑπῆρχε. πρῶτον μέν γε Ἀθηναῖοι
ἦσαν, ὥστε οὐκ ἐδεδίεσαν βασανισθῆναι· ἔπειτα πατρίδα
σφετέραν αὐτῶν καταλιπόντες ἕτοιμοι ἦσαν συνεκπλεῖν
μετὰ σοῦ, ἡγησάμενοι ταῦτα μᾶλλον λυσιτελεῖν ἢ τῶν
πολιτῶν πολλοὺς καὶ ἀγαθοὺς ὑπὸ σοῦ ἀδίκως ἀπολέσθαι.

[1] ἐκίνησαν T. R. ἐκεῖ ἦσαν A. [2] παρορμήσαντες T. [3] ὑποβάλλωσιν T. R. A. [3] ἦν om. T. A.

Ἐκίνησαν] Ἐκάθισαν. Schott. Nos autem jubemus Ἐπεὶ δὲ ἐκεῖ ἦσαν. V. nostræ edit. p. 193. Taylor. Propius est ἐκεῖ ἦσαν. Ioan. XII. 9. ὅτι ἐκεῖ ἐστί. Xenophon Hellen. IV. p. 538. ἐπεὶ δὲ ἐκεῖ ἦσαν, ὁ μὲν Ἀνταλκίδας etc. Paulo post: κακόν τι ἐν τῇ πόλει ἐργάζεσθαι. Forte, τὴν πόλιν, ut infra, ἐάν τις ὑμᾶς μεγάλα κακὰ ἐργάσηται. Markland. Non dubitassem ἐκεῖ ἦσαν sufficere, nisi adhuc ambigerem, utrum hoc, an ἐκείνῃ ἦσαν, dedisset Lysias, quod ἐκείνῃ prorsus idem est atque ἐκεῖ. Potest quoque Lysias existimari ἐπειδὴ δὲ κοινῇ ἦσαν dedisse. *ut autem una erant.* In hac incertitudine lectionis visum fuit satius antiquum vitium servare. Reisk.

Παρορμήσαντος] Π. παρορμίσαντες. H. Stephan. Auctor sum recipiendi lectionem Steph. et Coisl. παρορμίσαντες. (Nam παρορμέω est ἀμετάβατον.) Quanquam miror Stephanum, vocem, quam restituit, in suo Thesauro non agnovisse. Taylor.

Καὶ ἐπίστευες] Tacite a communi repete εἰ μή. quasi scriptum esset: καὶ εἰ μὴ ἐπίστευες, *et nisi certus fuisses.* tametsi μὴ iteratum utique mallem. Reisk.

Ἔτι γὰρ οἷόν τε] Ἔτι γὰρ ἦν οἷόν τε. Cont. Quod potest subaudiri. Auger.

Ἀλλὰ μὲν δὴ] Imo vero ἀλλὰ γὰρ δὴ — *at enim vero.* In οὐχ ὅμοια videtur subaudiri τὰ διαφέροντα. *non idem tuaque illorumque intererat.* aut, *non erat tua conditio illorumque pari loco.* h. e. major tibi erat necessitas Athenas relinquendi, quam illis; et poteras ab urbe facilius, quam illi, avelli, animoque æquiore desiderium ejus ferre, quæ tibi patria non esset, illis esset. Interim haud celabo lectores conjecturam, cujus olim in mentem venit, speciosam quidem illam, at ego tamen pro vera et certa venditare haud ausim. ἆθλα δὲ μὰ Δί' οὐχ ὅμοια. Reisk.

σοὶ δὲ πρῶτον μὲν κίνδυνος ἦν βασανισθῆναι ὑπομείναντι,
ἔπειτα οὐ πατρίδα ἂν σαυτοῦ ἀπέλιπες. ὥστ' ἐκ παντὸς
τρόπου σοὶ μᾶλλον ἢ ἐκείνοις ἐκπλεῦσαι συνέφερεν, εἰ μή
τι ἦν ᾧ ἐπίστευες. νῦν δὲ ἄκων μὲν προσποιῇ, ἑκὼν δὲ πολ-
λοὺς καὶ ἀγαθοὺς Ἀθηναίων ἀπέκτεινας. [1] ὡς δὲ παρε-
σκευάσθη ἅπαντα ἃ ἐγὼ λέγω, καὶ μάρτυρές εἰσι, καὶ 463
αὐτὸ τὸ ψήφισμα [2] οὕτω τῆς βουλῆς καταμαρτυρήσει.

[3] ΨΗΦΙΣΜΑ.

ἐπειδὴ τοίνυν τοῦτο τὸ ψήφισμα ἐψηφίσθη καὶ ἦλθον οἱ ἐκ τῆς βουλῆς Μουνυχίαζε, ἑκὼν ἀνέστη Ἀγόρατος ἀπὸ τοῦ βωμοῦ· καίτοι νῦν γε βίᾳ φησὶν ἀφαιρεθῆναι. ἐπειδὴ δὲ εἰς τὴν βουλὴν [4] ἐκομίσθη, ἀπογράφει Ἀγόρατος πρῶτον μὲν τῶν αὐτοῦ ἐγγυητῶν τὰ ὀνόματα, ἔπειτα τῶν στρατηγῶν καὶ τῶν [5] ταξιάρχων, ἔπειτα δὲ καὶ ἄλλων τινῶν πολιτῶν. ἡ δὲ ἀρχὴ αὕτη τοῦ παντὸς κακοῦ ἐγένετο. ὡς δὲ ἀπέγραψε

[1] ὥςτε παρ. T. R. [2] σοῦ τὸ R. A. [3] ΜΑΡΤΥΡΕΣ. ΨΗΦΙΣΜΑ. A. [4] ἐκομίσθησαν T. R. A. [5] ταξιαρχῶν T. R.

Ὑπομείναντι] Aut idem valet h. l. compositum cum simplici μείναντι, aut hoc illi est præferendum. Reisk.

Συνέφερεν] Adde tacita cogitatione, ὃ καὶ ἐποίησας ἄν, *id quod etiam tu facturus eras, nisi* —. Idem.

Ἄκων μὲν προσποιῇ] Bene si habet, subaudiri debet ex insequentibus ἀποκτεῖναι· verum hoc paullo durius est. quare suspicor μένειν vel μεῖναι aut μηνύσαι deesse. Idem. Subaudi ἀποκτεῖναι. Auger.

Ὥςτε κ. τ. λ.] Lego: ὡς δὲ παρεσκευάσθη ἅπαντα, ἃ ἐγὼ λέγω, καὶ μάρτυρές εἰσι, καὶ αὐτὸ τὸ ψήφισμα τοῦτο (vel αὐτοῦ) τῆς βουλῆς καταμαρτυρήσει. ΜΑΡΤΥΡΕΣ. ΨΗΦΙΣΜΑ. Infra [p. 134. v. 16. ed. Steph.] πρῶτον μὲν γὰρ τὰ ψηφίσματα αὐτοῦ τὰ ἐκ τῆς βουλῆς — καταμαρτυρεῖ. Taylor. Totam sententiam ita lego: ὡς δὲ παρεσκευάσθη ἅπαντα, ἃ ἐγὼ λέγω, καὶ μάρτυρές εἰσι, καὶ αὐτὸ τὸ ψήφισμα τοῦτο (non οὕτω) τῆς βουλῆς καταμαρτυρήσει. ΜΑΡΤΥΡΕΣ. ΨΗΦΙΣΜΑ. Ἐπειδὴ etc. Vulgo deest ΜΑΡΤΥΡΕΣ; quam tamen vocem præcedentia videntur postulare æque ac ΨΗΦΙΣΜΑ: et solenne est vocem istam omitti a Librariis, ut alibi notavi. Markland. Probo ὡς δὲ, sed pro ἃ legi malim ᾗ, *qua ratione ego aio*. καὶ μάρτυρές εἰσι, idem est, ac si dixisset τούτου καὶ μάρτυρές εἰσιν οἱ καταμαρτυρήσοντες. Reisk.

Τὸ ψήφισμα σοῦ τὸ τῆς βουλῆς] Sic dedi de meo, pro vulgari τὸ ψήφισμα οὕτω τῆς βουλῆς. Cohæret σοῦ cum καταμαρτυρήσει. *contra te testabitur.* Diversum hoc est psephisma, ab illo, quod p. 391. 9. recitatum fuit, similis tamen argumenti. Reisk. Vulgata tamen, quoquo modo se res habeat, nonnihil defenditur ex Isæo π. τ. Κίρων. κλήρ. p. 74. v. 7. ed. Steph. ὃς μοιχὸς ληφθεὶς, καὶ παθὼν ὅ τι προσήκει τοὺς τὰ τοιαῦτα ποιοῦντας, οὐδ' ὣς ἀπαλλάττεται τοῦ πράγματος, ὡς οἱ συνειδότες καταμαρτυροῦσι.

Εἰς τὴν βουλὴν ἐκομίσθησαν] Repone, ἐκομίσθη: de Agorato enim solo loquitur. infra: ἐξῆν Ἀγοράτῳ τούτῳ, πρὶν εἰς τὴν βουλὴν κομισθῆναι, ὅτε ἐπὶ τοῦ βωμοῦ ἐκάθητο Μουνυχιάσι, σωθῆναι: ita distinguendum. Mox: ἀπόκριναι δή μοι. Ἐβούλοντο τοίνυν etc. post vocem μοι exciderunt Agorati Ἀποκρίσεις ad Accusatoris Quæstiones, post quas pergit Orator ad novam materiam. Markland. et *in Edit. min.* Taylor. Bene habet vulgata, ἐκομίσθησαν, Agoratus puta, et reliqui, qui cum eo in ara Minervæ Munychiæ consederant, Strategi puta et Taxiarchi. Sed cur illi non fuga prævertebant periculum, si sibi male metuebant? Reisk. Sc. Agoratus et ii senatores, qui Munychiam venerant. Auger.

464 τὰ ὀνόματα, οἶμαι μὲν καὶ αὐτὸν ὁμολογήσειν· εἰ δὲ μή, ἐπ' αὐτοφώρῳ ἐγὼ αὐτὸν ἐξελέγξω. ἀπόκριναι δή [1] μοι.

[2] ΕΡΩΤΗΣΙΣ.

ζ'. Ἐβούλοντο τοίνυν, ὦ ἄνδρες δικασταί, ἔτι πλειόνων [3] αὐτὸν τὰ ὀνόματα ἀπογράψαι· οὕτω σφόδρα ἔῤῥωτο ἡ βουλὴ κακόν τι [4] ἐργάζεσθαι αὐτόν, ὥστ' οὐκ ἐδόκει αὐτοῖς ἅπαντα τἀληθῆ πω κατηγορηκέναι. τούτους μὲν οὖν ἅπαντας ἑκὼν ἀπογράφει, οὐδεμιᾶς αὐτῷ ἀνάγκης οὔσης. μετὰ τοῦτο προσαπογράφει ἑτέρους τῶν πολιτῶν. ἐπειδὴ δὲ ἡ ἐκκλησία Μουνυχιάσιν ἐν τῷ θεάτρῳ ἐγίγνετο, οὕτω σφόδρα τινὲς ἐπεμελοῦντο ὅπως καὶ ἐν τῷ δήμῳ περὶ τῶν στρατηγῶν καὶ τῶν [5] ταξιάρχων μήνυσις γένοιτο, [6] — περὶ [7] δὲ τῶν ἄλλων ἀπέχρη ἐν τῇ βουλῇ μήνυσις ἡ γεγενημένη, —
465 ὥστε καὶ [8] ἐκεῖ παράγουσιν εἰς τὸν δῆμον· καί μοι ἀπόκριναι, ὦ Ἀγόρατε· [9] οὐ γὰρ οἶμαί σε ἔξαρνον γενέσθαι ἃ ἐναντίον Ἀθηναίων ἁπάντων [10] ἐποίησας.

[1] μοι, ὦ Ἀγόρατε· Ἆρ' ἀπέγραψας τὰ τούτων ὀνόματα περὶ ὧν λέγω; . . . Οὐδ' οὗτος δήπου ἔξαρνός ἐστιν. Ἐβούλοντο A. [2] ΕΡΩΤΗΣΙΣ om. T. R. A. [3] αὐτοὶ T. [4] ἐργάζεσθαι· αὐτὸς δ' οὐκ T. R. A. [5] ταξιαρχῶν T. R. [6] parentheseos signa om. T. R. [7] γὰρ A. [8] ἐκεῖ τοῦτον παραγ. A. [9] ἀλλ' οἶμαι T. R. οὐ γὰρ ἂν οἶμαι A. [10] ἐποίησας. Ἆρ' ἀπέγραψας ἐν τῷ δήμῳ τοὺς στρατηγοὺς καὶ τοὺς ταξιάρχους· . . . . Ὁμολογεῖ A.

Δή μοι] Post δή μοι deesse nonnulla paret. Reisk.

Ἐβούλοντο] Conciliabulum illud latronum, quod βουλὴν appellat. Reisk. Np. senatores. Auger.

Αὐτοὶ] F. αὐτόν. Taylor.

Αὐτὸς δ'] Consentiunt multi codices in hanc lectionem et distinctionem: οὕτω σφόδρα ἔῤῥωτο ἡ βουλὴ κακόν τι ἐργάζεσθαι αὐτόν. οὐκ ἐδόκει αὐτοῖς — lectio, ut mihi videtur, haud contemnenda, dummodo in fine legatur οὐκ ἐδόκει δ' αὐτοῖς. *tam gestiebat*, vel *ruebat senatus ei* (Agorato) *malum dare*. Oratio, id quod paret, est ironica. *Verum non videbatur* (Agoratus) *illis* (latronibus) —. Reisk.

Μετὰ τοῦτο] Post hæc v. deest δὲ, quod respondeat præmisso μέν. Idem.

Μήνυσις ἡ γεγενημένη] Inter μήνυσις et articulum interponunt codices μὲν, unde efficio μόνη. ut constructio verborum paulo conturbatiorum hæc sit: ἀπέχρη μόνη ἡ ἐν τῇ βουλῇ γεγενημένη. Reisk. Contius legit et distinguit, ut ego legi et distinxi. Auger.

Ἀλλ' οἶμαί σε ἔξαρνον γενέσθαι] Ἀλλ' οἶμαί σε οὐκ ἔξαρνον· γενήσεσθαι. Cont. Scribe γενήσεσθαι, vel ἂν γενέσθαι: *sed negaturum te reor.* Sequitur: ὁμολογεῖ μὲν αὐτός· ὅμως δὲ, καὶ τὸ ψήφισμα ὑμῖν τοῦ δήμου ἀναγνώσεται. ita distinguendum: et legendum, τὸ ψήφισμα, non τὰ ψηφίσματα. Iterum post vocem ἐποίησας desunt Oratoris Quæstiones, et Agorati *Responsa*, seu Ἀποκρίσεις. Quæ paullo ante præcedunt, ita distingue — μήνυσις γένοιτο, (περὶ δὲ τῶν ἄλλων ἀπέχρη ἐν τῇ βουλῇ μήνυσις ἡ γεγενημένη) ὥστε καὶ ἐκεῖ παράγουσιν εἰς τὸν δῆμον. istud ὥστε connectendum est cum præcedentibus οὕτω σφόδρα ἐπεμελοῦντο. Lege etiam: ἡ ἐν τῇ βουλῇ μήνυσις, ἡ γεγενημένη. Markland. et *in Edit. min.* Taylor. Mihi videtur leg. esse: οὐ γὰρ ἂν οἶμαι. *non enim videris mihi ea infitiaturus esse* —. Reisk.

Ἐποίησας] Id est, hic loci, εἶπας. nam qui loquitur vel indicat, denuntiat aliquid, præsertim in senatu vel concione, is quoque *agit*. Locutio est *actio*. Verum post hoc vocabulum deesse videtur titulus ΑΠΟΚΡΙΣΙΣ ΑΓΟΡΑΤΟΥ. Idem.

[1] ΕΡΩΤΗΣΙΣ.

ὁμολογεῖ μὲν καὶ αὐτὸς, ὅμως δὲ καὶ τὰ ψηφίσματα ὑμῖν τοῦ δήμου ἀναγνώσεται.

[2] ΨΗΦΙΣΜΑ. 466

ή. Ὅτι μὲν ἀπέγραψεν Ἀγόρατος οὑτοσὶ τῶν ἀνδρῶν ἐκείνων τὰ ὀνόματα, καὶ τὰ ἐν τῇ βουλῇ καὶ τὰ ἐν τῷ δήμῳ, καὶ ἔστι φονεὺς ἐκείνων, σχεδόν τι οἶμαι ὑμᾶς ἐπίστασθαι· ὡς τοίνυν ἁπάντων τῶν κακῶν αἴτιος τῇ πόλει ἐγένετο καὶ οὐδ᾽ ὑφ᾽ ἑνὸς αὐτὸν προσήκει ἐλεεῖσθαι, ἐγὼ οἶμαι ὑμῖν ἐν κεφαλαίοις ἀποδείξειν. ἐπειδὴ γὰρ ἐκεῖνοι συλληφθέν-
133. 1 τες ἐδέθησαν, τότε καὶ ὁ Λύσανδρος εἰς τοὺς λιμένας τοὺς ὑμετέρους εἰσέπλευσε, καὶ αἱ νῆες αἱ ὑμέτεραι Λακεδαιμονίοις παρεδόθησαν, καὶ τὰ τείχη [3] κατεσκάφη, καὶ οἱ Τριάκοντα κατέστησαν, καὶ τοιοῦτον δεινὸν τῇ πόλει ἐγένετο. ἐπειδὴ τοίνυν οἱ Τριάκοντα κατεστάθησαν, εὐθέως κρίσιν τοῖς ἀνδράσι τούτοις ἐποίουν ἐν τῇ βουλῇ· ὁ δὲ δῆμος ἐν τῷ δικαστηρίῳ ἐν δισχιλίοις ἐψηφίσατο. καί μοι ἀνάγνωθι τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

εἰ μὲν οὖν ἐν τῷ δικαστηρίῳ ἐκρίνοντο, ῥᾳδίως ἂν ἐσώζοντο·

[1] ΕΡΩΤΗΣΙΣ om. T. R. A. [2] ΨΗΦΙΣΜΑΤΑ. A.
[3] κατέσκάφησαν, οἱ T. κατεσκάφησαν, καὶ οἱ R. A.

Ὁμολογεῖ μὲν] Post μὲν videtur οὖν vel δὴ deesse. tametsi Lysias in his orationis vinculis paulo esse solet indiligentior atque parcior. Idem.

Τοῦ δήμου] Imo vero τὰ τοῦ δήμου. Verumtamen si pluralis hic bene habet, erit in proximo pro singulari ψήφισμα plurale ψηφίσματα substituendum. aut contra. Idem.

Ἀναγνώσεται] Np. ut millies alibi ὁ γραμματεύς. Auger.

Καὶ τὰ ἐν τῇ βουλῇ] Subaudi ἀπογραφέντα. Reisk.

Καὶ οἱ τριάκοντα] Copulam, qua vulgati carent, de meo addidi. κατεσκάφησαν an κατεσκάφη legendum sit, in dubio relinquam, tametsi singularis numerus est usitatior, et p. 398. 15. est usurpatus in hac ipsa formula. Idem.

Ἐψηφίσατο] Decretum plebs sciscebat, quo suum in hac causa judicandi jus a se in senatum e XXX viris et eorum assessoribus conflatum transferebat, eique facultatem dabat integram viros ab Agorato delatos pro arbitrio aut absolvendi aut damnandi. Idem.

Εἰ μὲν οὖν, κ. τ. λ.] Legi malim ad totam periodum vegetandam hoc modo: Εἰ μὲν οὖν ἐν τῷ δικαστηρίῳ ἐκρίνοντο, ῥᾳδίως ἂν ἐσώζοντο· ἅπαντες γὰρ ἤδη ἐγνωκότες ἦτε, οὗ ἦν κακοῦ ἡ πόλις· νῦν δ᾽ εἰς τὴν βουλὴν αὐτοὺς τὴν ἐπὶ τῶν τριάκοντα εἰσάγουσιν· ἐν ᾗ οὐδὲν ἔτι ὠφελεῖν ἐδύνασθε. Postremum membrum jampridem suis sedibus avulsum et istud ᾗ continuo in ᾧ deformatum elegantissimam juncturam misere funestavit. Taylor. ἐν ᾧ bene habet, idem significans atque ὅτε vel ὅπου. *cum*, *quando*, *ubi*. nihil hic est transpositum. Nexus ratiocinii, haud ille nimis obscurus, hic est: In judicio populi libero atque legitimo, si de illis lata fuisset sententia, absoluti abis-

467 ἅπαντες γὰρ ἤδη ἐγνωκότες ἦτε οὗ ἦν κακοῦ ἡ πόλις, ἐν ᾧ
οὐδὲν ἔτι ὠφελεῖν ἐδύνασθε· νῦν δ' εἰς τὴν βουλὴν αὐτοὺς
τὴν ἐπὶ τῶν Τριάκοντα εἰσάγουσιν. ἡ δὲ κρίσις τοιαύτη
[1] ἐγένετο, οἵαν καὶ ὑμεῖς αὐτοὶ ἐπίστασθε. οἱ μὲν γὰρ
Τριάκοντα ἐκάθηντο ἐπὶ τῶν βάθρων, οὗ νῦν οἱ πρυτάνεις
καθέζονται· δύο δὲ τράπεζαι ἐν τῷ πρόσθεν τῶν Τριάκοντα
ἐκείσθην· τὴν δὲ ψῆφον οὐκ εἰς καδίσκους, ἀλλὰ φανερὰν
ἐπὶ τὰς τραπέζας ταύτας ἔδει τίθεσθαι, [2] τὴν μὲν ἐπὶ τὴν
πρώτην, τὴν δὲ καθαιροῦσαν ἐπὶ τὴν ὑστέραν· ὥστ' ἐκ τί-
νος τρόπου ἔμελλέ τις αὐτῶν σωθήσεσθαι; ἑνὶ δὲ λόγῳ,
ὅσοι εἰς τὸ βουλευτήριον ἐπὶ τῶν Τριάκοντα εἰσῆλθον κρι-
θησόμενοι, ἁπάντων θάνατος κατεγινώσκετο, καὶ οὐδενὸς
468 ἀπεψηφίσαντο, πλὴν Ἀγοράτου τουτουΐ· τοῦτον δὲ ἀφεῖσαν,
ὡς εὐεργέτην ὄντα· ἵνα δὲ εἰδῆτε ὡς πολλοὶ ὑπὸ τούτου τε-
θνᾶσι, βούλομαι ὑμῖν τὰ ὀνόματα αὐτῶν ἀναγνῶναι.

[3] ΟΝΟΜΑΤΑ.

θ'. Ἐπειδὴ τοίνυν, ὦ ἄνδρες δικασταὶ, θάνατος αὐτῶν
κατεγνώσθη καὶ ἔδει αὐτοὺς ἀποθνήσκειν, μεταπέμπονται
εἰς τὸ δεσμωτήριον, ὁ μὲν [4] ἀδελφὴν, ὁ δὲ μητέρα, ὁ δὲ γυ-
469 ναῖκα, ὁ δ' [5] ἥτις ἦν ἑκάστῳ αὐτῶν προσήκουσα, ἵνα τὰ

[1] ἐγίγνετο T. R. A.
[2] τὴν μὲν καθαιροῦσαν ἐπὶ τὴν ὑστέραν, τὴν δὲ σώζουσαν ἐπὶ τὴν προτέραν· ὥστε T. R. A.
[3] ΟΝΟΜΑΤΑ om. T. R.
[4] ἀδελφὸν T.
[5] εἴ T. R. A.

sent. noratis enim eos insontes esse, perinde atque multos alios, qui per illorum temporum calamitatem in judicium inducti fuissent, nullius noxiæ rei, capitisque damnati. cernebatis enim labem reipublicæ, sed mederi non item noratis. Reisk.

Πρόσθεν τῶν τριάκοντα] Τῶν τριάκοντα mibi videtur scholium quod in textum irrepsit, ac proinde recidi velim. Auger.

Τις αὐτῶν] Interponi velim ἄν. Reisk.

Ἀναγνῶναι] Adde ΟΝΟΜΑΤΑ ΤΩΝ ΥΠΟ ΤΩΝ ΤΡΙΑΚΟΝΤΑ ΚΑΤΑΓΝΩΣΘΕΝΤΩΝ. Cont. Post ἀναγνῶναι deest titulus, aut ΑΝΑΓΝΩΣΙΣ, aut ΚΑΤΑΛΟΓΟΣ, aut ΟΝΟΜΑΤΑ. Reisk.

Ἀδελφὴν] Sic de meo dedi, pro vulgari ἀδελφὸν, ob insequentia nomina, quæ sunt omnia fœminina. Neque enim licebat nexis, mox morti dandis, mares ad se arcessere necessarios, sed fœminas solummodo, quæ defunctos lavarent, vestirent, exponerent, quæ munia sunt, non virilia, sed muliebria. Idem.

Εἴ τις ἑκάστῳ αὐτῶν προσήκουσα] Lego, προσήκων. quare enim *Fœminas* tantum accerserent condemnati? quin et statim dicit ἀσπασάμενοι τοὺς αὐτῶν, et paulo ante dixerat, τὸν ἀδελφὸν ab hoc vel illo accersitum fuisse. Paulo ante legendum: βούλομαι ὑμῖν τὰ ὀνόματα αὐτῶν ἀναγνῶναι. ΟΝΟΜΑΤΑ. Ἐπειδὴ τοίνυν, etc. Vulgo deest ΟΝΟΜΑΤΑ. quemadmodum in Andocide de Myster. p. 3. ed. Steph. καί μοι λάβε καὶ ἀνάγνωθι αὐτῶν τὰ ὀνόματα. ΟΝΟΜΑΤΑ. Τούσδε Ἀνδρόμαχος ἐμήνυσεν, Ἀλκιβιάδην, etc. Sic et ibi legendum, cum ante deesset ΟΝΟΜΑΤΑ: paulo post enim recte habetur: καί μοι λάβε καὶ ἀνάγνωθι τὰ ὀνόματα αὐτῶν. ΟΝΟΜΑΤΑ. Τούσδε Τεῦκρος ἐμήνυσε, Φαῖδρον etc. et ita rursus p. 5. Quin et idem iterum defectus videtur esse p. 7. ejusdem Orationis, post voces καὶ αὐτοῖς ἀναγίνωσκε. Markland. F. προσήκων. *In Edit. min.* Taylor. Codices bene multi ἤ τις. ambigo, utrum præstet. utrumvis præferas, semper post

ὕστατα ἀσπασάμενοι [1] τοὺς αὑτῶν οὕτω τὸν βίον τελευτήσειαν. καὶ δὴ καὶ Διονυσόδωρος μεταπέμπεται τὴν ἀδελφὴν τὴν ἐμὴν εἰς τὸ δεσμωτήριον, γυναῖκα ἑαυτοῦ οὖσαν. πυθομένη δ᾽ ἐκείνη ἀφικνεῖται, μέλαν [2] τε ἱμάτιον ἠμφιεσμένη, ὡς εἰκὸς ἦν ἐπὶ τῷ ἀνδρὶ αὐτῆς τοιαύτῃ συμφορᾷ κεχρημένῳ. ἐναντίον δὲ τῆς ἀδελφῆς τῆς ἐμῆς Διονυσόδωρος τά τε οἰκεῖα τὰ [3] ἑαυτοῦ διέθετο, ὅπως αὐτῷ ἐδόκει, καὶ περὶ Ἀγοράτου τούτου ἔλεγεν ὅτι αἴτιος ἦν τοῦ θανάτου, καὶ ἐπέσκηπτεν ἐμοὶ καὶ Διονυσίῳ τούτῳ, τῷ ἀδελφῷ τῷ αὑτοῦ, καὶ τοῖς φίλοις πᾶσι τιμωρεῖν ὑπὲρ αὑτοῦ Ἀγόρατον· καὶ τῇ γυναικὶ τῇ αὑτοῦ ἐπέσκηπτε, νομίζων αὐτὴν κύειν ἐξ αὑτοῦ, ἐὰν γένηται αὐτῇ παιδίον, φράζειν τῷ γενομένῳ ὅτι τὸν πατέρα αὐτοῦ Ἀγόρατος ἀπέκτεινε, καὶ κελεύειν τιμωρεῖν ὑπὲρ αὑτοῦ ὡς φονέα ὄντα. ὡς οὖν ἀληθῆ λέγω, μάρτυρας τούτων παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

ι. Οὗτοι μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπ᾽ Ἀγοράτου ἀπογραφέντες ἀπέθανον· ἐπεὶ δὲ τούτους ἐκποδὼν ἐποιή- 470 σαντο οἱ Τριάκοντα, σχεδὸν οἶμαι ὑμᾶς ἐπίστασθαι ὡς πολλὰ καὶ δεινὰ μετὰ ταῦτα τῇ πόλει ἐγένετο· ὧν οὗτος ἁπάντων αἴτιός ἐστιν, ἀποκτείνας ἐκείνους. ἀνιῶμαι μὲν οὖν ὑπομιμνήσκων τὰς γεγενημένας συμφορὰς τῇ πόλει, ἀνάγκη δ᾽ ἐστὶν, ὦ ἄνδρες δικασταὶ, ἐν τῷ παρόντι καιρῷ, ἵν᾽ εἰδῆτε ὡς σφόδρα ὑμῖν [4] [μὴ] ἐλεεῖν προσήκει Ἀγόρατον. ἴστε μὲν

[1] τὰς A. [2] γε A. [3] αὐτοῦ T. R. [4] [μὴ] om. T. A. οὐκ R.

προσήκουσα subaudiri debet ταύτην. Reisk.

Μέλαν τε ἱμάτιον] Π. μέλαν γε ἱμάτιον. H. Stephan. Forte, μέλαν θοἰμάτιον: nempe, solennem *illum* habitum lugubrem. Mox, pro τῷ ἀνδρὶ αὐτῆς, scribe αὑτῆς. Markland. Aut τε est delendum, aut deest hæc ferme sententia καὶ δακρύουσα vel δεδακρυμένη (nam perinde est), aut καὶ πενθοῦσα. Reisk.

Ἀνδρὶ αὐτῆς] Leg. ἀνδρὶ αὑτῆς. Taylor.

Αἴτιος ἦν] Malim aut ᾖ aut εἴη. Reisk.

Ἐλεεῖν] Recte habet Cod. Steph. μὴ ἐλεεῖν. Nam illa altera locutio per Ironiam rarissima est in auctore nostro. Hæc familiarissima. Modo in superioribus: Ὧν τοίνυν ἁπάντων τῶν κακῶν αἴτιος τῇ πόλει ἐγένετο, καὶ οὐδ᾽ ὑφ᾽ ἑνὸς αὐτὸν προσήκει ἐλεεῖσθαι, κ. τ. λ. Atque ita in oratione c. Eratosth. Ἥκει δ᾽ ὑμῖν ἐκεῖνος ὁ καιρὸς, ἐν ᾧ δεῖ συγγνώμην καὶ ἔλεον μὴ εἶναι ἐν ταῖς ὑμετέραις γνώμαις. Taylor. Hæc accipienda ironice, malim tamen ante ἐλεεῖν addi μὴ vel οὐκ. Auger.

Ὡς σφόδρα ὑμῖν ἐλεεῖν προσήκει Ἀγόρατον] Vitiosam esse hanc lectionem non opus est arguere: meliorem præbet Codex Stephani μὴ ἐλεεῖν, quam nihil curasse videtur Reiskius, cum *de suo præposuerit* οὐκ *ante vocem* ἐλεεῖν, quod mihi quidem frigidum videtur. Vehementius quoddam verbum requiritur ad sententiæ gravitatem: forte in lectione, quam præbet Margo Stephani μὴ ἐλεεῖν, hæc latet antiqua et germana: ὡς σφόδρα ὑμῖν μισεῖν προσήκει Ἀγόρατον. Ita p. 147. v. 29. ed. Steph.

γὰρ τοὺς ἐκ Σαλαμῖνος τῶν πολιτῶν κομισθέντας, οἷοι
ἦσαν καὶ ὅσοι, καὶ οἵῳ ὀλέθρῳ ὑπὸ τῶν Τριάκοντα ἀπώ-
λοντο· ἴστε δὲ τοὺς ἐξ Ἐλευσῖνος, ὡς πολλοὶ ταύτῃ τῇ
συμφορᾷ ἐχρήσαντο· μέμνησθε δὲ καὶ τοὺς ἐνθάδε διὰ τὰς
ἰδίας ἔχθρας ἀπαγομένους εἰς τὸ δεσμωτήριον. οἳ οὐδὲν
κακὸν τὴν πόλιν ποιήσαντες ἠναγκάζοντο αἰσχίστῳ καὶ
ἀκλεεστάτῳ ὀλέθρῳ ἀπόλλυσθαι, οἱ μὲν γονέας σφετέρους
αὐτῶν πρεσβύτας καταλιπόντες, οἳ ἤλπιζον ὑπὸ τῶν σφε-
τέρων αὐτῶν παίδων γηροτροφηθέντες, ἐπειδὴ τελευτήσαιεν
τὸν βίον, ταφήσεσθαι, οἱ δὲ ἀδελφὰς ἀνεκδότους, οἱ δὲ παῖ- 134. 1
471 δας μικροὺς πολλῆς ἔτι θεραπείας δεομένους. οὓς, ὦ ἄνδρες
δικασταὶ, ποίαν τινὰ οἴεσθε γνώμην περὶ τούτου ἔχειν, ἢ
ποίαν τινὰ ἂν ψῆφον θέσθαι, εἰ ἐπ' ἐκείνοις [1] γένοιτο, ἀπο-
στερηθέντας διὰ [2] τοῦτον τῶν ἡδίστων; ἔτι δὲ τὰ τείχη ὡς
κατεσκάφη, καὶ αἱ νῆες τοῖς πολεμίοις παρεδόθησαν, καὶ
[3] τὰ νεώρια καθῃρέθη, καὶ Λακεδαιμόνιοι τὴν ἀκρόπολιν
[4] ὑμῶν εἶχον, καὶ ἡ δύναμις ἅπασα τῆς πόλεως παρελύθη,
ὥστε μηδὲν διαφέρειν τῆς ἐλαχίστης πόλεως τὴν πόλιν. πρὸς
δὲ τούτοις τὰς ἰδίας οὐσίας ἀπωλέσατε, καὶ τὸ τελευταῖον
συλλήβδην ἅπαντες ὑπὸ τῶν Τριάκοντα ἐκ τῆς πατρίδος
472 ἐξηλάθητε. ταῦτα ἐκεῖνοι οἱ ἀγαθοὶ ἄνδρες αἰσθόμενοι οὐκ
ἔφασαν ἐπιτρέψαι τὴν εἰρήνην, ὦ ἄνδρες δικασταὶ, ποιήσα-
σθαι· οὓς σὺ, Ἀγόρατε, [5] βουλομένους ἀγαθόν τι πρᾶξαι

[1] γένοιντο T. A. [2] τούτων T. [3] τὰ om. T. A. [4] ἡμῶν T. [5] βουλόμενος T.

χρὴ — οὐκ εἴ τις τολμᾷ διὰ τοῦτο μισεῖν: v. 32. οὐκ ἄξιον ἀπ' ὄψεως, ὦ βουλὴ, οὔτε φιλεῖν, οὔτε μισεῖν οὐδένα. P. 152. v. 18. ὥςτε ὑπὸ πάντων τῶν πεπραγμένων μισηθέντες ἀπελθεῖν. Antiphon p. 145. v. 17. ἀποδείξω ὑμῖν τοὺς κατηγόρους ἀξίους οὐ μόνον ὑπ' ἐμοῦ μισεῖσθαι, ἀλλὰ καὶ ὑφ' ὑμῶν πάντων καὶ τῶν ἄλλων πολιτῶν. Demosthenes in Pantænetum p. 982. 12. ed. Reisk. ὡς ὃς ἂν σοὶ δανείσῃ, τοῦτον δημοσίᾳ μισεῖσθαι προσήκει. SLUITER.

Περὶ τούτου] Mox dicit διὰ τούτων, *per hos*, nempe Agroratum et τοὺς XXX. Hic itaque scribendum περὶ τούτων, aut illic διὰ τούτου. Pro γένοιντο, forte leg. γένοιτο. *si res esset arbitrii illorum.* MARKLAND.

Γένοιντο] Malim γένοιτο. TAYLOR. Subauditur τὸ θέσθαι τὴν ψῆφον. REISK.

Διὰ τοῦτον] Dedi. *propter hunc*, Agoratum puta. IDEM.

Ἔτι δὲ] Subaudi a communi e superioribus repetendum μέμνησθε. IDEM.

Τὴν ἀκρόπολιν ἡμῶν — τῆς πόλεως — τῆς ἐλαχίστης πόλεως τὴν πόλιν] Molesta est eadem vox toties repetita in eadem sententia. suspicor ultimam τὴν πόλιν esse a Glossatore Grammatico. nisi supra, ἡ δύναμις ἅπασα τῆς πόλεως παρελύθη, pro τῆς πόλεως scribendum sit τῆς πολιτείας. MARKLAND.

Τούτοις τὰς] Videtur καὶ interponendum esse. REISK.

Οὓς σὺ Ἀγόρατε, κ. τ. λ.] Multa sunt in hoc commate, quæ mihi stomachum movent. 1. Istud τῇ πόλει usque ad nauseam ingeminatum, ἀγαθόν τί πρᾶξαι τῇ πόλει ἀπέκτεινας, μηνύσας αὐτοὺς τῇ πόλει — καὶ αἴτιος εἶ ἁπάντων τῇ πόλει τῶν κακῶν τῶν γεγενημένων: quorum omnia non sunt Græca. 2. Istud βουλόμενος etc. est præ-

τῇ πόλει ἀπέκτεινας, μηνύσας αὐτοὺς τῇ [1] πόλει ἐπιβου-
λεύειν [2] [καὶ] τῷ πλήθει τῷ [3] ὑμετέρῳ, καὶ αἴτιος εἶ ἁπάν- 473
των τῇ πόλει τῶν κακῶν τῶν γεγενημένων. νῦν οὖν μνησθέν-
τες καὶ τῶν ἰδίων ἕκαστος δυστυχημάτων καὶ τῶν κοινῶν
τῆς πόλεως, τιμωρεῖσθε τὸν αἴτιον τούτων.

ια΄. Θαυμάζω δ᾽ ἔγωγε, ὦ ἄνδρες δικασταὶ, ὅ τί ποτε
τολμήσει πρὸς ὑμᾶς ἀπολογεῖσθαι· δεῖ γὰρ αὐτὸν ἀπο-
δεῖξαι, ὡς οὐ κατεμήνυσε τῶν ἀνδρῶν τούτων οὐδ᾽ αἴτιος
αὐτοῖς ἐστὶ τοῦ θανάτου, [4] ὅπερ οὐκ ἂν δύναιτο οὐδέποτε
ἀποδεῖξαι. πρῶτον μὲν γὰρ τὰ ψηφίσματα αὐτοῦ τὰ ἐκ
τῆς βουλῆς καὶ τοῦ δήμου καταμαρτυρεῖ, διαῤῥήδην ἀγο- 474
ρεύοντα περὶ ὧν Ἀγόρατος κατείρηκεν· ἔπειτα ἡ κρίσις, ἣν
ἐκρίθη ἐπὶ τῶν Τριάκοντα καὶ ἀφείθη, διαῤῥήδην λέγει,
διότι φησὶν ἔδοξε τἀληθῆ εἰσαγγεῖλαι. [5] καί μοι
ἀνάγνωθι [τὰ ψηφίσματα καὶ] [6] τὰς γραφάς.

[1] βουλῇ R. A. [2] [καὶ] om. T. R. A. [3] ἡμετέρῳ R. A.
[4] κἂν δύναιτο T. ὃ οὐκ ἂν δυν. R. A.
[5] καί μοι . . . . . γραφὰς om. T. uncos om. R. A. [6] τὴν γραφὴν A.

ter rem, sed hoc facilem medicinam recipit, legendo βουλομένους, quæ verissima est lectio. 3. Falso id dicitur delationem Agorati hujusmodi esse, hos homines ἐπιβουλεύειν τῷ πλήθει. Infra enim: Δεῖ τοίνυν αὐτὸν ὡς δικαίως ἐμήνυσε ταῦτα, ἀποφαίνειν, ὁρῶν αὐτοὺς πονηρὰ καὶ οὐκ ἐπιτήδεια τῷ δήμῳ τῷ ὑμετέρῳ πράττοντας, οἴομαι δὲ οὐδ᾽ ἂν τοῦτο αὐτὸν ἐπιχειρῆσαι ἀποδεικνύναι. 4. Denique male usurpatur τῷ πλήθει τῷ ὑμετέρῳ, cum ad Agoratum oratio convertitur. Taylor.

Ἀγαθόν τι πρᾶξαι τῇ πόλει] Forte, τὴν πόλιν. Isocrates Panegyrico: ὅστις οὖν οἴεται τοὺς ἄλλους κοινῇ πράξειν ἀγαθόν. Demosthenes Orat. περὶ Συντάξ. τὴν πόλιν πρᾶξαι ἀγαθά. Lucas tamen Actor. IX. 13. altera forma utitur: ὅσα κακὰ ἐποίησε τοῖς ἁγίοις σου. et Isocrates Orat. de Bigis, ad finem: et Xenophon Hellen. IV. p. 540. ἐνόμισε καταπρᾶξαι ἄν τι τῇ πόλει ἀγαθόν. Markland. F. τὴν πόλιν. *In Edit. min.* Taylor. Differre credo πρᾶξαι ἀγαθὸν τὴν πόλιν, et πρᾶξαι ἀγαθὸν τῇ πόλει. hoc significat *urbi aliquod bonum conciliare, comparare,* illud *urbem aliquo bono afficere.* Animadv. Char. Aphrod. l. ii. c. vi. p. 191. D'Orville.

Τῇ πόλει ἐπιβουλεύειν τῷ πλήθει τῷ ὑμετέρῳ· καὶ αἴτιος εἶ etc.] Ita interpungendum post ὑμετέρῳ, et legendum, καὶ τῷ πλήθει: distinguit enim τὴν πόλιν a τῷ πλήθει. exempla passim. Editio Vanderheidii in Parenthesi male includit hæc quatuor vocabula, τῷ πλήθει τῷ ὑμετέρῳ, quasi essent exegetica tantum vocum τῇ πόλει. Sequitur: καὶ αἴτιος εἶ ἁπάντων τῇ πόλει τῶν κακῶν τῶν γεγενημένων. aures eruditas lædet, nisi fallor, hic ordo verborum. potior foret: καὶ αἴτιος εἶ ἁπάντων τῶν κακῶν τῶν τῇ πόλει γεγενημένων. Markland. F. τῇ πόλει ἐπιβουλεύειν καὶ τῷ πλήθει. *In Edit. min.* Taylor. Pro vulgari τῇ πόλει dedi de meo τῇ βουλῇ, id est πρὸς τὴν βουλήν. *qui ad senatum detuleris,* vel *denunciaveris, hos viros plebi nostræ insidiari.* Reisk.

Κἂν δύναιτο, κ. τ. λ.] Delet hæc Schottus. Sed festinanter nimis, si me audias. Lege: ὃ οὐκ ἂν δύναιτο οὐδέποτε ἀποδεῖξαι. Aliquatenus præivit Scaliger. Vid. Lect. Lysiac. c. 12. Taylor. ἀλλ᾽ οὐκ ἂν δύναιτο οὐδ᾽ ἐπιδεῖξαι. Cont.

Αὐτοῦ] Quare iterum hoc deleat Schottus plane nescio. Taylor. Ita distinguendum: et construendæ voces αὐτοῦ καταμαρτυρεῖ, non τὰ ψηφίσματα αὐτοῦ. Parva sunt hæc, fateor: sed hæc parva Virum magnum, Schottum, in errorem induxerunt, ut putaret ejiciendam esse vocem αὐτοῦ, quam tamen postulat sensus. Markland. Cum Marklando facit Augerus.

[1]ΨΗΦΙΣΜΑΤΑ. [2]ΓΝΩΣΙΣ. [3]ΓΡΑΦΑΙ.

ὡς μὲν οὖν οὐκ ἀπέγραψεν, οὐδενὶ τρόπῳ δύναιτ' ἂν ἀπο-
475 δεῖξαι· δεῖ τοίνυν αὐτὸν ὡς δικαίως ἐμήνυσε ταῦτα ἀποφαί-
νειν, ὁρῶν αὐτοὺς πονηρὰ καὶ οὐκ ἐπιτήδεια τῷ δήμῳ τῷ
ὑμετέρῳ πράττοντας. οἴομαι [4]δ' οὐδ' ἂν [5]τοῦτο αὐτὸν
ἐπιχειρῆσαι ἀποδεικνύναι. οὐ γὰρ δήπου, εἴ τι κακὸν τὸν
476 δῆμον τῶν Ἀθηναίων εἰργάσαντο, οἱ Τριάκοντα, δεδιότες
μὴ [6]καταλυθείη ἂν ὁ δῆμος, τιμωροῦντες ὑπὲρ τοῦ δήμου ἂν
αὐτοὺς ἀπέκτειναν, ἀλλ' οἶμαι πολὺ τοὐναντίον τούτου.

ιβ'. Ἀλλ' ἴσως φήσει ἄκων τοσαῦτα κακὰ ἐργάσασθαι.

[1] ΨΗΦΙΣΜΑ. T. [2] ΓΝΩΣΙΣ om. T. R. A. [3] ΓΡΑΦΗ T. A.
[4] δ' om. T. [5] τοῦτό γε R. τοῦτον T. [6] καταλυθείησαν, ὁ T.

ΨΗΦΙΣΜΑ. ΓΡΑΦΗ.] Ante has voces MS. Stephani bene inserit, *καί μοι ἀνάγνωθι*. Pro ΨΗΦΙΣΜΑ vero, legendum ΨΗΦΙΣΜΑΤΑ: *duo* enim erant, unum τῆς βουλῆς, alterum τοῦ δήμου, ut paulo ante dixit. ΓΡΑΦΗ autem est κρίσις seu *Consultum* τῶν XXX. cujus particulam modo citaverat, Διότι ἔδοξε etc. MARKLAND. In vulgatis locus hic sic circumfertur. εἰσαγγεῖλαι. ΨΗΦΙΣΜΑ. ΓΡΑΦΗ. ὡς μὲν οὖν. Ego collatis inter se codicum lectionibus hanc conflavi, quam arbitror a vera Lysiæ manu proxime abesse: εἰσαγγεῖλαι. καί μοι ἀνάγνωθι τὰ ψηφίσματα καὶ τὰς γραφάς. ΨΗΦΙΣΜΑΤΑ. ΓΡΑΦΑΙ. Ὡς μὲν οὖν — In plurali dixit τὰς γραφὰς et ΓΡΑΦΑΙ. Vocabulum γραφὴ h. l. a Lysia sensu rariusculo usurpatum est pro ἀπογραφή. Designat illos duos indices ab Agorato, id quod e superioribus constat, alium post alium, exhibitos, in quibus perscripserat nomina a se delatorum. Paulo post, sub exitum hujus paginæ recurrit voc. γραφὴ hoc sensu *indicis, d'une liste*. REISK. Hic γραφὴ interpretor *sententia judicum*, cum vulgo intelligi debeat *libellus accusatorius*. AUGER.

Ταῦτα] Malim πάντας. *delatos a se cunctos merito delatos esse*. REISK.

Αὐτοὺς] Np. illos quos detulit Agoratus. AUGER.

Οἴομαι κ. τ. λ.] Π. οἴομαι δὲ οὐδ' ἂν τοῦτο αὐτὸν ἐπιχειρῆσαι ἀποδεικνύναι. H. STEPHAN. CONT. TAYLOR.

Οὐ γὰρ δήπου κ. τ. λ.] Recte jam tandem Schottus sustulit otiosum istud ὁ δῆμος. Minus tamen recte interpres, qui in ejus verba semper fere jurat, ὁ δῆμος τιμωροῦντες. Utrique communiter etiam deletis delendis imposuit hujus loci prava distinctio. Emendabit lector nasutus mecum: Οὐ γὰρ δήπου, εἴ τι κακὸν τὸν δῆμον τῶν Ἀθηναίων εἰργάσαντο, οἱ τριάκοντα, δεδιότες μὴ καταλυθείησαν [καταλυθείη ἂν ὁ δῆμος, *in Edit. min.*], τιμωροῦντες ὑπὲρ τοῦ δήμου ἂν αὐτοὺς ἀπέκτειναν. TAYLOR. Lego et distinguo: οὐ γὰρ δήπου, εἴ τι κακὸν τὸν δῆμον τῶν Ἀθηναίων εἰργάσαντο, οἱ Τριάκοντα, δεδιότες μὴ καταλυθείη ἂν ὁ δῆμος, τιμωροῦντες ὑπὲρ τοῦ δήμου ἂν αὐτοὺς ἀπέκτειναν. *si enim isti populum* (vel, *statum popularem*) *Atheniensem in re qualibet læsissent, Trigintaviri non punissent eos morte, popularis status gratia*, vel *metu ne Democratia dissolveretur: immo contra*, muneribus eos affecissent. Ὁ δῆμος est *Democratia*, status popularis. ubique occurrit tum apud Nostrum, tum Æschinem, Lycurgum, Diog. Laertium, etc. Male has voces delet Schottus. par huic mendum Orat. XIX. ubi pro ᾠήθησαν Stephanus restituit ᾠήθη ἄν. Mox, pro εἶτα δὲ καὶ ἐκεῖνο μεμνῆσθαι, forte scribendum δεῖ. Vulgata tamen ferri potest. MARKLAND. Ego locum hunc in vulgatis a mala interpunctione uniusque literæ redundantia misere affectum, ad mentem Marklandi, a quo feliciter sanatus est, restitui. REISK.

Εἰργάσαντο] Redit ad delatos ab Agorato. IDEM.

Τοὐναντίον τούτου] Occisi sunt scil. e contrario, quod salutaria reipublicæ consilia agitabant, cautumque ibant, ne libertas publica jugularetur. Vel sic potius: Imo vero plurimi eos fecissent, et honoribus auxissent, ob studium patriam pessumdandi. IDEM.

Τοσαῦτα] Graviter dictum. Nam cum haud sit inconsentaneum, aliquem imprudentem et invitum aliquando labi, errore suo, alienove impulsu, tum est admodum improbabile, eum invitum sæpe ruere. con-

ἐγὼ δ᾽ οὐκ οἶμαι, ὦ ἄνδρες δικασταὶ, οὐδ᾽ ἐάν τις ὑμᾶς ὡς μάλιστα ἄκων μεγάλα κακὰ ἐργάσηται, ὧν μὴ οἷόν τε γενέσθαι ἐστὶν ὑπερβολὴν, οὐ τούτου ἕνεκα οὐ δεῖν ὑμᾶς ἀμύνεσθαι. εἶτα δὲ καὶ [1]ἐκείνων μεμνῆσθαι, ὅτι ἐξῆν Ἀγοράτῳ τούτῳ, πρὶν εἰς τὴν βουλὴν κομισθῆναι, ὅτ᾽ ἐπὶ τοῦ βωμοῦ 477
ἐκάθητο Μουνυχιάσι, σωθῆναι· καὶ γὰρ πλοῖα παρεσκεύαστο καὶ [2][οἱ] ἐγγυηταὶ ἕτοιμοι ἦσαν συναπιέναι. καίτοι εἰ ἐκείνοις ἐπείθου καὶ ἠθέλησας ἐκπλεῦσαι μετ᾽ ἐκείνων, οὔτ᾽ ἂν ἑκὼν οὔτε ἄκων τοσούτους Ἀθηναίους ἀπέκτεινας· νῦν δὲ πεισθεὶς ὑφ᾽ ὧν τότε ἐπείσθης, εἰ τῶν στρατηγῶν καὶ τῶν [3]ταξιάρχων τὰ ὀνόματα μόνον εἴποις, μέγα τι ᾤου παρ᾽ αὐτῶν [4]διαπράξασθαι. οὔκουν τούτου ἕνεκα δεῖ σε παρ᾽ ἡμῶν συγγνώμης τινὸς τυχεῖν, ἐπεὶ οὐδὲ ἐκεῖνοι παρὰ σοῦ οὐδεμιᾶς ἔτυχον, οὓς σὺ ἀπέκτεινας. καὶ Ἱππίας μὲν ὁ Θάσιος καὶ Ξενοφῶν ὁ Ἰκαριεὺς, οἳ ἐπὶ τῇ αὐτῇ αἰτίᾳ τούτῳ ὑπὸ τῆς βουλῆς μετεπέμφθησαν, οὗτοι μὲν ἀπέθανον, 478
ὁ μὲν στρεβλωθεὶς, Ξενοφῶν, ὁ δὲ [5]Ἱππίας * * * * διότι

[1] ἐκεῖνο T. R. A. [2] [οἱ] om. T. uncos om. R. A. [3] ταξιαρχῶν T. R. A. [4] διαπράξεσθαι A. [5] Ἱππίας οὕτω· διότι T. R. A.

tra vero, quo sæpius peccet, hoc certius constat eum dala opera peccare volentem. Idem.

Ὑπερβολὴ] Π. ὑπερβολήν. H. Stephan.

Οὐ τούτου ἕνεκα οὐ δεῖν ὑμᾶς ἀμύνεσθαι] Idem est ac si dixisset: οὐκ οἴομαι δεῖν ὑμᾶς διὰ τοῦτο οὐκ ἀμύνεσθαι. *non autumo vos ideo oportere ultionem omittere.* Denique sitne οὐ δεῖν, ut est in libris, servandum, an οὐδὲ δεῖν legendum, in medio relinquam, et nil magnopere interest. Reisk.

Εἶτα δὲ καὶ] Εἶτα δεῖ καί. Cont.

Μεμνῆσθαι] F. Μέμνησθε. Taylor. Haud repugnabo. verum neque in vulgata video, quod obstet. Aut enim potest infinitivus hic pro more solito Græcorum accipi pro imperativo, ubi δεῖ subauditur, aut potest a communi e superioribus repeti οἴομαι ὑμᾶς. *arbitror vos meminisse.* ἐκείνων possit ferri, æquipollens τῷ ἐκείνου in singulari. *meminisse illius*, quod statim sequitur. Reisk. Sub. οἶμαι ὑμᾶς. Auger.

Καὶ ἐγγυηταὶ ἕτοιμοι] Scribe, καὶ οἱ ἐγγυηταὶ, ut supra et infra. Paulo ante, distinguendum post Μουνυχιάσι, non post ἐκάθητο. Markland.

Διαπράξασθαι] Lege, διαπράξεσθαι, *te consecuturum esse.* Idem.

Καριεὺς] Nullus fuit demus Καρία in Attica, unde gentile formari possit Καριεύς. Tu lege meo periculo Ἰκαριεὺς a pago seu demo Ἰκαρία, a quo gentile Ἰκαριεὺς invenitur apud Demosthen. c. Conon. et de illo demo, quem alii Ἰκάριον, alii Ἰκαρίαν vocant, marmoris Arundeliani Chronicon loquitur pag. 3. lin. 55. tum Harpocratio, Stephanus, Suidas, et alii. Palmer. Vide quoque Meursium de Pagis. Taylor.

Οὕτω] Si fas sit non omnia scire, sit istud portentum inter ea, quæ juxta sciam cum maxime inscientibus. Idem. *Eodem modo:* scil. quæstioni subjectus. sed vocem οὕτω mihi suspectam reddunt Distributiva ista μὲν et δὲ, quæ Dissimilitudinem aliquam pœnarum innuere videntur. Modus aliquis supplicii, quod patiebatur Hippias, forte latet sub ista voce. Vide Pollucem VIII. 7. segm. 71. ubi recenset *instrumenta carnificis*, quæ erant ξίφος, βρόχος, τύμπανον, φάρμακον, κώνειον. Plura vide apud Aristophanem in Ranis. Markland. Miror ambos hosce viros doctissimos in re plana et obvia æstuare, et de obscuritate queri, et inscitiam suam fateri, neque recordari eorum, quæ bene norant, et alibi recte ipsi tradiderant. Velim omnes auctorum Græcorum locos salebrosos ita esse planos et expeditos, atque

479 [1] οὐκ ἄξιοι ἐδόκουν τοῖς Τριάκοντα σωτηρίας εἶναι — οὐ-
δένα γὰρ Ἀθηναίων ἀπώλλυσαν —· Ἀγόρατος δὲ ἀφείθη,
διότι ἐδόκει ἐκείνοις τὰ ἥδιστα πεποιηκέναι.

ιγʹ. Ἀκούω δ' αὐτὸν καὶ εἰς Μενέστρατον ἀναφέρειν τι
περὶ τῶν [2] γραφῶν τούτων. τὸ δὲ τοῦ Μενεστράτου πρᾶγμα
τοιοῦτον ἐγένετο· ὁ Μενέστρατος οὗτος ἀπεγράφη ὑπὸ τοῦ
Ἀγοράτου καὶ συλληφθεὶς ἐδέδετο· Ἁγνόδωρος δ' ἦν Ἀμ- 135. 1
φιτροπαιεὺς, δημότης τοῦ Μενεστράτου, Κριτίου κηδεστὴς
τοῦ τῶν Τριάκοντα. οὑτοσὶ οὖν, ὅτε ἡ ἐκκλησία [3] Μουνυχιά-
σιν ἐν τῷ θεάτρῳ [4] ἐγίνετο, ἅμα μὲν βουλόμενος τὸν Μενέ-
στρατον σωθῆναι, ἅμα δὲ ὡς πλείστους ἀπογραφέντας
480 ἀπολέσθαι, παράγει αὐτὸν εἰς τὸν δῆμον, καὶ [5] εὑρίσκον-
ται αὐτῷ κατὰ τὸ ψήφισμα τουτὶ ἄδειαν.

[6] ΨΗΦΙΣΜΑ.

ἐπειδὴ δὲ τοῦτο τὸ ψήφισμα ἐγένετο, μηνύει ὁ Μενέστρατος

[1] οὐκ ἂν ἄξιοι T. οὐκ ἀνάξιοι R. [2] ἀπογραφῶν A. [3] ἐν Μουν. T. [4] ἐγένετο T. R. A. [5] εὑρίσκων τε T. [6] ΨΗΦΙΣΜΑ. om. T.

hic est. οὕτως ἀποθνήσκειν, cum opponitur τῷ στρεβλωθεὶς ἀποθνήσκειν, idem est atque simpliciter morti dari, sine præmisso tormentorum cruciatu. οὕτως idem est atque ἁπλῶς, vulgari mortis genere, quo plerique interimuntur, qui supplicio capitis luunt. v. Herodot. p. 119. 11. edit. Gronov. Aristophanis Ranas v. 638. Markland. ad Demosth. Midianam p. 89. 6. Ego ipse quoque hoc de usu particulæ οὕτως, ni fallor, ad Polybium admonui, et exempla plura contuli. REISK. οὕτω, simplici mortis genere, sive tormentis. AUGER.

Οὐκ ἂν ἄξιοι] Istud ἂν est in hoc loco importunissimum et recte abest a Coisl. codice. TAYLOR. Esse ἂν h. l. importunissimum aienti Tayloro largior equidem, nego tamen, quod ille ait, recte a Coislin. abesse. Duo vocabula ἂν ἄξιοι in unum ἀνάξιοι erant contrahenda. Xenophon et Hippias videbantur triginta tyrannis non indigni, qui servarentur propterea, quod civem Atheniensem nullum pessumdedissent sua delatione. Non indigni salute sunt homines frugi. Hi videbantur illi duo tyrannis esse (sic). propterea de medio eos tollebant. nam hominem frugi, dignum vitalibus auris, non poterant pati quenquam superesse. REISK.

Ἀπώλλυσαν] Hi duo nempe modo dicti, Xenophon et Hippias, nemini causam exitii denunciatione sua attulerant, h. e. neminem indicaverant. IDEM.

Ἀμφιτροπαιεὺς] Ἀμφοτροπαιεὺς, Ald. Coisl. Κηφισιᾶσιν ἕτερον ἀγρὸν, Ἀμφιτροπῆσιν ἐργαστήρια δύο. Æsch. c. Timarch. TAYLOR.

Ἐν Μουνυχιάσιν] Lege Μουνυχιάσιν absque ἐν, ut semper alibi solet noster, atque uti legebat quoque Ald. Vid. Duker. ad Thucyd. VIII. 92. IDEM.

Εὑρίσκων] Rectius εὑρίσκει, [vel εὕρισκε. *In Edit. min.*] IDEM. Lego: καὶ εὕρισκέ γε (vel εὑρίσκετο) αὐτῷ κατὰ τὸ ψήφισμα τουτὶ ἄδειαν. ΨΗΦΙΣΜΑ. Ἐπειδὰν δὲ τοῦτο τὸ ψήφισμα ἐγένετο, etc. Andocides de Myster. p. 5. Τεῦκρος ἦλθε Μεγαρόθεν ἄδειαν εὑρόμενος. In Stephani Edit. deest ΨΗΦΙΣΜΑ, quod in suam inseruit Vanderheidius, ex conjectura, opinor. certissimam tamen restitutionem puto. Mox sic distingue et lege: ἀληθῆ εἰσαγγεῖλαι· ὑμεῖς δὲ πολλῷ χρόνῳ ὕστερον λαβόντες, ἐν δικαστηρίῳ, ὡς ἀνδροφόνον ὄντα, θάνατον δικαίως καταψηφισάμενοι, τῷ δημίῳ παρέδοτε· καὶ ἀπετυμπανίσθη. Schottus quoque conjicerat τῷ δημίῳ, *carnifici*, pro τῷ δήμῳ. MARKLAND. Duo vocabula, in vulgatis h. l. versantia εὑρίσκων τε, in unum εὑρίσκονται contraxi. *impetrant*, quoquo modo, quaqua arte vel fraude obtinent, ut ei venia spiritus daretur. Critias puta, et Hagnodorus, iisque dediti. REISK.

καὶ προσαπογράφει ἑτέρους τῶν πολιτῶν. τοῦτον μέντοι οἱ
μὲν Τριάκοντα ἀφεῖσαν, ὥςπερ Ἀγόρατον τουτονὶ, δόξαντα
[1] ἀληθῆ εἰσαγγεῖλαι· ὑμεῖς δὲ πολλῷ χρόνῳ ὕστερον λα-
βόντες ἐν δικαστηρίῳ ὡς ἀνδροφόνον ὄντα, θάνατον δικαίως
καταψηφισάμενοι, τῷ [2] δημίῳ παρέδοτε, καὶ ἀπετυμπα-
νίσθη. καίτοι εἰ [3] ἐκεῖνος ἀπέθανεν, ἦπου Ἀγόρατός γε δι- 481
καίως ἀποθανεῖται, [4] ὅς γε τόν [5] τε Μενέστρατον ἀπογράψας
αἴτιος [6] ἐκείνῳ ἐστὶ τοῦ θανάτου, καὶ τοῖς ὑπὸ Μενεστράτου
ἀπογραφεῖσι τίς αἰτιώτερος ἢ ὁ εἰς τοιαύτην ἀνάγκην
ἐκεῖνον καταστήσας;

ιδ΄. Ἀνόμοιος δέ μοι δοκεῖ Ἀριστοφάνει γενέσθαι τῷ
Χολλίδῃ, ὃς ἐγγυητὴς τότε τούτου ἐγένετο καὶ τὰ πλοῖα
παρασκευάσας Μουνυχιάσιν ἕτοιμος ἦν συνεκπλεῖν μετὰ
τούτου. καὶ τό γε ἐπ᾽ [7] ἐκεῖνον εἶναι ἐσώθης, καὶ οὔτ᾽ ἂν 482
Ἀθηναίων οὐδένα ἀπώλεσας οὔτ᾽ ἂν αὐτὸς [8] σὺ εἰς τοιούτους
κινδύνους κατέστης· νῦν δὲ καὶ τὸν σωτῆρα τὸν σαυτοῦ
ἐτόλμησας ἀπογράψαι, καὶ [9] ἀπέγραψας καὶ ἐκεῖνον καὶ

[1] τἀληθῆ A. [2] δήμῳ T.
[3] ἐκεῖνος δικαίως ἀπέθανεν, ἦπου Ἀ. πολὺ δικαιότερον ἀποθανεῖται A.
[4] ὥςτε T. R. [5] τε om. A.
[6] ἐκείνῳ τε αἴτιος ἦν τ. θ., κ. τ. ὑ. M. ἀπογραφεῖσι. Τίς γὰρ ἂν ἄλλος αἰτιώτερος A.
[7] ἐκείνῳ R. A. [8] σὺ om. T. R. A. [9] ἐπέτριψας R.

Τῷ δήμῳ] F. τῷ δημίῳ. Schott. Quod ad veritatem pulcre accedit. Taylor.

Ἐκεῖνος ἀπέθανεν] Videtur δικαίως interponendum. Universe mallem hanc sententiam sic enunciatam fuisse: καίτοι εἰ ἐκεῖνος (Menestratus) δικαίως ἀπέθανεν (ἀπέθανε δὲ δικαίως) ἤπου Ἀγόρατός γε πολὺ δικαιότερον ἀποθανεῖται, ὅς γε τὸν Μενέστρατον ἀπογράψας ἐκείνῳ τε αἴτιος τοῦ θανάτου κατέστη, καὶ τοῖς ὑπὸ Μενεστράτου ἀπογραφεῖσι. τίς γὰρ ἂν ἄλλος εἴη αἰτιώτερος—. Reisk.

Χολλίδῃ] Vel Χολλείδῃ. Nam utroque modo scribitur pro temporum ratione diversitateque exarandi. V. Harpocr. et Maussac., Meursium et Sponium de pagis Attic., σχ. Aristoph. Acharn. 405., Demosth. c. Theocrin., Steph. Byzantin., Reines. Inscript. II. 69., Prid. ad Marm. Oxon. p. 83. Taylor. Χολλείδῃ legisse videtur Harpocration: Χολλεῖδαι, Λυσίας· δῆμος τῆς Λεοντίδος. sed corrigendum videtur Χολλίδαι. Vide Valesium ad locum: et Casaubonum ad Diog. Laertium Platone. Demosthenes adv. Lacriti Παραγρ. Διονύσιος Δημοκρατίδου Χολλίδης. Markland.

Ἐπ᾽ ἐκεῖνον] Ἐπ᾽ ἐκείνῳ. Scalig. Cont. Quod multo melius. Taylor. Scribendum forte ἐκείνῳ. *et quantum in ipso erat, servatus fuisses.* Sic Orat. XXVIII. ἀλλὰ, τὸ ἐπὶ τούτοις εἶναι, ἐν τοῖς δεινοτάτοις κινδύνοις καθεστήκατε: *quantum in his fuit.* Thucydides VIII. segm. 48. καὶ τὸ μὲν ἐπ᾽ ἐκείνοις εἶναι. Lucianus Hermot. p. 506. ὅσον γοῦν ἐπ᾽ ἐκείνῳ: ita legendum pro ὅσῳ. Vide ad Orat. XV. Thucydides vero IV. 28. ἐκέλευεν ἥντινα βούλεται δύναμιν λαβόντα, τὸ ἐπὶ σφᾶς εἶναι, ἐπιχειρεῖν· ubi tamen Scholiastes notat, Antyllum, veterem Criticum, legisse ἐπὶ σφίσι. Xenophon Hellen. III. p. 504. ὥςτε τὸ μὲν ἐπ᾽ ἐκείνοις εἶναι, ἀπολώλατε. Markland. Vid. tamen Not. Porson. ad Orest. v. 1338.

Ἀπέγραψας] Ἐπέγραψας. Ald. continuo fere errore. Vide quæ diximus de hac voce ad principium orationis superioris. Ἀπογράψας, Coisl. Taylor. Dedi de meo ἐπέτριψας, *pessumdedisti,* pro vulgari ἀπέγραψας. Reisk. Vel ἀπέκτεινας.

τοὺς ἄλλους ἐγγυητάς. τοῦτον μέντοι ὡς οὐ καλῶς Ἀθηναῖον
483 ὄντα ἐβούλοντό τινες βασανισθῆναι, καὶ τουτὶ τὸ ψήφισμα
τὸν δῆμον ἀναπείθουσι [1] ψηφίσασθαι.

[2] ΨΗΦΙΣΜΑ.

μετὰ τοῦτο τοίνυν προσιόντες τῷ Ἀριστοφάνει οἱ πράττοντες τότε τὰ πράγματα ἐδέοντο αὐτοῦ κατειπεῖν καὶ σώζεσθαι, καὶ μὴ κινδυνεύειν ἀγωνισάμενον τῆς ξενίας τὰ ἔσχατα παθεῖν. ὁ δὲ οὐκ ἔφη [3] οὐδέποτε· οὕτω χρηστὸς ἦν καὶ περὶ τοὺς δεδεμένους καὶ περὶ τὸν δῆμον τῶν Ἀθηναίων, ὥστε εἵλετο μᾶλλον ἀποθανεῖν ἢ κατειπεῖν καὶ ἀδίκως τινὰς ἀπολέσαι. ἐκεῖνος μὲν τοίνυν καὶ ὑπὸ σοῦ ἀπολλύ-
484 μενος τοιουτοσὶ ἐγένετο, [4] καὶ Ξενοφῶν ὁ στρεβλωθεὶς καὶ Ἱππίας ὁ Θάσιος· σὺ δ' οὐδὲν τοῖς ἀνδράσιν ἐκείνοις συνειδώς, πεισθεὶς δὲ ὡς σύ γε, ἂν ἐκεῖνοι ἀπόλωνται, μεθέξεις

[1] ψηφίζεσθαι T. R. A.
[2] ΨΗΦΙΣΜΑ. om. T.
[3] οὐδέποτε ποιήσειν. οὕτω A.
[4] καὶ ὁ Ξ. T. A.

Τοῦτον] Aristophanem puta Chollidem. Reisk. Sc. Aristophanem, malim ἐκεῖνον. Auger.

Ὡς οὐ καλῶς Ἀθηναῖον ὄντα] Lege: ὡς οὐ καθαρῶς Ἀθηναῖον ὄντα. Lucian. in Timon. Τύπτεις ἐλευθέρους οὐ καθαρῶς ἐλεύθερος οὐδ' ἀστὸς ὤν. Liban. in vita Demosthenis: τὸ μητρῷον γένος τοῦ ῥήτορος, οὐκ ἦν καθαρῶς Ἀττικός. Heliodorus Æthiopic. initio: ἦν δὲ οὐ πολέμου καθαροῦ τὰ φαινόμενα σύμβολα, ἀλλ' ἀνεμέμικτο καὶ εὐωχίας λείψανα. Taylor. Scribo: τοῦτον μέντοι, ὡς οὐκ ἄλλως (vel οὐχ ὅλως) Ἀθηναῖον ὄντα, ἐβούλοντό τινες βασανισθῆναι· καὶ τουτὶ τὸ ψήφισμα τὸν δῆμον ἀναπείθουσι ψηφίζεσθαι. ΨΗΦΙΣΜΑ. Μετὰ τοῦτο etc. *hunc igitur, utpote cæteroquin* (vel, *omnino*) *non Atheniensem, voluerunt nonnulli quæstioni subjici*, etc. Civis enim Atheniensis tormento subjici per leges non potuit, ut supra narrat Noster: tametsi Demosthenes de Cor. dissentire videatur, in historia Antiphontis, quem Athenienses στρεβλώσαντες occiderunt: si tamen iste Civis revera fuit, et non hoc nomine ab Æschine falso donatus, ad invidiam Demostheni faciendam. Vide et Andocidem de Myster. p. 7. Sed ad Lysiam. Pro βασανισθῆναι prior lectio erat καταγνισθῆναι· quod vult, opinor, καταγνωσθῆναί, *condemnari*. et hoc verum videtur. Iterum restitui vocem ΨΗΦΙΣΜΑ: quæ omissio adeo usitata est, ut bis acciderit in una pagina Lycurgi, p. 165. Edit. Steph. lin 9. post verbum ἀπέκτεινε, et lin. 30. post vocem ψήφισμα. Sequitur: ὁ δὲ οὐκ ἔφη οὐδέποτε· intellige, κατειπεῖν ἄν. *ille autem pertinaciter affirmavit se nunquam* delatorem fore. Markland. Καλῶς bene habet, idemque h. l. valet atque καθαρῶς. Reisk.

Βασανισθῆναι] Καταγνωσθῆναι, et deinde καταγωνισθῆναι. Scalig. Et hoc postremum forte recte se habet. Modo enim ἀγωνισάμενον τῆς ξενίας. Taylor.

Οὐδέποτε] Post οὐδέποτε videtur ποιήσειν deesse. Reisk.

Ἐκεῖνος μὲν τοίνυν καὶ ὑπὸ σοῦ] Post καὶ videtur αὐτὸς deesse. Idem.

Καὶ ὁ Ξενοφῶν ὁ στρεβλωθεὶς, καὶ Ἱππίας ὁ Θάσιος] Si Hippias ὁ Θάσιος, quare non καὶ Ξενοφῶν ὁ Καριεὺς στρεβλωθείς? mirum ni ista vox exciderit. et ita eos recensuit supra, καὶ Ἱππίας μὲν ὁ Θάσιος, καὶ Ξενοφῶν ὁ Καριεύς. ut aut abjiciendum sit ὁ Θάσιος, vel addendum Καριεύς. sed hoc potius. Sic infra, Θρασύβουλός τε ὁ Καλυδώνιος καὶ Ἀπολλόδωρος ὁ Μεγαρεύς. Markland.

Μεθέξεις τῆς τε πολιτείας] Legendum videtur τῆς τότε πολιτείας: ut Orat. XVI. οὐδὲ μετέσχον τῆς τότε πολιτείας. Supra hac Oratione: ἐναντιωσόμενοι τοῖς τότε καθισταμένοις πράγμασι. Dion. Halicarnassensis Libello περὶ τῆς Δημοσθ. δεινότητος· συγκρίνει τὴν ἐπὶ τῶν προγόνων πολιτείαν τῇ τότε καθεστώσῃ. Sequitur, ἀπεγράφης

τῆς [1] τε πολιτείας καθισταμένης, ἀπέγραφες καὶ ἀπέ- 485
κτεινας Ἀθηναίων πολλοὺς καὶ ἀγαθούς.

ιε΄. Βούλομαι δ' ὑμῖν, ὦ ἄνδρες δικασταὶ, ἐπιδεῖξαι οἵων
ἀνδρῶν ὑπ' Ἀγοράτου ἀπεστέρησθε. εἰ μὲν [2] οὖν οὐ πολλοὶ
ἦσαν, καθ' ἕκαστον ἂν περὶ αὐτῶν ἠκούετε, νῦν δὲ συλλήβδην
περὶ πάντων. οἱ μὲν γὰρ στρατηγήσαντες ὑμῖν πολλάκις
μείζω τὴν πόλιν τοῖς διαδεχομένοις στρατηγοῖς παρεδίδοσαν· 486
οἱ δὲ ἑτέρας μεγάλας ἀρχὰς ἄρξαντες καὶ τριηραρχίας
πολλὰς τριηραρχήσαντες [3] οὐδεπώποτε ὑφ' ὑμῶν οὐδεμίαν
αἰτίαν αἰσχρὰν ἔσχον. οἱ δ' αὐτῶν περιγενόμενοι καὶ σω-
θέντες, οὓς οὗτος μὲν ἀπέκτεινεν ὠμῶς καὶ θάνατος αὐτῶν
κατεγνώσθη, ἡ δὲ τύχη καὶ ὁ δαίμων περιεποίησε· φυ-
γόντες [4] γὰρ ἐνθένδε, καὶ οὐ συλληφθέντες οὐδὲ ὑπομείναντες

[1] τότε R. A. [2] οὖν om. T. R. A. [3] οὐδεπώποτε οὐδ' ὑφ' ὑ. οὐδεμίαν τὴν αἰτίαν T. [4] [γὰρ] R. om. A.

καὶ ἀπέκτεινας etc. scribe, ἀπέγραφες καὶ ἀπέκτεινας, *detulisti et occidisti*. Mox distingue: οἱ μὲν γὰρ στρατηγήσαντες ὑμῖν πολλάκις, μείζω τὴν πόλιν — παρεδίδοσαν. Deinde: οἱ δ' αὐτῶν περιγενόμενοι καὶ σωθέντες, οὓς οὗτος etc. Hæc sunt arena sine calce: deest enim Verbum his Nominativis. Lego et distinguo: οἱ δ' αὐτῶν περιγενόμενοι καὶ σωθέντες, (οὓς οὗτος ἀπέκτεινεν ὠμῶς, — περιεποίησε) φυγόντες ἐνθένδε, — τιμῶνται ἀφ' ὑμῶν, etc. Notavi supra ad Orat. VIII. ἀπέκτεινεν hic forte sumendum esse pro *occidere voluit*, sed, ut verum fatear, puto Lysiam scripsisse ἀπέκτεινεν ἂν ὁμοίως, *similiter occidisset, nisi Fatum servasset*. Delevi γὰρ post φυγόντες, Constructione ita postulante: nisi post σωθέντες intelligendum sit ἦσαν: quo tamen modo Lysias non solet scribere. Idem. F. τότε. *In Edit. min.* Taylor.

Ἀπεγράφης] Lege ἀπέγραφες. Idem.

Εἰ μὲν οὐ] Εἰ μὲν οὖν οὐ. Cont. Lysiam si nescirem copulandæ orationis paulo esse negligentiorem, suspicarer hic deesse aliquam copulam, et aut καὶ εἰ μὲν οὐ aut οἳ εἰ μὲν οὐ leg. esse. Reisk. Nemo dubitet, quin legi oporteat: εἰ μὲν οὖν οὐ — hanc copulam requiri manifestum est, ne hiulca sit oratio. Sluiter.

Περὶ πάντων] Scil. ἀκούσετε, aut ἀκούετε, aut ἐρῶ. quorum unum aliquod addi, quam subaudiri malim. Reisk.

Οἱ μὲν γὰρ, κ. τ. λ.] Punge mecum hoc pacto: Οἱ μὲν γὰρ στρατηγήσαντες ὑμῖν, πολλάκις κ. τ. λ. Taylor.

Στρατηγήσαντες ὑμῖν πολλάκις] *Cum vobis sæpe Strategatu functi fuissent. Vobis*, h. e. vobis delegantibus, a vobis in comitiis creati Strategi, jussu vestro et auctoritate vestra legitime et rite constituti. πολλάκις autem significat illos honores ab iis gestos fuisse non semel, sed sæpenumero. Honores Athenis erant annui. Sed interdum iidem honores iisdem mandabantur iterum atque iterum per annorum aliquot intervalla, aut per annos plures continuabantur. ut Romæ e. c. Marius septies Consul factus est. Æschines fratrem suum Polemarchum prædicat Strategum esse jam in annum tertium. quo significat, Strategatum ei ter, per annos tres continuos, fuisse delegatum. Reisk.

Σωθέντες] E periculo judicii coram XXX tyrannis. Idem.

Ἀπέκτεινεν] Quoad voluntatem scil. tametsi non quoad effectum. h. e. voluit occidere, tametsi res effectu caruit. Idem.

Ὠμῶς] Lege ὅμως. [*Quos ille nihilominus perdidit*, i. e. quantum in se fuit. Porro ab οὓς οὗτος usque ad περιεποίησε parenthesi sunt includenda, et delendum est γὰρ post φυγόντες. *In Edit. min.*] Taylor. Mera hæc est depravatio bonæ lectionis. Vulgata recte habet. Reisk.

Φυγόντες γὰρ ἐνθένδε] Inclusi conjunctionem γὰρ uncis, ut inutilem et amputandam, et constructioni officientem. Illa enim si servatur, necessario deest aliquid in superiori membro, neque habent illi nominativi περιγενόμενοι et σωθέντες prædicatum, cui innitantur. Sublato autem γὰρ, innituntur omnes hi nominativi, velut fulcro communi, uni verbo τιμῶνται ὑφ' ὑμῶν. Idem.

487 τὴν κρίσιν, κατελθόντες ἀπὸ Φυλῆς τιμῶνται ὑφ' ὑμῶν ὡς
ἄνδρες ἀγαθοὶ [1]ὄντες. Τούτους [2]μέντοι τοιούτους ὄντας
Ἀγόρατος τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ φυγάδας ἐντεῦθεν
[3]ἐποίησε, τίς ὢν αὐτός; δεῖ γὰρ ὑμᾶς εἰδέναι, ὅτι δοῦλος
καὶ ἐκ δούλων ἐστὶν, ἵν' εἰδῆτε οἷος ὢν ὑμᾶς ἐλυμαίνετο.
τούτῳ μὲν γὰρ πατὴρ ἦν [4]Εὐμάρης, ἐγένετο δὲ ὁ [4]Εὐμάρης
488 οὗτος Νικοκλέους καὶ Ἀντικλέους. καί μοι ἀνάβητε μάρ-
τυρες.

ΜΑΡΤΥΡΕΣ.

ιϛ'. Πολλὰ τοίνυν, ὦ ἄνδρες δικασταὶ, ὅσα κακὰ καὶ αἰσχρὰ καὶ τούτῳ καὶ τοῖς τούτου ἀδελφοῖς ἐπιτετήδευται, πολὺ ἂν εἴη ἔργον λέγειν. περὶ δὲ συκοφαντίας, ὅσας οὗτος ἢ δίκας ἰδίας συκοφαντῶν ἐδικάζετο, ἢ γραφὰς ὅσας ἐγράφετο ἢ ἀπογραφὰς ἀπέγραφεν, οὐδέν με δεῖ καθ' ἕκαστον λέγειν· συλλήβδην γὰρ ὑμεῖς ἅπαντες καὶ ἐν τῷ δήμῳ καὶ
ἐν τῷ δικαστηρίῳ συκοφαντίας αὐτοῦ κατέγνωτε, καὶ 136. 1

[1] ὄντες· τούτους T. R. [2] μὲν T. R. A. [3] ἐποίησε. T. R. A.
[4] Εὐμαρὴς T.

Εὐμαρὴς —] Π. Εὐμάρης· ἐγ. δὲ ὁ Εὐμάρης οὗτος Νικοκλέους τοῦ Ἀντικλέους. H. Stephan.

Ἐγένετο δὲ ὁ Εὐμαρὴς οὗτος, Νικοκλέους καὶ Ἀντικλέους] Probare vult Agoratum fuisse *Servum*, ex *Patre* Eumare itidem *Servo*. Igitur Εὐμαρὴς Νικοκλέους ejusdem est formæ ac *hujus Byrrhiam* apud Terentium, subaudita voce δοῦλος, quam ob εὐφημισμὸν veteres malebant reticere, ne *servitutem* cuiquam exprobrare viderentur. Demosthenes παραγρ. pro Phormione: ἀλλὰ μὲν ὅτι κἀκεῖνος ἦν τινῶν, εἶτ' ἀπηλλάγη τὸν αὐτὸν τρόπον, ὅνπερ οὗτος ἀφ' ὑμῶν, λάβε μοι ταυτασὶ τὰς μαρτυρίας, ὡς ἐγένετο Πασίων Ἀρχεστράτου. *verumtamen, quod et ille quoque* ERAT QUORUNDAM, (scil. *dominorum servus,*) *deinde manumittebatur eodem more, quo Phormio, a vobis, accipe hæc testimonia*, quæ testantur *Pasionem* FUISSE ARCHESTRATI, scil. *servum*. Tollenda vero distinctio post οὗτος. Pro καὶ Stephanus conjicit τοῦ. nihil muto: quia Eumares Duorum Dominorum servus esse potuit, vel simul, vel diversis temporibus; Nicoclis primum, deinde Anticlis: ut in exemplo ex Demosthene modo allato, ubi Pasion servus erat Antisthenis et Archestrati trapezitarum; vel amborum communis, vel istius primum, deinde hujus. Cæterum pro Εὐμαρὴς scribendum puto Εὐμάθης. scripsit Isæus Orationem ὑπὲρ Εὐμαθοῦς: de qua re vide Dion. Halicarn. in Isæo. Εὐμάθης quoque quidam erat unus ex Triginta-Viris. Markland. Ad Νικοκλέους et Ἀντικλέους subaudi δοῦλος. Auger.

Ὅσα] Constructio h. l. paulo est impeditior. ὅσα si servas, subaudiri ad πολλὰ debet ἐστίν. et tum pro πολὺ leg. erit ἃ πολύ. multa sunt, quæ ille fraterque patraverunt facinora. quæ perquam operosum sit omnia enumerare velle. Possit etiam sic legi: πολλὰ τοίνυν, ὦ ἄνδρες δικασταὶ, ὄντα κακὰ καὶ αἰσχρὰ, ἃ καὶ τούτῳ —. Reisk. Idem est, in fallor, ac si dixisset: ὅσα τοίνυν πολλὰ κακὰ etc. ut infra γραφὰς ὅσας pro ὅσας γραφάς. Demosth. p. 1124. 10. εἰ συνέβη τι παθεῖν, οἷα πολλὰ ἐμοὶ οἱ παῖδες οἱ τούτου τῶν ἐμῶν θυγατέρων ἐδικάζοντο.

Γραφὰς ὅσας ἐγράφετο] Secundum hoc ὅσας servari si debet, necesse erit, ut tertium quoque iteretur, et post ἢ ἀπογραφὰς rursus addatur. Ego vero malim secundum hoc ὅσας plane deleri. Nam quod aliquando in mentem venit ejus loco δημοσίας legendum esse, id nihili est. Non enim dicitur γραφὴ δημοσία, sed γραφὴ simpliciter. quanquam oppositio sic futura sit hoc luculentior inter δίκας ἰδίας et γραφὰς δημοσίας. Reisk.

ὤφλησεν ὑμῖν μυρίας δραχμὰς, ὥστε τούτῳ μὲν κακῶς ὑπὸ 489
ὑμῶν ἁπάντων μεμαρτύρηται. γυναῖκας τοίνυν τῶν πολιτῶν
τοιοῦτος ὢν μοιχεύειν καὶ διαφθείρειν ἐλευθέρας ἐπεχείρησε,
καὶ ἐλήφθη μοιχός· καὶ τούτου θάνατος ἡ ζημία ἐστίν. ὡς
δὲ ἀληθῆ λέγω, μάρτυρας κάλει.

ΜΑΡΤΥΡΕΣ.

ιζʹ. Ἦσαν τοίνυν οὗτοι, ὦ ἄνδρες δικασταὶ, τέτταρες
ἀδελφοί. τούτων εἷς μὲν ὁ πρεσβύτερος ἐν Σικελίᾳ παρα-
φρυκτωρευόμενος τοῖς πολεμίοις ληφθεὶς ὑπὸ Λαμάχου ἀπε-
τυμπανίσθη· ὁ δὲ ἕτερος εἰς Κόρινθον μὲν ἐντευθενὶ ἀνδρά-
ποδον ἐξήγαγεν, ἐκεῖθεν δὲ παιδίσκην [1] ἀστῆς ἐξαγαγὼν 490
ἁλίσκεται, καὶ ἐν τῷ δεσμωτηρίῳ δεδεμένος ἀπέθανε· τὸν
δὲ τρίτον [2] Φαινιππίδης [3] ἐνθάδε λωποδύτην ἀπήγαγε, καὶ
ὑμεῖς κρίναντες αὐτὸν ἐν τῷ δικαστηρίῳ, καὶ καταγνόντες
αὐτοῦ θάνατον, ἀποτυμπανίσαι παρέδοτε. ὡς δὲ ἀληθῆ 491

[1] αὐτὸς T. R. A. [2] Φαινιππίδην T. [3] ἐνθένδε T. R. A.

Τούτῳ μὲν κακῶς ὑπὸ ὑμῶν ἁπάντων μεμαρτύρηται.] Illustrant hæc D. Ioannis ista Epist. III. com. 12. Δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων, καὶ ὑπ' αὐτῆς τῆς ἀληθείας. *Demetrio testimonium redditur ab omnibus, et ab ipsa veritate.* Markland. Hic μὲν non habet δὲ insequens, sed non inusitatum est apud scriptores Græcos. Auger. F. ὥστε τοῦτό μοι ἱκανῶς ὑπὸ etc. ἱκανῶς Bekkeri, τοῦτο Codicum, est.

Ζημία] Πρ. γρ. ζωὴ μία. ἀλλὰ τὸ ζημία οὕτω καὶ ὀλίγῳ ὕστερον· Ὧν ἑκάστου ἁμαρτήματος ἐν τοῖς νόμοις θάνατος ἡ ζημία ἐστί. H. Stephan. ζημία. Cont.

Παραφρυκτωρευόμενος] Hunc locum laudat levi cum discrimine Suid. in Παραφρυκτωρευόμενος et Φρυκτός. Taylor.

Ἀνδράποδον ἐξήγαγεν] Clamat totus locus, ut ita rescribamus: Ὁ δὲ ἕτερος εἰς Κόρινθον μὲν ἐντευθενὶ ἀνδράποδον ἐξηγάγετο· ἐκεῖθεν δὲ παιδίσκην αὐτὸς ἐξαγαγὼν ἁλίσκεται. Non probaturus sum luce clariora. Idem. Ἐξήγαγεν bene habet. Nam si frater Agorati, quodcunque ei nomen fuit, puerum Athenis Corinthum curasset per alium exportari, non ipse exportasset, Lysias videtur non ἐξηγάγετο, sed ἐξέπεμψε, dicturus fuisse. Proximum insequens αὐτὸς non ad exportationem refertur, quasi prius servile corpus per alium, posterius per se exportasset, sed ad captionem respicit. Ut ipse antea alios ceperat, quos pro mancipiis venderet, sic rursus, e contrario ipse capiebatur, quo in carcere periret. Reisk. Post ἐξήγαγεν subaudi aliqua in hunc ferme sensum: Et tunc mortem effugit. Auger.

Φαινιππίδην] Lege Φαινιππίδης. Cont. Taylor. Lege: Φαινιππίδης ἐνθάδε λωποδύτην ἀπήγαγε. *Phænippides hic* (sc. Athenis) *vestium furem abduxit*, nempe, *ad judices.* Phænippides erat unus τῶν Ἕνδεκα, quorum erat ἀπάγειν λωποδύτας, ut de iis refert Pollux VIII. 9. segm. 102. Vide Orat. X. Paulo ante, pro ἁλίσκεται forte ἡλίσκετο. παιδίσκην ἐξαγαγὼν ἡλίσκετο, *convictus erat eduxisse puellam*, vel *servam.* Markland.

Ἐνθένδε] *Hinc*, e concione vestra, in qua ego nunc stans coram vobis, vobiscum ago. Agebatur enim hæc causa in concione coram Heliæa. Phænippides fratrem hunc Agorati non nominatum fortuito in concione stantem conspicatus, illinc manu sua extractum ad undecimviros adduxerat, a quibus in custodia tantisper asservaretur, donec causa ejus a populo per Heliæam judicaretur. Reisk. Quocum facit Augerus.

Ἀποτυμπανίσαι παρέδοτε] Videntur deesse voces τῷ δημίῳ, *carnifici*: ut supra, τῷ δημίῳ παρέδοτε· καὶ ἀπετυμπανίσθη. Ferri tamen potest Vulgata. Sic Orat. VII. καὶ ἕτοιμος ἦμην, εἴ τινα βούλοιτο, παραδοῦναι βασανίζειν. Vide Orat. XXII. initio. Sic et παρεδόθη absolute Matt.

λέγω, καὶ αὐτὸν οἶμαι ὁμολογήσειν τοῦτον, καὶ μάρτυρας παρεξόμεθα.

ΜΑΡΤΥΡΕΣ.

πῶς οὖν οὐχ ἅπασι προσήκει ὑμῖν τούτου καταψηφίζεσθαι; εἰ γὰρ τούτων ἕκαστος δι' ἓν ἁμάρτημα θανάτου ἠξιώθη, [1]ἧπου τοῦ γε πολλὰ ἐξημαρτηκότος καὶ δημοσίᾳ εἰς τὴν πόλιν καὶ ἰδίᾳ εἰς ἕκαστον ὑμῶν, ὧν ἑκάστου ἁμαρτήματος ἐν τοῖς νόμοις θάνατος ἡ ζημία ἐστὶ, δεῖ ὑμᾶς σφόδρα θάνατον αὐτοῦ καταψηφίσασθαι.

ιη'. [2]Λέξει δὲ, ὦ ἄνδρες δικασταὶ, καὶ ἐξαπατῆσαι ὑμᾶς πειράσεται, ὡς ἐπὶ τῶν Τετρακοσίων Φρύνιχον ἀπέκτεινε, καὶ ἀντὶ τούτου φησὶν αὐτὸν [3]Ἀθηναῖον τὸν δῆμον ποιήσα-
492 σθαι, ψευδόμενος, ὦ ἄνδρες δικασταί· οὔτε γὰρ Φρύνιχον ἀπέκτεινεν, οὔτε [3]Ἀθηναῖον αὐτὸν ὁ δῆμος ἐποιήσατο. Φρυνίχῳ γὰρ, ὦ ἄνδρες δικασταὶ, κοινῇ Θρασύβουλός τε ὁ Καλυδώνιος καὶ Ἀπολλόδωρος ὁ Μεγαρεὺς ἐπεβούλευσαν· ἐπειδὴ δὲ ἐπετυχέτην αὐτῷ βαδίζοντι, ὁ μὲν Θρασύβουλος τύπτει τὸν Φρύνιχον καὶ καταβάλλει πατάξας, ὁ δὲ Ἀπολλόδωρος οὐχ ἥψατο, [4]ἀλλ' ἐν τούτῳ κραυγὴ γίνεται, καὶ ᾤχοντο φεύγοντες. Ἀγόρατος [5]δὲ οὑτοσὶ οὔτε παρε-

[1] ὑπὸ τοῦ T. ἧπου τούτου R. A. [2] λέξαι T. [3] Ἀθηναίων R.
[4] ἀλλὰ τούτῳ T. A. ἀλλ' ἅμα τούτῳ R. [5] τε T.

IV. 12. Ἰωάννης παρεδόθη. et passim in Evangeliis. Mox, pro ὑπὸ τοῦ γε, Schottus legit, ἧπου γε. optime. MARKLAND.

Ὑπὸ τοῦ γε] Feliciter Schott. ἧπου γε, vel forsan paulo rectius ἧπου τοῦ γε. Quod tu rescribas. TAYLOR. Ἧπού γε τοῦ πολλά. CONT. Pro vetusta prava lectione ὑπὸ τοῦ γε dedi, partim de meo, ἧπου, τούτου γε. Non cohæret hic genitivus τούτου cum καταψηφίσασθαι (nam hoc cum αὐτοῦ cohæret),sed est genitivus absolutus, ut vulgo usurpatur, vel consequentiæ. τούτου ἐξημαρτηκότος idem est atque ὅτι οὗτος ἐξημάρτηκε. REISK. Legi juxta Reiskium τούτου in genitivo absoluto, nisi mavis construere cum καταψηφίσασθαι quod sequitur, et tunc αὐτοῦ abundabit. AUGER. Τοῦ—ἐξημαρτηκότος cum καταψηφίσασθαι construe. Pronomen αὐτοῦ, ut sæpius alibi, constructionem eleganter redintegrat.

Λέξαι] Vel λέξει credo. TAYLOR.

Φησὶν αὐτὸν Ἀθηναῖον τὸν δῆμον ποιήσασθαι] Scribe, αὑτὸν, *se*. hæc enim verba sunt Agorati, de *seipso* loquentis. aliter mox, οὔτε Ἀθηναῖον αὐτὸν ὁ δῆμος ἐποιήσατο. recte ibi αὐτόν: Orator enim de Agorato loquitur. Hæ voces αὑτὸς et αὐτὸς tam sæpe in his Orationibus confunduntur, ut pæne molestum sit monere. De morte vero Phrynichi vide Lycurgum p. 164. et Thucyd. VIII. segm. 92. qui rem aliter narrat. MARKLAND.

Οὔτε γὰρ Φρύνιχον ἀπέκτεινεν] Confer cum hoc loco Lycurgum c. Leocrat. Ex eo hanc historiam de morte Phrynichi licebit melius noscere. PALMER.

Ἀλλ' ἅμα τούτῳ] Sic dedi de meo. *simul atque hoc fiebat.* vulgati dant ἀλλὰ τούτῳ. REISK. Ἀλλ' ἐν τούτῳ. CONT. Τούτῳ, np. Phrynicho. Et hanc phraseos partem sic interpretor: Sed a Phrynicho clamor tollitur. AUGER.

Ἀγόρατός τε οὑτοσὶ] Scribe, Ἀγόρατος δέ. MARKLAND. et *in Edit. min.* TAYLOR.

κλήθη οὔτε παρεγένετο οὔτε οἶδε τοῦ πράγματος οὐδέν. ὡς δὲ ἀληθῆ λέγω, αὐτὸ ὑμῖν τὸ ψήφισμα δηλώσει.

ΨΗΦΙΣΜΑ.

ὅτι μὲν οὐκ ἀπέκτεινε Φρύνιχον, ἐξ αὐτοῦ τοῦ ψηφίσματος δῆλον. οὐδαμοῦ γάρ ἐστιν Ἀγόρατον Ἀθηναῖον εἶναι, ὥσπερ Θρασύβουλον καὶ Ἀπολλόδωρον· καίτοι εἴπερ ἀπέκτεινε Φρύνιχον, ἔδει αὐτὸν ἐν τῇ αὐτῇ στήλῃ, ἵνα περ [1] Θρασύβουλον καὶ Ἀπολλόδωρον, Ἀθηναῖον πεποιημένον. τὰ μέντοι ὀνόματα διαπράττονται σφῶν αὐτῶν, δόντες ἀργύ- 493
ριον τῷ ῥήτορι, προσγραφῆναι εἰς τὴν στήλην, ὡς [2] εὐεργέτας ὄντας. καὶ ὡς ἀληθῆ λέγω, τοῦτο τὸ ψήφισμα ἐλέγξει.

ΨΗΦΙΣΜΑ.

οὕτω μέντοι οὗτος πολὺ ὑμῶν καταφρονεῖ, ὥστε οὐκ ὢν

[1] Θρασύβουλος καὶ Ἀπολλόδωρος, Ἀθ. πεπ. γεγράφθαι. τὰ μ. ὀν. πολλοὶ διαπράττονται A.
[2] εὐεργετῶν ὄντων A.

Πεποιημένον] Πεποιημένον εἶναι. CONT. Credo non unam vocem aut alteram, sed plures desiderari inter hanc periodum et sequentem. TAYLOR. Post πεποιημένον, aut ante, aut in hac certe regione deest γεγράφθαι, aut φαίνεσθαι, aut ὁρᾶσθαι, aut simile quid. REISK. F. leg. ἔδει αὐτὸν ἐν τῇ αὐτῇ στήλῃ εἶναι παρὰ [next] Θρασύβουλον καὶ Ἀπολλ. &c. Ex qua positione totum hoc argumentum pendet. Xenoph. Sympos. c. 1. §. 8. Αὐτόλυκος μὲν οὖν παρὰ τὸν πατέρα ἐκαθέζετο, ὥσπερ εἰκὸς, οἱ δ' ἄλλοι κατεκλίθησαν. Mox εὐεργέτας refer ad τὰ ὀνόματα σφῶν αὐτῶν, h. e. σφᾶς αὐτούς.

Τὰ μέντοι ὀνόματα etc.] Ante has voces nonnulla deesse puto. MARKLAND. Post αὐτῶν aut post διαπράττονται deest πολλοὶ aut τινές. [Suspicabar olim in hac regione nonnihil deesse. verum nihil deest. conclusio solummodo est paulo abstrusior. cujus hæc est sententia: Quanquam facillime fit, ut codices, in quibus nomina civium publice perscribuntur, fraude sceleratorum contaminentur, furtim ingerentium nomina eorum, qui cives non sunt; tamen in ista facilitate corruptelæ publicarum tabularum, et in ista crebritate hujus fraudis, non evicit Agoratus ut nomen suum in illam stelam insculperetur, qua testatus est populus Atheniensis, se Thrasybulo et Apollodoro jus et honores civitatis suæ detulisse, sic de se meritis. *In Var. Lect.*] REISK. Immo videtur Agoratus, eandem ac Thrasybulus Apollodorusque causam, nempe Phrynichi internecionem, prætendens, evicisse ut in aliam, sc. Anagyrasiorum, stelam inscriberetur; et hac ipsa de causa arguit Noster Agoratum esse hominem παρέγγραπτον, quippe quibus causa eadem, idem psephisma, stela, positura, fuisset.

Εὐεργέτας ὄντας] Postulat quidem constructio nominativum εὐεργέται ὄντες, si ad διαπράττονται refertur, aut genitivum εὐεργετῶν ὄντων, si ad αὐτῶν. Verumtamen intutum est hic aliquid moliri, quia nescimus, quid interciderit. REISK.

Τοῦτο τὸ ψήφισμα] Videtur hoc decretum, quod hic affertur, in eos latum fuisse, qui se falso cives Athenienses gererent, cum malis fraudibus in civitatem irrepsissent, scripti quidem in albo civium, verum haud legitime, fraude quorundam ICtorum, quos mercedula corrupissent, nunquam ab ipso populo jure civitatis donati. IDEM. Velim legi τὸ αὐτὸ ψήφισμα, arbitror enim idem esse decretum sequens ac illud quod antea recitatum fuit. AUGER. De hujusmodi civibus, fraude in album insertis, vid. Petit. in Leg. Attic. l. ii. t. iii. §. 10. sqq., deque eorum maleficiis id temporis, quo Noster orabat, Æschin. π. Παραπρ., p. 50. 40. sqq. ed. Steph.

494 Ἀθηναῖος καὶ ἐδίκαζε καὶ [1]ἐξεκλησίαζε καὶ γραφὰς τὰς
ἐξ ἀνθρώπων ἐγράφετο, ἐπιγραφόμενος [2]Ἀναγυράσιος εἶναι.
495 ἔπειτα δὲ καὶ ἕτερον μέγα τεκμήριον ὡς οὐκ [3]ἂν ἀπέκτεινε
Φρύνιχον, δι' ὃν Ἀθηναῖός φησι γεγενῆσθαι. ὁ Φρύνιχος
γὰρ οὗτος τοὺς Τετρακοσίους κατέστησεν· ἐπειδὴ δ' [4]ἐκεῖ-
νος ἀπέθανεν, οἱ πολλοὶ τῶν Τετρακοσίων ἔφυγον. πότε-
ρον οὖν δοκοῦσιν ὑμῖν οἱ Τριάκοντα καὶ ἡ βουλὴ ἡ ἐπὶ τῶν
Τριάκοντα βουλεύουσα, [5]οἳ πάντες ἦσαν τῶν Τετρακοσίων
τῶν φευγόντων, ἀφεῖναι [6]ἂν λαβόντες τὸν Φρύνιχον ἀπο-
496 κτείναντα [7]ἢ [8]τιμωρήσασθαι ὑπὲρ Φρυνίχου καὶ τῆς φυγῆς

[1] ἐκκλησίαζε T. R. A. [2] Ἀναγυῤῥάσιος A. [3] ἂν om. A. [4] ἐκεῖνοι ἀπέθανον T. [5] οἳ αὐτοὶ ἦσαν ἅπαντες T. R. A. [6] ἀναλαβόντες T. [7] ἢ om. A. [8] τιμωρ. ἂν ὑπὲρ A.

Καὶ ἐδίκαζε καὶ ἐξεκκλησίαζε] Infra dicit, καὶ ἐδικάζετο καὶ ἐξεκκλησίαζε. et ita hic forte scribendum, *judicio contendebat*, quemadmodum civis Atticus. et tamen Orat. XXVI. habet. καὶ τοῦ δικάζειν καὶ ἐκκλησιάζειν περὶ τῶν κοινῶν μετέδοτε. unde lis de utraque voce, tum ἐδικάζετο, tum ἐξεκκλησίαζε, jure optimo moveri potest. Demosthenes contra Timocrat. ἐάν τις — ὀφείλων τῷ δημοσίῳ ἐκκλησιάζῃ ἢ δικάζῃ. Markland. F. ἐδίκαζε καὶ ἐκκλησίαζε. *forum et conventus publicos celebravit*, tanquam civis Atticus. *In Edit. min.* Taylor. Ἐξεκλησίαζε. *In Animadv. ad Char.* l. iv. c. v. p. 404. D' Orville. et *in Var. Lect.* Reisk.

Γραφὰς τὰς ἐξ ἀνθρώπων] Confer cum loco non longe distanti: Ὅτι καὶ ἐδικάζετο, καὶ ἐξεκκλησίαζε καὶ ἐσυκοφάντει πολλοὺς, ὡς Ἀθηναῖος τοὔνομα ἐπιγραφόμενος. Ubi συκοφαντεῖν et γραφὰς τὰς ἐξ ἀνθρώπων γράφεσθαι videntur esse paria. Occurrit eadem locutio apud Æsch. c. Timarch. τὸ δὲ τελευταῖον, δήσαντες πρὸς τὸν κίονα αὐτὸν τὸν Πιττάλακον ἐμαστίγουν τὰς ἐξ ἀνθρώπων πληγάς. quam exponit σχ. ineditus: ἢ τὰς ἀπολλύναι δυναμένας καὶ οἱονεὶ ἐξ ἀνθρώπων ποιῆσαι, ἢ ἃς εἰκὸς ἀνθρώπους παρασχεῖν, ἢ ὅσαι εἰσὶν ἐν ἀνθρώποις. Frigide omnia. Nam et apud Æschin. rescripserunt dudum plurimi, uti et hic quoque rescribi puto oportere, τὰς ἐξανθρώπους, immites, crudeles. Vid. quæ congessit Needhamus ad Vit. Hierocl. a Suida descriptam. Taylor. Forte: καὶ γραφὰς ὡς ἐξ Ἀθηναίων ἐγράφετο: *et dicas scribebat, quasi Atheniensis fuisset*. sic infra: καὶ ἐσυκοφάντει πολλοὺς, ὡς Ἀθηναῖος τοὔνομα ἐπιγραφόμενος. in publicis enim Tabulis inscribebatur Ἀναγυῤῥάσιος, vel potius Ἀναγυράσιος Agoratus; saltem, ita præ se tulit. Sphalma ortum forte ex compendiosa aliqua scriptura vocis Ἀθηναίων, quam exscriptor male accepit pro ἀνῶν, id est ἀνθρώπων. Sic Galat. IV. 26. pro, ἡ δὲ ἄνω Ἱερουσαλὴμ, Montfauconius Palæogr. Græc. V. 1. notat se in Codice quodam invenisse, ἡ δὲ ἀνθρώπῳ Ἱερουσαλήμ. Markland. Dictio γραφὰς τὰς ἐξ ἀνθρώπων ἐγράφετο significat hoc: Causarum forensium nullum non tractavit genus; nullus est in universo jure titulus, ex quo agi in quenquam possit, quem titulum Agoratus intentatum sibi reliquerit. nullum accusationis genus excogitari potest, quo non aliquem exagitaverit. Errorem, in quem Taylor hic loci incidit, ipse ad Æschinem agnovit atque retractavit. Reisk. Intellige, accusationes publicas quæ ab homine vel adversus hominem fieri possunt, i. e. accusationes publicas in omni genere. Auger.

Ἀναγυῤῥάσιος] (Sic vulg.) Ἀναγυράσιος. Coisl. Quæ est lectio inscriptionum, auctorumque omnium. Taylor.

Ὡς οὐκ ἂν ἀ.] Ὡς οὗτος οὐκ ἀπέκτ. Cont.

Ἐκεῖνοι ἀπέθανον] Puto ἐκεῖνος ἀπέθανε. Schott. Cont. Taylor. Lege, ἐκεῖνος ἀπέθανεν, sc. Φρύνιχος. Mox, pro ἀφεῖναι ἀναλαβόντες, Stephanus ἀφεῖναι ἂν λαβόντες: quod certissimum puto. Paulo inferius: εἰ δὲ ἀμφισβητεῖς, etc. admodum solerter et ingeniose excogitatum est Argumentum. Markland. Laudo Stephanum. Taylor.

Τῶν φευγόντων] Qui tum statim post cædem Phrynichi in exsilium sponte sua exissent, unde postmodum rebus mutatis, aut potius iterum conturbatis, redissent. Reisk.

ἧς αὐτοὶ ἔφυγον; ἐγὼ μὲν οἶμαι τιμωρεῖσθαι ἄν. εἰ μὲν οὖν μὴ ἀποκτείνας προσποιεῖται, ἀδικεῖ, ὥς ἐγώ φημι· εἰ δὲ ἀμφισβητεῖς καὶ φῂς Φρύνιχον ἀποκτεῖναι, δῆλον ὅτι μείζω τὸν δῆμον τῶν Ἀθηναίων κακὰ ποιήσας τὴν ὑπὲρ Φρυνίχου αἰτίαν πρὸς τοὺς Τριάκοντα ἀπελύσω· οὐδέποτε γὰρ πείσεις οὐδένα ἀνθρώπων, ὡς Φρύνιχον ἀποκτείνας ἀφείθης
137.1 ἂν ὑπὸ τῶν Τριάκοντα, εἰ μὴ μεγάλα τὸν δῆμον τῶν Ἀθηναίων καὶ ἀνήκεστα κακὰ εἰργάσω. ἐὰν μὲν οὖν φάσκῃ Φρύνιχον ἀποκτεῖναι, τούτων μέμνησθε, καὶ τοῦτον τιμωρεῖσθε ἀνθ' ὧν ἐποίησεν· ἐὰν δ' οὐ φάσκῃ, ἔρεσθε αὐτὸν διότι φησὶν Ἀθηναῖος ποιηθῆναι. ἐὰν δὲ μὴ ἔχῃ ἀποδεῖξαι, τιμωρεῖσθε αὐτὸν, ὅτι καὶ [1]ἐδικάζετο καὶ [2]ἐξεκλησίαζε καὶ ἐσυκοφάντει πολλοὺς, ὡς Ἀθηναῖος τοὔνομα ἐπιγραφόμενος.

ιθʹ. Ἀκούω δὲ αὐτὸν παρασκευάζεσθαι ἀπολογεῖσθαι, [3]ὡς ἐπὶ Φυλήν τε ᾤχετο καὶ συγκατῆλθεν [4]τοῖς ἀπὸ Φυλῆς· καὶ τοῦτο μέγιστον ἀγώνισμα εἶναι. ἐγένετο δὲ 497
τοιοῦτον. ἦλθεν οὗτος ἐπὶ Φυλήν — καίτοι πῶς ἂν γένοιτο ἄνθρωπος μιαρώτερος, ὅστις, εἰδὼς ὅτι εἰσί τινες ἐπὶ Φυλὴν τῶν ὑπὸ τούτου ἐκπεπτωκότων, ἐτόλμησεν ἐλθεῖν ὡς τούτους; —· ἐπειδὴ δὲ εἶδον αὐτὸν, τάχιστα συλλαβόντες ἄγουσιν ἄντικρυς ὡς ἀποκτενοῦντες, οὗπερ καὶ τοὺς ἄλλους ἀπέσφαττον, εἴ τινα λῃστὴν ἢ κακοῦργον [5]λάβοιεν. στρατηγῶν δὲ Ἄνυτος ἐπὶ Φυλὴν οὐκ ἔφη χρῆναι ποιεῖν αὐτοὺς ταῦτα, λέγων ὅτι [6]οὐχ οὕτω διακέοιντο ὥστε τιμωρεῖσθαί τινας τῶν ἐχθρῶν, ἀλλὰ νῦν μὲν δεῖν αὐτοὺς ἡσυχίαν ἔχειν, εἰ δέ ποτε οἴκαδε κατέλθοιεν, τότε καὶ τιμω-

[1] ἐδίκαζε A. [2] ἐκκλησίαζε T. R. A. [3] ὡς καὶ ἐπὶ T.
[4] τοῖς om. T. R. A. [5] συλλάβοιεν T. R. A. [6] οὔπω T. R. A.

Τιμωρεῖσθαι] Ego malim aut τιμωρήσασθαι, ut modo præcessit, aut eòdem sensu τετιμωρῆσθαι. Idem.

Ὡς ἐγώ φημι] Redit, non ad proximum ἀδικεῖ, sed ad remotius ὅτι προσποιεῖται μόνον ἀπεκτονέναι τὸν Φρύνιχον, οὐκ ἀποκτείνας. Idem.

Διότι φησὶν] Διὰ τί φησίν. Cont.

Ὅτι καὶ ἐδικάζετο κ. τ. λ.] Melius ὅτι καὶ ἐδίκαζε καὶ ἐκκλησίαζε. Vid. supra. Taylor. Tutius visum fuit vulgatam revocari. Reisk.

Τοῦτο μέγιστον] Pone alterutrum horum vocabulorum deesse videtur αὐτῷ. *et hoc ei firmum imprimis esse propugnaculum, quo fidat.* ἀγώνισμα h. l. idem est atque ἔλεγχος, aut πίστις, aut τεκμήριον, argumentum, quo quis fretus certet cum adversario, utaturque ad causam suam evincendam. Idem.

Μιαρώτερος] Subaudi τούτου. et tum parenthesis in hoc vocabulo μιαρ. est claudenda. Idem.

Τινες ἐπὶ Φυλὴν] Similis dictio illi notæ οἱ ἑπτὰ ἐπὶ Θήβας. subauditur συνελθόντες. Idem.

ῥήσοιντο τοὺς ἀδικοῦντας. ταῦτα λέγων αἴτιος ἐγένετο τοῦ ἀποφυγεῖν τοῦτον ἐπὶ Φυλήν· ἀνάγκη δὲ [1]ἦν στρατηγοῦ
498 ἀνδρὸς ἀκροᾶσθαι, εἴπερ ἔμελλον σωθήσεσθαι. ἀλλ' [2]ἕτερον· οὔτε γὰρ συσσιτήσας τούτῳ οὐδεὶς φανήσεται οὔτε σύσκηνος γενόμενος, οὔτε ταξίαρχος εἰς τὴν φυλὴν κατατά-
499 ξας, ἀλλ' ὥσπερ ἀλιτηρίῳ οὐδεὶς ἀνθρώπων αὐτῷ διελέγετο. καί μοι κάλει τὸν ταξίαρχον.

ΜΑΡΤΥΣ.

ἐπειδὴ δὲ διαλλαγαὶ πρὸς ἀλλήλους ἐγένοντο καὶ ἔπεμψαν οἱ πολῖται ἐκ Πειραιῶς τὴν πομπὴν [3]εἰς πόλιν, ἡγεῖτο μὲν Αἴσιμος τῶν πολιτῶν, οὗτος δὲ οὕτω τολμηρὸς καὶ

[1] ἦν τοῦ στρατηγοῦ R. [2] ἕτερόν τι ἐποίησαν· οὔτε A. [3] εἰς τὴν πόλιν R.

Στρατηγοῦ ἀνδρὸς] Prior lectio erat τοῦ στρατηγοῦ ἀνδρός. Stephanus Articulum ejecit. Forte scripsit Lysias, τοῦ στρατηγοῦντος ἀκροᾶσθαι: ut supra στρατηγῶν δὲ Ἄνυτος. Markland. Revocavi τοῦ ex Aldina, quod Stephanus seu prætervideerat, seu exterminaverat. Verum tum leg. erit: τοῦ στρατηγοῦ ἄνδρας φυγάδας ἀκροᾶσθαι. Reisk.

Ἀλλ' ἕτερον] Imo vero ἀλλ' ἐτήρουν. *verumtamen acribus oculis observabant*, aut ἔφευγον *devitabant*, eum, ab ejus consortio refugiebant. Reisk. τι ἐποίησαν addidi, *sed aliud quid fecerunt*, i. e. aliud ipsi pœnæ genus inflixerunt. Auger.

Τῶν τοιούτων] Scil. τοῦ μικρὸν διαλέγεσθαι καὶ κοσμίως ἀπέρχεσθαι. qui nil curant in congressibus cum aliis simiolas imitari, gestusque exprimere histrionicos, cujusmodi gestus belluli adolescentes, elegantiæ laudem atque gratiam aucupantes, a magistris saltandi discunt. Idem.

Οὐδὲν πέπαυνται] Idem est ac si dixisset: ὅτι οὐδέν ἐστι μέρος τῶν τῆς πόλεως πραγμάτων, ὃ οὐκ ἔπραξαν, vel οὗ ἠμέλησαν. Idem.

πράττοντες, ἅμα δὲ ὑμᾶς ὁρῶν — τὰ γὰρ ἀληθῆ χρὴ λέγειν — τούτους μόνους ἀξίους νομίζοντας εἶναι, ὥστε ὁρῶν ὑμᾶς ταύτην τὴν γνώμην ἔχοντας, τίς οὐκ ἂν ἐπαρθείη πράττειν καὶ λέγειν ὑπὲρ τῆς πόλεως; ἔτι δὲ τί ἂν τοῖς τοιούτοις ἄχθοισθε; οὐ γὰρ ἕτεροι περὶ αὐτῶν κριταί εἰσιν, ἀλλ' ὑμεῖς.

Τούτους] Scil. τοὺς, ὥσπερ ἐγὼ νῦν, φιλοτιμότερον διατεθέντας. qui gloriæ studio ad orationis quandam efferantur exsultationem quasi atque insolentiam. IDEM.

Ἀξίους] Subaudi λόγου. IDEM. Quod velim addi. AUGER.

Ἄχθοισθε] Ἀχθοίμην. SCHOTT. F. ἔτι δὲ τί ἂν τοῖς τοιούτοις ἄχθοιντο: οὐ γὰρ ἐκεῖνοι περὶ αὐτῶν κριταί εἰσιν, ἀλλ' ὑμεῖς. TAYLOR. Si nihil desit, conjicio: τί ἄν τις τούτοις ἀχθεσθῇ; οὐ γὰρ etc. *præterea, quid si aliquis his irascatur?* quid hoc ad me? *non enim alii, sed vos harum rerum judices estis.* Consentanea sunt hæc τῇ παῤῥησίᾳ, qua per totam orationem usus est. Schottus legit ἀχθοίμην, paulo obscurius, si sequentia spectes. Paulo ante ἀξίους ponitur simpliciter et sine adjuncto, ut ap. Matt. X. 11. ἐξετάσατε, τίς ἐν αὐτῇ ἄξιός ἐστι. "meritis gravem" eadem metaphora dixit Virgilius et eodem sensu. MARKLAND. Bene habet vulgata. Sententiam hujus loci brevitate non nihil obscuratam studui in Latinis admovenda quasi face circumlocutionis illuminare. REISK.

ΛΥΣΙΟΥ

ΠΕΡΙ ΔΗΜΟΣΙΩΝ [1]ΧΡΗΜΑΤΩΝ.

ΥΠΟΘΕΣΙΣ.

Διαδικασία cum fisco de pecuniis jam publicandis. Cujus historiam turbulentus homo Heraldus (Animadv. in Salmas. III. 6.) dum increpanti similis in hominem insurgit omnium quos unquam novi longe doctissimum, neque consecutus est neque consequi voluisse videtur. Erato moritur obæratus, relictis filiis, Erasiphone, Eratone, et Erasistrato. Illorum, Erasiphonis sc. et Eratonis, publicantur bona. Ne igitur et Erasistrati publicarentur quoque, atque ita de sorte in periculum veniret, intercedit orator cui ea bona Erasistrati debebantur. Hæc summa causæ quæ lecturo cetera complanabit.

Pag. ed. H. Steph. 148. 4 — Pag. ed. Reisk. 586

α΄. ΙΣΩΣ τινὲς ὑμῶν, ὦ ἄνδρες δικασταὶ, διὰ τὸ βού- 586
λεσθαί με ἄξιον εἶναί τινος ἡγοῦνται καὶ εἰπεῖν ἂν μᾶλλον
ἑτέρου δύνασθαι· ἐγὼ δὲ τοσούτου δέω περὶ τῶν μὴ προσ- 587
ηκόντων ἱκανὸς εἶναι λέγειν, ὥςτε δέδοικα μὴ καὶ περὶ ὧν 588

[1] ΑΔΙΚΗΜΑΤΩΝ R. A.

ΔΗΜΟΣΙΩΝ ΑΔΙΚΗΜΑΤΩΝ] Quæstio agitatur de pecuniis publicis. Non igitur amplius tolerari potuit δημοσίων ἀδικημάτων. Itaque pro ἀδικημάτων dudum reponi voluit Scal. κτημάτων, quo rursus quasi improbato, διαδικασμάτων. Vales. ad Harpocr. Λυσίου πρὸς τὸ δημόσιον ἀδικίου. Optime tamen omnium Schott. et hic et Observat. Human. IV. 10. χρημάτων: quo præeunte titulum reformavimus. Taylor. Inscriptio hujus Orationis est Δημοσίων ἀδικημάτων. Schottus ita: *Rectius* χρημάτων. *de publicatis bonis.* At hoc foret Δημευθέντων (non Δημοσίων) Χρημάτων. Et sane hic Titulus multo aptius conveniret Argumento Orationis; in qua non agitur de *Delictis in publicum*, sed de *Publicatis Bonis*. Doctiss. Valesius in Not. ad Maussacum in Harpocrat. p. 209. ita concipit Titulum hujus Orat. πρὸς τὸ δημόσιον ἀδικίου. mox tamen (si verba istius Annotationis recte distinguuntur) retinet Vulgatam δημοσίων ἀδικημάτων. Markland. Veterem hujus orationis titulum, qui est περὶ δημοσίων ἀδικημάτων, arbitratu suo Taylor ad mentem Schotti conformaverat, pro postrema voce χρημάτων sufficiens. Ego vetustam probam lectionem in sedem suam restitui, unde per nefas depulsa fuerat. Profecto confiscatio alicujus fundi præter jus et fas facta, ἀδίκημα δημόσιον est, injuria ab universo populo privato facta. Eamque sibi quoque oblatam a populo fuisse contendit actor. Simillima in causa, tractata in oratione proxima, quæ est in Poliuchum, populus dicitur ob bona per nefas fisco addicta, παρανόμων φεύγων. Sed ais, hic tantum de una agitur injuria, non de pluribus. Debebat ergo non περὶ δημοσίων ἀδικημάτων, sed περὶ δημοσίου ἀδικήματος inscribi. Audio. Sed falleris, quanquam recte videris colligere. salva res est. titulus hic, non uni huic soli proprius est orationi, sed communis ei est cum duabus proximis insequentibus, eodem in genere causæ versantibus. Solebant ejusmodi tituli καθολικοὶ seu universales, totis generibus causarum communes, orationi, quæ quoque in genere prima quæque esset, præscribi, ut οἱ συμβουλευτικοὶ, οἱ ἐπιτροπικοὶ, οἱ παραγραφικοὶ, aliique similes apud Demosthenem. Reisk.

ἀναγκαῖόν μοι ἐστὶ λέγειν, ἀδύνατος ὦ τὰ δέοντα εἰπεῖν. οἴομαι μὲν οὖν, ἂν πάντα διηγήσωμαι τὰ πεπραγμένα ἡμῖν πρὸς Ἐράτωνα καὶ τοὺς ἐκείνου παῖδας, ῥᾳδίως ἐξ αὐτῶν ὑμᾶς εὑρήσειν ἃ προσήκει σκέψασθαι περὶ ταύτης τῆς διαδικασίας. ἐξ ἀρχῆς οὖν ἀκούσατε.

589 β′. Ἐράτων ὁ Ἐρασιφῶντος πατὴρ ἐδανείσατο παρὰ
τοῦ ἐμοῦ πάππου τάλαντα δύο. ὅτι μὲν οὖν ἔλαβε τἀργύ-
ριον καὶ ὡς τοσοῦτόν [1] γε ἐδεήθη δανεῖσαι, ὧν ἐναντίον ἐδόθη,
μάρτυρας ὑμῖν παρέξομαι· ἃ δ᾽ ἐχρήσατο αὐτῷ καὶ ὅσα
590 ὠφελήθη, οἱ μᾶλλόν τε ἐμοῦ εἰδότες καὶ παραγεγενημένοι
οἷς ἐκεῖνος ἔπραττε διηγήσονται ὑμῖν καὶ μαρτυρήσουσι. καί
μοι κάλει μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ἕως τοίνυν ὁ Ἐράτων ἔζη, τούς τε τόκους ἀπελάμβανον ἐγὼ

[1] τε T.

Διαδικασίας] Exeunte oratione scripsit ἀξιῶ μοι ψηφίσασθαι τὸ διαδίκασμα eadem animi sententia, qua hic διαδικασίας. Unde magnus Scal. arripuit ΔΗΜΟΣΙΩΝ ΔΙΑΔΙΚΑΣΜΑΤΩΝ, ad titulum concinnandum, uti modo vidimus. Quod factum nollem, cum potius commendat istum, quem nos contra exhibuimus περὶ δημοσίων χρημάτων. Διαδικασία enim aut est simpliciter ἀμφισβήτησις, lis forensis de qualibet re orta et agitata: aut est denuo et peculiariter ea, qua committuntur inter se duo homines de ministeriis obeundis, disceptatio. Hæc conservavit Hesych. Διαδικασία· ἡ ἐπίκρισις τοῦ ἐπιτηδείου πρὸς λειτουργίαν καὶ πρὸς τὰ ἄλλα. ἢ ἀμφισβήτησις. κρίσις. Tertio autem, et potissimum, quod recentioris Jurisprudentiæ Atticæ consultos neglexisse et video et demiror simul, erat πρὸς τὸ δημόσιον de pecuniis publicatis aut publicandis controversia: exceptio, quæ partem rei fisco adjudicandæ vendicat. Etym. Mag. Διαδικάσαι τισὶ πρὸς τὸ δημόσιον, ὡς ὀφειλομένων αὐτῷ χρημάτων ἐν τῇ δημευθείσῃ οὐσίᾳ. Ulpian. in Timocrat. Διαδικασία δέ ἐστιν ὄνομα δίκης περὶ χρημάτων ἢ περὶ κτημάτων. Idem ad Chersonesit. Διαδικασία ἡ πρὸς ἀλλήλους ἔρις ἢ φιλονεικία· κυρίως δὲ διαδικασία ἐστὶν ἐπιχειρημάτων (corrige ἐπὶ χρημάτων) ἀμφισβήτησις. Budæus Ulpianum damnat neque valere arbitratur eam διαδικασίας κυριότητα. TAYLOR.

Τοσοῦτόν τε] Π. τοσοῦτόν γε. H. STEPH. MARKLAND. τοσούτου. SCAL.

Δανεῖσαι] Ad δανεῖσαι subauditur αὐτῷ. REISK.

Ἃ δὲ ἐχρήσατο αὐτῷ, etc.] Videtur deesse εἰς ante ἃ. Demosthenes adv. Timotheum §. α′. ἀναγκαῖόν μοι δοκεῖ εἶναι ἐξ ἀρχῆς ἅπαντα διηγήσασθαι ὑμῖν, τά τε ὀφειλόμενα, καὶ εἰς ὅ τι ἕκαστον αὐτῶν κατεχρήσατο. et infra §. θ′. καὶ εἰς ὅ τι ἔλαβε τὸ ἀργύριον, καὶ εἰς ἃ κατεχρήσατο. quod mox plenius effert: τὴν χρείαν εἰς ἣν κατεχρήσατο τῷ ἀργυρίῳ. Paulo post: καὶ τἄλλα τὰ συγκείμενα. F. καὶ τἄλλα κατὰ τὰ συγκείμενα, *secundum pacta*. Xenophon Ἀναβασ. VII. 2. 7. πέμπει παρὰ Φαρνάβαζον κατὰ τὰ συγκείμενα. Sæpe ita loquitur Thucydides. 'Καὶ et κατὰ se millies loco detruserunt. aliquando vocabulum alterum periit:' ut vere notat doctissimus I. P. D'Orville in Vanno, p. 551. quod et hoc forte loco propter vicinitatem istarum vocum accidit. MARKLAND.

Οἱ μᾶλλόν τε ἐμοῦ εἰδότες, καὶ παραγεγενημένοι οἷς ἐκεῖνος ἔπραττε,] Pro οἷς Schottus legendum putat ὅτε. non bene. vertendum erat: *et qui negotiis ejus interfuerunt*. Pro τε iterum scribendum γε, frequenti vice literarum T et Γ; unde iste error insignis in Longino περὶ Ὕψ. segm. 35. τοῦ γένους ἐκείνου πυρὸς, pro γηγενοῦς, *terrigenæ istius ignis:* de Ætna loquitur. nimirum scriptum erat pro γηγενοῦς τηγενοῦς: unde Grammaticus fecit, quod Tu, vel Ego, vel quivis exscriptor fecisset, τοῦ γένους. IDEM.

Οἷς] Ὅτε. SCHOTT. Infeliciter, ut patebit. Demosth. c. Steph. 2. juxta init. Οἱ δέ γε νόμοι οὐ ταῦτα λέγουσιν, ἀλλ᾽ ἃ ἂν εἰδῇ τις, καὶ οἷς ἂν παραγένηται πραττομένοις, ταῦτα μαρτυρεῖν κελεύουσι. Quem locum lego emendatius. TAYLOR.

καὶ τἄλλα τὰ συγκείμενα· ἐπειδὴ δὲ ἐτελεύτησε καταλιπὼν υἱοὺς τρεῖς, Ἐρασιφῶντα καὶ Ἐράτωνα καὶ Ἐρασίστρατον, οὗτοι οὐδὲν ἔτι ἡμῖν τῶν δικαίων ἐποίουν. ἐν μὲν οὖν τῷ πολέμῳ, διότι οὐκ ἦσαν δίκαι, οὐ δυνατοὶ ἦμεν παρ' αὐτῶν ἃ ὤφειλον πράξασθαι· ἐπειδὴ δὲ εἰρήνη ἐγένετο, ὅτε περ πρῶτον αἱ [1] ἀστικαὶ δίκαι ἐδικάζοντο, λαχὼν ὁ πατὴρ παντὸς τοῦ συμβολαίου Ἐρασιστράτῳ, ὅσπερ μόνος τῶν ἀδελφῶν ἐπεδήμει, κατεδικάσατο ἐπὶ Ξεναινέτου ἄρχοντος.
μάρτυρας δὲ καὶ τούτων παρέξομαι ὑμῖν. καί μοι κάλει 591
μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

γ΄. Ὅτι μὲν τὰ Ἐράτωνος δικαίως ἂν ἡμέτερα εἴη, ἐκ τούτων ῥᾴδιον εἰδέναι· ὅτι δὲ πάντα δημεύεται, ἐξ αὐτῶν [2][τῶν] [3]ἀπογράφων. τρεῖς γὰρ καὶ τέτταρες ἕκαστα
ἀπογεγράφασι. καίτοι τοῦτό γε παντὶ εὔγνωστον, [4]ὡς οὐκ 592
ἂν [5]παρέλιπον, εἴ τι ἄλλο τῶν Ἐράτωνος οἷόν τε ἦν δημεύειν, [6]οἱ πάντα τὰ Ἐράτωνος [7] ἀπογράφοντες· ἐγὼ δὲ πολὺν ἤδη
χρόνον [8] κέκτημαι. ὡς μὲν οὖν ἡμῖν οὐδετέρωθεν εἰσπράξασθαι 593

[1] ἀστυκαὶ T. R. A. [2] τῶν om. T. uncos om. R. A. [3] ἀπογράφῳ T.
[4] ὅτι T. R. A. [5] παραλιπόντες T. R. [6] οἱ om. T. R. ἀπογράφοντες τοίνυν A.
[7] ἀπέγραφον, καὶ λόγῳ πολὺν T. ἀπέγραφον, καὶ ἃ ἐγὼ πολὺν R. A. [8] κέκτηνται T.

Ὅτι μὲν κ. τ. λ.] Equidem sic rectius legi posse existimo: Ὅτι μὲν — ὅτι δὲ πάντα δημεύεται, ἐξ αὐτῶν ἀπογραφῶν (repetens ἀπὸ κοινοῦ, ῥᾴδιον εἰδέναι). Τρεῖς γὰρ ἢ τέτταρες ἕκαστα ἀπογεγράφασι. Et mox παρέλιπον repone me auctore pro illo παραλιπόντες. Post vero non longe: Πάντα τὰ Ἐράτωνος. mutilus hic locus hiansque videtur, nisi quid judicans fallor, et absque libris calamo exaratis sanare me posse diffidam. Neque enim hariolandi artem didici. Observat. hum. IV. 10. SCHOTT. Hic certe mutilatur oratio. Nihil enim de Eratonis bonis, nihil de eorum publicatione præmittitur. Locus, qui Schotto videtur hiare, non hiat. Ibi enim pro τὴν πάντα τὰ Ἐράτωνος, uti legit Ald. et Coisl. vel τὰ πάντα, ut Scalig., novam periodum ordior h. p. νῦν δὲ πάντα, κ. τ. λ. TAYLOR.

Δημεύεται] Bene habet. debet enim actor planum facere hanc esse διαδικασίαν seu actionem adversus ærarium: Mihi jus est, ait, in bona Eratonis. atqui fiscales ea vestri universa fisco adjudicarunt. hoc debet doceri, universa bona, nulla parte excepta, proscripta esse. ergo una illa quoque pars bonorum fuit proscripta, quam sibi actor ut oppigneratum vindicabat. REISK.

Τρεῖς — τέτταρες] Τρὶς — τετράκις. CONT.

Γὰρ] Redit hæc particula ad numerum pluralem, quem recte ait usurpatum esse. ἐξ αὐτῶν τῶν ἀπογραφῶν, *ex ipsis indicibus*, non ἐξ αὐτῆς τῆς ἀπογραφῆς, *ex ipso indice*. NAM plures sunt exhibiti indices, vel facti. REISK.

Ὅτι οὐκ ἂν παραλιπόντες] Num ὅτι οὐκ ἂν παρέλιπον. est quidem ea planissima lectio. verumtamen salvari potest etiam vulgata, tacite ad οὐκ ἂν repetendo e præmissis ἀπογεγράφασι. quæ est ratio tutissima. IDEM.

Πάντα] Sic exhibet secundum Stephanum Taylorana. Aldina, τὴν πάντα. In quo τὴν videtur τοίνυν latere. Quod si ita est, videtur ita legendum: δημεύειν. ἀπογράφοντες τοίνυν πάντα τὰ Ἐράτωνος, ἀπέγραφον καὶ ἃ ἐγὼ π. ἤ. χ. κέκτημαι. *in indicem referentes bona Eratonis omnia, referebant etiam in tabulas ea quæ ego jam dudum possideo.* IDEM.

Κέκτηνται] Dubium est, utrum κέκτηνται

οἷόν τε, ἂν ὑμεῖς ταῦτα δημεύσητε, εὔγνωστόν μοι δοκεῖ εἶναι· [1] ὡς δὲ τὴν ἀμφισβήτησιν ἐποιησάμην πρός τε ὑμᾶς καὶ τοὺς ἰδιώτας, ἔτι ἀκούσατε.

δ'. Ἕως μὲν γὰρ [2] ἡμῖν οἱ Ἐρασιφῶντος οἰκεῖοι τούτων τῶν χρημάτων ἠμφισβήτουν, ἅπαντα ἠξίουν ἐμὰ εἶναι, διότι ὑπὲρ ἅπαντος τοῦ χρέους ἀντιδικῶν πρὸς τὸν πατέρα ὁ Ἐρασίστρατος ἡττήθη· καὶ τὰ μὲν Σφηττοῖ ἤδη τρία ἔτη μεμίσθωκα, τῶν δὲ Κικυννοῖ καὶ τῆς οἰκίας ἐδικαζόμην τοῖς ἔχουσι. πέρυσι μὲν οὖν διέγραψάν μου τὰς δίκας, ἔμποροι φάσκοντες εἶναι· νυνὶ δὲ λαχόντες ἐν τῷ Γαμηλιῶνι μηνὶ οἱ ναυτοδίκαι οὐκ ἐξεδίκασαν. ἐπειδὴ δ' ὑμῖν τὰ Ἐρασιφῶντος δημεύειν ἔδοξε, ἀφεὶς τῇ πόλει [3] τὼ δύο μέρη τὰ Ἐρασι-
594 στράτου ἀξιῶ μοι ψηφισθῆναι, διότι ταῦτά γε ἤδη καὶ πρότερον ἐγνώκατε ἡμέτερα εἶναι. ὡρισάμην οὖν ἐμαυτῷ τὸ τρίτον μέρος τῆς ἐκείνων οὐσίας, οὐ τὴν ἀκρίβειαν ἐπισκεψάμενος, ἀλλὰ πολλῷ πλέον ἢ [4] τὼ δύο μέρη τῷ δημοσίῳ ὑπολιπών. ῥᾴδιον δὲ γνῶναι ἐκ τοῦ τιμήματος τοῦ ἐπιγεγραμμένου τοῖς χρήμασιν. ἅπαντα μὲν γὰρ πλείονος ἢ ταλάντου τετίμηνται, ὧν δ' ἐγὼ ἀμφισβητῶ, τῷ μὲν πέντε
595 μνᾶς, τῷ δὲ χιλίας δραχμὰς ἐπεγραψάμην· καὶ εἰ πλείονος

[1] διότι A. [2] ὑμῖν T. A. [3] τὰ T. R. A.

an κέκτημαι in suis Codd. legerit Ald. qui κέκτηναι dedit. κέκτημαι est lectio Codd. Steph. et Coisl. et quam divinando proferebat Scalig. Taylor. MS. κέκτημαι: quæ si vera Lectio sit, pro λόγῳ reponendum videtur ἔργῳ: *revera* enim, ut infra probat, possessor fuerat per aliquot annos. Quæ præcedunt suspecta habeo. Mox, ὡς μὲν οὖν ὑμῖν etc. lege ἡμῖν: et ita paulo post, ἕως μὲν γὰρ ἡμῖν, non ὑμῖν. Markland.

Καὶ τοὺς] Καὶ πρὸς τούς. Cont.

Κικυνοι] Κικυννοῖ, Cod. Steph. et rectius.

ΛΥΣΙΚΡΑΤΗΣ. ΛΥΣΙΘΕΙΔΟΥ. ΚΙΚΥΝΝΕΥΣ. ΕΧΟΡΗΓΕΙ.

Hesychius male se habet, qui legit Κικινεῖς δῆμος τῆς Ἀκαμαντίδος φυλῆς, neque unum ἁμάρτημα ἁμαρτάνει. Taylor.

Πέρυσι μὲν οὖν, κ. τ. λ.] Vid. Petit. LL. Attic. Lib. 5. Tit. 5. l. ult. Idem.

Ναυτοδίκαι] Nautodicæ erant mercatorum judices juxta Suidam, quem vide. Harpocration aliud ipsis munus videtur adscribere. Cæterum citat hanc vocem ut quæ reperiatur in oratione adversus Alcibiadem, quæ ibi nullatenus reperitur. Auger.

Ἐπειδὴ δ' ὑμῖν, κ. τ. λ.] Corrigo: ἐπειδὴ δ' ὑμῖν τὰ Ἐρασιφῶντος δημεύειν ἔδοξε, ἀφεὶς τῇ πόλει τὰ δύο μέρη, τὰ Ἐρασιστράτου ἀξιῶ μοι ψηφισθῆναι. Taylor. Markland. Sententia est: postulo unam tertiam partem hæreditatis universæ mihi adjudicari, illam puta, quæ Erasistrato cessit, trium fratrum minimo natu, postquam duas reliquas partes, quæ reliquis duobus fratribus concesserunt, vobis habendas permisi. Reisk.

Τετίμηνται] Scaligero placebet τετίμηται in singulari. accipiebat ille nimirum in significatu passivo. *æstimata sunt.* Verum sive passivo sive activo sensu accipias, defendi posse videtur vulgata. nam si passive accipias, haud inusitatum est Lysiæ neutra pluralia cum verbis in numero plurali copulare. Iterum videtur potius in sensu activo accipiendum esse, pro *æstimarunt*, sive fratres illi tres, filii Eratonis senioris, vel potius illi tres vel quatuor magistratus ab ærario deputati ad æstimandum bona Eratonis universa in tabulasque referendum. Idem.

Χιλίας δραχμὰς] Perinde fuisset, si scripserat: τῷ μὲν πέντε μνᾶς, τῷ δὲ δέκα

ἀξία ἐστὶν ἡ τοσούτου [1] ἀποκηρυχθέντων τὸ περιττὸν ἡ πόλις λήψεται.

έ. Ἵνα οὖν εἰδῆτε ὅτι ταῦτα ἀληθῆ ἐστὶ, μάρτυρας ὑμῖν
παρέξομαι πρῶτον μὲν τοὺς μεμισθωμένους παρ' ἐμοῦ [2] τὸ
149. 1 Σφηττοῖ [3] χωρίον, ἔπειτα [4] τοῦ Κικυννοῖ τοὺς γείτονας, οἳ
ἴσασιν ἡμᾶς ἤδη [5] τρία ἔτη ἀμφισβητοῦντας, ἔτι δὲ τούς τε
πέρυσιν ἄρξαντας, πρὸς οὓς αἱ δίκαι ἐλήχθησαν, καὶ τοὺς
νῦν ναυτοδίκας. ἀναγνωσθήσονται δὲ ὑμῖν καὶ αὗται αἱ 596
ἀπογραφαί· ἐκ τούτων γὰρ μάλιστα γνώσεσθε ὅτι οὔτε
νεωστὶ ταῦτα τὰ χρήματα ἀξιοῦμεν ἡμέτερα εἶναι, οὔτε 597

[1] ἐπικηρυχθέντων T. R. A. [2] τὰ T. [3] χωρίον om. T. [4] τὰ T. τῶν R. A. [5] τρία ἔτη om. T.

ἐπεγραψάμην. Verum illi scriptores eodem orationis tenore et per drachmas et per minas numerare solent. Eupolis ἐν Κόλαξι,

Δεῖπνον; θὲς ἑκατὸν δραχμάς. ἰδού.
Οἶνον; θὲς ἑτέραν μνᾶν.

Taylor. Ita phrasin construe: ἐπεγραψάμην πέντε μνᾶς τῷ μὲν ὧν (τούτων ἂν) ἀμφισβητῶ, τῷ δὲ χιλίας δραχμάς. Auger.

Τοσούτου] Τοσούτων. Cont.

Τὸ Σφηττοῖ] Τὰ Σφηττοῖ. Scal. Cont. Taylor. Supra dixit τὰ Σφηττοῖ, quod rectius puto. Sequitur: ἔπειτα τὸ Κικυννοῖ, τοὺς γείτονας οἳ ἴσασιν etc. Lego et distinguo: ἔπειτα τῶν Κικυννοῖ τοὺς γείτονας, οἳ ἴσασιν etc. ut supra: τῶν δὲ Κικυννοῖ etc. Mox, τοὺς πέρυσιν ἄρξαντας sunt οἱ ἔμποροι supra nominati, qui litem *ceperunt*, sed διέγραψαν, *sustulerunt*, ἀνεῖλον τὸ ἔγκλημα, non ad exitum perduxerunt. Vide Hesychium, Harpocrationem, et Pollucem VIII. 6. segm. 57. pessime enim Interpres, *diem dixere*. Τὴν γραφὴν καταθέσθαι vocat hoc Ælianus V. H. II. 4. et ἄρσιν τῆς γραφῆς, ibidem. Markland.

Ἐλέχθησαν] Ἐλήχθησαν. Cont. Reposui, invitis Codd. et quod *isti* existimare possunt, invita etiam Grammatica, pro ἐλέχθησαν ἐλήχθησαν. Quæ vox cum nescio utrum alicubi occurrat, necne, in eo tempore, attamen non recte formari non potest. Uti a λέγω, λέξω, ἔλεξα, ἐλέχθην, ita a λήχω inusitat. λήξω, derivetur ἔληξα et proinde ἐλήχθην necesse est. τοὺς ἄρχοντας πρὸς οὓς αἱ δίκαι ἐλήχθησαν. Mœris: λαχεῖν δίκην, Ἀττικῶς· ἔγκλημα ἀποδιδόναι, Ἑλληνικῶς. Plenius T. Magister: λαγχάνω δίκην τῷ δεῖνι, ἤγουν κρίσιν, Ἀττικοὶ λέγουσιν, οὐκ ἐπιφέρω. διὰ κλήρου γὰρ τὰς δίκας ἐποίουν. Deinde ex suo Aristide fidem adstruit. Nos ex potioribus. Ἔπειτα δὲ καὶ τῶν ἄλλων τῶν λαχόντων τε δίκας αὐτῷ πρὸς τὸν Πολέμαρχον — ἐκ μὲν τούτων πεισθεὶς πρὸς τὸν Πολέμαρχον αὐτῷ τὴν δίκην ἔλαχον. N. c. Pancleona, et alibi sæpius. Ἡνίκα τὰς δίκας ἔλαχον τῶν πατρῴων τοῖς ἐπιτρόποις. Demosth. c. Mid. p. 615. Edit. Wolf. et proxime: δίκην δὲ τούτῳ λαχὼν ὕστερον τῆς κακηγορίας. et deinde: ἀλλὰ λαχὼν ἐξούλης πάλιν. paucis interjectis demum: Οἴδαμεν Δημοσθένην, ᾧ μαρτυροῦμεν, κρίσιν λελογχότα Μειδίᾳ ἐξούλοις. corrige ἐξούλης, ut supra. Οὐδεμιᾷ φιλοπραγμοσύνῃ — τὴν δίκην ἔλαχον ταυτηνὶ Βοιωτῷ οὐδ' ἠγνόουν, ὅτι πολλοῖς ἄτοπον δόξει τὸ δίκην με λαγχάνειν, κ. τ. λ. Idem c. Bœot. init. Τὸ δὲ μετὰ τοῦτο λήξεις δικῶν ἐποιήσαντο. Æsch. c. Timarch. p. 9. Edit. Steph. Corrigo jam, quæ itidem deformantur. Προεῖπεν αὐτῷ ἐπὶ Παλλαδίῳ φόνου, καὶ ἔλεγε τὴν δίκην Στέφανος οὑτοσί. Demosth. c. Neær. lege ἔλαχε. Lex. Biblioth. Coisl. Platonic. Λαχεῖν, δικάζειν, γράψασθαι. F. Λαχεῖν δίκην, γράψασθαι. Contra apud Andoc. de myster. p. 16. 3. ed. Steph. Ταύτην Καλλίας ἔπειθε Λέαγρον, χρήματα ὑπισχνούμενος, ἐᾶν αὐτὸν λαβεῖν· αἰσθόμενος δ' ἐγὼ εὐθὺς ἔθηκα παράστασιν, καὶ ἔλαχον προτέρῳ μὲν Λεάγρῳ, ὅτι εἰ μὲν σὺ βούλῃ ἐπιδικάζεσθαι, ἔχε τύχῃ ἀγαθῇ· εἰ δὲ μὴ, ἐγὼ ἐπιδικάσομαι. Ubi nihil de Judiciis: intercedunt solummodo cum Leagro *sermones*. Καὶ ἔλεγον Λεάγρῳ, ὅτι, εἰ μὲν σὺ, κ. τ. λ. Sed occurrit *passive*, quod dudum volui, apud Polluc. Δίκαι δὲ πρὸς αὐτὸν [Βασιλέα] λαγχάνονται ἀσεβείας, κ. τ. λ. VIII. 2. et paucissimis interjectis: Δίκαι δὲ πρὸς αὐτὸν [Πολέμαρχον] λαγχάνονται μετοίκων, ἰσοτελῶν, κ. τ. λ. Taylor.

νυνὶ τῷ δημοσίῳ πλειόνων ἀμφισβητοῦμεν ἢ τῷ ἔμπροσθεν χρόνῳ τοῖς ἰδιώταις. καί μοι κάλει μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ϛ'. Ὅτι μὲν [1] οὖν, ὦ ἄνδρες δικασταὶ, οὐ παρὰ τὸ δίκαιον ἀξιῶ μοι ψηφίσασθαι τὸ διαδίκασμα, ἀλλ' [2] αὐτὸς τῇ πόλει πολλὰ τῶν ἐμαυτοῦ ἀφιεὶς τοῦτο ἀξιῶ μοι ἀποδοθῆναι, ἀποδέδεικται. ἤδη δέ μοι δοκεῖ δίκαιον εἶναι καὶ δεηθῆναι ὑμῶν τε καὶ τῶν συνδίκων ἐναντίον [3] ὑμῶν.

[1] οὖν om. T. A. [2] αὐτῇ T. A. [3] ὑμῶν, βοηθεῖν μοι τὰ δίκαια. A.

Ἢ τῷ ἔμπροσθεν χρόνῳ] Opinor: ἢ ἐν τῷ ἔμπροσθεν χρόνῳ. Scio Atticos præpositionem hanc sæpe omittere. Sed Noster, si bene memini, non ita solet in hac phrasi. Markland.

Ὅτι μὲν, ὦ ἄνδρες] Post οὖν, quod e Vindob. addidi, videtur ὑμᾶς deesse. Reisk.

Ἀλλ' αὐτὸς τῇ πόλει] Sic dedi de meo, pro vulgari ἀλλ' αὐτῇ πόλει. sed *ipsemet ultro, sponte mea, remisi* —. Idem.

ΛΥΣΙΟΥ

[1]ΠΕΡΙ ΤΗΣ ΔΗΜΕΥΣΕΩΣ ΤΟΥ ΝΙΚΙΟΥ ΑΔΕΛΦΟΥ ΕΠΙΛΟΓΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Eucratis filius, Niciæ τοῦ πάνυ nepos ex fratre, orationem habet de bonis suis publicandis necne. Latet ratio δημεύσεως, nam δευτερολογία est (non utique fragmentum, ut male accipi a quibusdam sentio), et potius in majorum laudatione quam in controversia ponitur.

Pag. ed. H. Steph. 149. 14 α΄. ΕΝΘΥΜΗΘΗΤΕ τοίνυν, ὦ ἄνδρες δικασταὶ, οἵτινες ὄντες πολῖται καὶ αὐτοὶ καὶ ὧν προσήκοντες ἀδικοῦ- Pag. ed. Reisk. 598

[1] ΚΑΤΑ ΤΟΥ ΠΟΛΙΟΥΧΟΥ T. R. ΠΕΡΙ ΤΗΣ ΔΗΜΕΥΣΕΩΣ ΤΟΥ ΝΙΚΙΟΥ ΑΔΕΛΦΙΔΟΥ ΕΠΙΛΟΓΟΣ A.

ΠΕΡΙ ΤΗΣ ΔΗΜΕΥΣΕΩΣ ΤΟΥ ΝΙΚΙΟΥ ΑΔΕΛΦΟΥ ΕΠΙΛΟΓΟΣ] Quid sit hominem δημεύεσθαι nondum comperi: Quod vero hæc oratio ullo modo ad Niciæ fratrem pertineat, id dudum comperi esse falsum. Πολυμαθέστατος Galenus in ὑπομνη. ά. εἰς τὸ κατ' ἰητρεῖον, laudat orationem Lysiæ κατὰ Πολιούχου. Exstant verba laudata αὐτολεξεὶ in hujus orationis fere capite: habitam vero fuisse c. Poliuchum proximum est, ut ostendam. Quo quid liquidius? Infra: Εὖ οἶδ', ὦ ἄνδρες δικασταὶ, ὅτι περὶ πλείστου ἂν ποιήσαιτο πολίαρχος τοῦτον τὸν ἀγῶνα κατορθῶσαι. Ubi potius textum ex Galeno, quam ex textu Galenum, placuit reformare: idque plurimis de causis. Ad Galeni lectionem accedunt Codd. nostri Steph. et Coisl. Πολίαχος. Quod cum nauci sit, scriptum olim sine dubio Πολίοχος. Atque id respexit, credo, Harpocratio, qui ex Rhetorum monumentis pleraque nomina κύρια conservavit. Πολίοχος καὶ Πολυαλκὴς, ὀνόματα κύρια. Suid. tamen Πολίουχος, et rectius, unde unde reperit. Et fortasse Πολίουχος erat nomen Atheniensibus commendatissimum propter ὁμωνυμίαν Minervæ Præsidis Civitatis: Aristoph. Lysistr. 344.

Ἐφ' οἷσπερ, ὦ χρυσολόφα,
Πολίουχε, σὰς ἔσχον ἕδρας,
Καί σε καλῶ σύμμαχον, ὦ
Τριτογένει'.

Herodot. Cl. 160. Ἐντεῦθεν δὲ ἐξ ἱροῦ Ἀθηναίης Πολιούχου ἀποσπασθεὶς, ὑπὸ Χίων ἐξεδόθη. Atque hæc eo libentius commentabar, quoniam restitui debet hoc cognomen in Inscriptione apud Spon. Miscell. Erudit. Antiq. X. 64.

ΑΡΧΟΝΤΩΝ. ΑΣΚΛΗΠΙΑΔΟΥ. Β΄.
ΚΑΙ. ΚΟΙΗΤΟΥ. Β΄. ΚΑΙ. ΑΛΕΞΑΝΔΡΟΥ.
ΕΥΦΡΟΣΥΝΟΥ. ΙΕΡΑΣΑΜΕΝΟΥ.
ΠΟΛΥΟΥΧΟΥ. Β΄.

Lege ΠΟΛΙΟΥΧΟΥ. Maxime autem in altera Messanæ ex Gualthero:

ΑΣΚΛΗΠΙΩΙ.
ΚΑΙ ΥΓΕΙΑΙ.
ΣΩΤΗΡΣΙΝ.
ΠΟΛΥΙΟΚΟΙΣ.

Omnino literis fere iisdem transpositis ΠΟΛΙΟΥΧΟΙΣ. Vid. Gruter. LXVIII. 5. Fabrett. p. 119. Quod si retineatur Πολίαρχος in textu Lysiæ, neque enim de eo valde laboro, quo errore tenetur Scheffer. ad Ælian. V. H. VIII. 4. qui ait se ne-

599 μενοι ἀξιοῦμεν ἐλεεῖσθαι ὑφ' ὑμῶν καὶ τῶν δικαίων τυγ-
χάνειν· οὐ γὰρ μόνον περὶ τῆς οὐσίας ἀγωνιζόμεθα, ἀλλὰ
καὶ περὶ τῆς πολιτείας, εἰ χρὴ δημοκρατουμένης τῆς πόλεως
ἡμῖν μετεῖναι. πρῶτον μὲν οὖν περὶ Νικίου τοῦ ἡμετέρου
θείου ἀναμνήσθητε. ἐκεῖνος γὰρ ὅσα μὲν τῇ ἑαυτοῦ γνώμῃ
χρώμενος ὑπὲρ τοῦ πλήθους τοῦ ὑμετέρου ἔπραξε, παντα-
600 χοῦ φανήσεται πολλῶν μὲν ἰδίᾳ ἀγαθῶν αἴτιος τῇ πόλει
γεγενημένος, πλεῖστα δὲ καὶ μέγιστα κακὰ τοὺς πολεμίους
εἰργασμένος· ὅσα δὲ οὐ βουλόμενος ἀλλ' ἄκων ἠναγκάσθη
ποιῆσαι, τῶν μὲν κακῶν οὐκ ἐλάχιστον αὐτὸς μετέσχε
μέρος, τὴν δ' αἰτίαν τῆς συμφορᾶς οἱ πείσαντες ὑμᾶς
δικαίως ἂν ἔχοιεν, ἐπεὶ τήν γε πρὸς ὑμᾶς εὔνοιαν καὶ τὴν
ἀρετὴν αὐτοῦ ἐν ταῖς εὐτυχίαις ταῖς ὑμετέραις καὶ ταῖς
δυστυχίαις ταῖς τῶν ἐχθρῶν ἐπέδειξε· στρατηγῶν γὰρ
πολλὰς μὲν πόλεις εἷλε, πολλὰ δὲ καὶ καλὰ κατὰ τῶν
πολεμίων ἔστησε τρόπαια, ὧν καθ' ἓν ἕκαστον πολὺ ἂν
ἔργον εἴη λέγειν.

601 β'. Εὐκράτης τοίνυν, ἀδελφὸς μὲν ὢν ἐκείνου, πατὴρ δὲ
ἐμός, ἤδη τῆς τελευταίας ναυμαχίας γεγενημένης, φανερὰν
ἐπεδείξατο τὴν εὔνοιαν ἣν εἶχε περὶ τὸ πλῆθος τὸ ὑμέτερον·
ἡττημένων γὰρ ἐν [1] [τῇ] ναυμαχίᾳ στρατηγὸς ὑφ' ὑμῶν
ᾑρημένος, καὶ παρακαλούμενος μετέχειν τῆς ὀλιγαρχίας

[1] τῇ om. T. uncos om. R. A.

minem Atheniensem hoc nomine apud veteres invenisse? Nam præter hunc, et illum apud Ælianum l. c. de quo dubitat, erat et Polyarchus vel Poliarchus quidam Cleonymi pater apud Isæum de Cleonym. hæred. et Themistocles Poliarchi τρίτος ἀπόγονος Θεμιστοκλέους. Pausan. Attic. c. 37. Athenienses omnes. Κατὰ τοῦ Πολιάρχου titulo adjecit Scalig. TAYLOR. In antiquo hujus orationis elogio nihil aliud videtur vitiosum esse præterquam ΑΔΕΛΦΟΥ, pro quo leg. est ΑΔΕΛΦΙΔΟΥ. Mutatum cur fuerit hoc elogium, causæ equidem nil video. δημεύειν τινὰ bene Græcum est, *proscribere aliquem*, pro *bona ejus publicare*. Oratio hæc mihi epilogus, neque integra, sed fragmentum esse. REISK.

Ἰδίᾳ] Num νὴ Δία. *medius fidius*. REISK. Ἰδίᾳ intelligo *ipse solus*, nec aliis sua secum prospere gesta participantibus. AUGER.

Εὐκράτης] Eucrates erat Niciæ frater et a trigintaviris morti datus. Hæc confirmant alii. Vid. Andocid. de myster. Suid. in Ἄπεστι, et Στύγαξ. Eum esse judico, qui a Comico in Equitibus et Lysistrata sæpius exagitatur. De Nicerato Niciæ filio vide Diod. Sic., Plat. de Rep., Xenoph. Sed exscribamus, quoniam non pœnitebit. Ξυλλαμβανομένου Νικηράτου τοῦ Νικίου, καὶ πλουσίου, καὶ οὐδὲν οὐ πώποτε δημοτικὸν οὔτε αὐτοῦ οὔτε τοῦ πατρὸς πράξαντος. Xenoph. Hellenic. II. 3. 39. Ἀνεῖλον δὲ [οἱ xxx.] καὶ Νικήρατον τὸν τοῦ Νικίου τοῦ στρατηγήσαντος ἐπὶ Συρακουσίους υἱὸν, ἄνδρα πρὸς ἅπαντας ἐπιεικῆ καὶ φιλάνθρωπον, πλούτῳ δὲ καὶ δόξῃ σχεδὸν πρῶτον πάντων Ἀθηναίων. Biblioth. Historic. l. 14. TAYLOR.

Ναυμαχίας] In Sicilia puta, prope Syracusas. REISK.

Περὶ] Imo vero πρός. REISK. AUGER.

ὑπὸ τῶν ἐπιβουλευόντων τῷ πλήθει, οὐκ ἠθέλησεν αὐτοῖς
πείθεσθαι, ἐν [1] τοιούτῳ καιρῷ ληφθεὶς ἐν ᾧ οἱ πλεῖστοι
τῶν ἀνθρώπων καὶ μεταβάλλονται πρὸς τὰ παρόντα καὶ
ταῖς τύχαις εἴκουσι, δυστυχοῦντος τοῦ δήμου, οὐκ [2] ἀπελαυ-
νόμενος τῆς πολιτείας οὐδ' ἰδίας ἔχθρας ὑπαρχούσης πρὸς
τοὺς ἄρξειν μέλλοντας, ἀλλ' ἐξὸν αὐτῷ καὶ τῶν Τριάκοντα
γενέσθαι καὶ μηδενὸς ἔλαττον δύνασθαι, μᾶλλον εἵλετο
πράττων ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ἀπολέσθαι ἢ ἐπιδεῖν 602
[3] τὰ τείχη καθαιρούμενα καὶ τὰς ναῦς τοῖς πολεμίοις
παραδιδομένας καὶ τὸ ὑμέτερον πλῆθος [4] καταδουλούμενον.

γʹ. Καὶ οὐ πολλῷ χρόνῳ ὕστερον Νικήρατος, ἀνεψιὸς ὢν
ἐμὸς καὶ υἱὸς Νικίου, εὔνους ὢν τῷ ὑμετέρῳ πλήθει, συλλη-
φθεὶς ὑπὸ τῶν Τριάκοντα ἀπέθανεν, οὔτε γένει οὔτε οὐσίᾳ
οὔθ' ἡλικίᾳ δοκῶν ἀνάξιος εἶναι τῆς πολιτείας μετασχεῖν·
ἀλλὰ τοιαῦτα ἐνόμιζε τὰ ὑπάρχοντα αὐτῷ πρὸς τὸ ὑμέ-
τερον πλῆθος εἶναι καὶ διὰ τοὺς προγόνους [5] καὶ αὐτόν, ὥστε
οὐκ ἄν ποθ' ἑτέρας ἐπιθυμῆσαι πολιτείας. συνῄδεσαν γὰρ
ἅπασιν αὐτοῖς ὑπὸ τῆς πολιτείας τιμωμένοις, καὶ πολλα- 603

[1] τοιούτῳ μὲν καιρῷ A. [2] ἀπελαυν. δὲ τῆς A. [3] τὰ om. T. R. A.
[4] καταδεδουλωμένον T. R. A. [5] καὶ δι' αὐτὸν A.

Πείθεσθαι, ἐν] Videtur ἀλλ' interponendum. quod si admittetur, cohærebit cum εἵλετο paulo post insequente. Reisk.

Καὶ μεταβάλλονται] Καὶ hoc possit videri redundare. Reisk.

Δυστυχοῦντος] Lege periodo nova exorsa: δυστυχοῦντος τοῦ δήμου, οὐκ ἀπελαυνόμενος κ. τ. λ. Taylor.

Ἐπιδεῖν τείχη καθαιρούμενα] Restitue Articulum, τὰ τείχη, ut τὰς ναῦς. Sic Orat. XXVIII. καὶ τὰ τείχη καὶ τὰς ναῦς τοῖς πολεμίοις παραδίδωσι. Markland. Taylor.

Ἀλλὰ τοιαῦτα κ. τ. λ.] Legere malo: ἀλλὰ τοιαῦτα ἐνόμιζον τὰ ὑπάρχοντα αὐτῷ. Taylor.

Διὰ τοὺς προγόνους καὶ αὐτὸν etc.] Scribe: διὰ τοὺς προγόνους, καὶ αὐτὸν, *seipsum*. ἑτέρας πολιτείας est Ὀλιγαρχίας: quæ Atticis proprie dici videtur ἑτέρα πολιτεία. Vide Orat. XX. et XXIV. et XXXIV. et Æschinem adv. Ctesiph. §. οθʹ. οὐκ ἐκ δημοκρατίας, ἀλλ' ἐξ ἑτέρας πολιτείας. Sequitur: συνῄδεσαν γὰρ ἅπασιν αὐτοῖς etc. mallem: ἅπαντες αὐτοῖς. Markland. Mutandum si quid sit, malim, ut mollius, καὶ δι' αὐτόν. Reisk.

Ἅπασιν αὐτοῖς] Me quidem non offendit. pertinet ad totum genus Niciæ, majoresque posterosque et cognatos. Idem.

Ὑπὸ] *ob*. Dubito, rectene sic habeat, an ἀπὸ aut ὑπὲρ præferendum sit. Idem.

Συνῄδεσαν γὰρ ἅπασιν αὐτοῖς ὑπὸ τῆς πολιτείας τιμωμένοις] Recte Marklandus vidit esse in his verbis corruptelam, sed minus recte pro ἅπασιν restituit ἅπαντες; non enim in hoc verbo vitium est, sed in verbo συνῄδεσαν, pro quo scribendum συνῄδει. Sermo est de Nicerato Niciæ filio, quem dicit Lysias *nullam aliam ob causam inimicum fuisse tyrannis ab iisque interfectum, nisi quod popularis imperii fuisset studiosus: populari autem imperio eum studuisse, non tantum propter se ipsum, sed etiam majorum causa, quos scierit omnes liberæ Reipublicæ temporibus fuisse in honore*: συνῄδει αὐτοῖς τιμωμένοις, idem est atque ᾔδει αὐτοὺς τιμωμένους, qui usus verbi συνειδέναι frequens est. Pseudo-Lysias in Andocidem p. 106. v. 5. ed. Steph. συνειδότας αὐτῷ ἔργα ἀνόσια εἰργασμένῳ, ubi non audiendus Taylorus αὐτῷ reponens: Isocrates de Permut. p. 319. E. συνίσασι γὰρ τοῖς μὲν διὰ φιλοπραγμοσύνην ἐμπείροις τῶν ἀγώνων γεγενημένοις. De particula ὑπὸ quin recte se haberet, nulla

χοῦ μὲν ὑπὲρ ὑμῶν κεκινδυνευκόσι, μεγάλας δ' εἰσφορὰς
εἰσενηνοχόσι καὶ λελειτουργηκόσι κάλλιστα, καὶ τῶν 150. I
ἄλλων οὐδενὸς πώποτ' ἀποστᾶσιν ὧν ἡ πόλις αὐτοῖς προσ-
έταξεν, ἀλλὰ προθύμως λειτουργοῦσι. καίτοι τίνες ἂν
ἡμῶν εἴησαν δυστυχέστεροι, εἰ ἐν μὲν τῇ ὀλιγαρχίᾳ ἀπο-
θνήσκοιμεν εὔνοι ὄντες τῷ πλήθει, ἐν δὲ τῇ δημοκρατίᾳ ὡς
[1]κακόνοι ὄντες τῷ πλήθει ἀποστεροίμεθα τῶν ὄντων;

δ'. Καὶ μὲν δὴ, ὦ ἄνδρες δικασταὶ, καὶ Διόγνητος
διαβληθεὶς μὲν ὑπὸ τῶν συκοφαντῶν φεύγων ᾤχετο, μετ'
604 ὀλίγων δὲ τῶν ἐκπεπτωκότων οὔτ' ἐπὶ τὴν πόλιν ἐστρατεύ-
σατο οὔτ' εἰς Δεκέλειαν ἀφίκετο· οὐδ' ἔστιν ὅτου κακοῦ
αἴτιος οὔτε φυγὼν οὔτε κατελθὼν τῷ ὑμετέρῳ πλήθει
γεγένηται, ἀλλ' εἰς τοῦτ' ἀρετῆς ἦλθεν, ὥστε μᾶλλον
ὠργίζετο τοῖς εἰς ὑμᾶς ἡμαρτηκόσιν ἢ τοῖς αὐτῷ τῆς [2]καθόδου

[1] κακοὶ T.

[2] ἐξόδου A.

erat ratio quare Reiskius dubitaret: ἀπὸ vel ὑπὲρ, quod ille vult, nullum hic locum habet; ὑπὸ non notat *ob*, *propter*, ut Reiskius opinatur, sed dicitur de tempore: Lysias in Theomn. I. p. 119. v. 37. ed. Steph. ἑβδομήκοντα δ' ἐτῶν ὢν ὑπ' ὀλιγαρχίας ἐτελεύτησε. Isocrates Areopag. p. 156. D. ὑπὸ — ἐκείνης τῆς εὐταξίας. Eandem notionem habet ἐπί. Vid. Lysiam p. 121. v. 32. ubi recte hanc particulam tuetur Reiskius, p. 126. v. 9. p. 130. init. p. 133. v. 8. Xenoph. Memorab. III, 5. 10. Isocrat. Areopag. p. 150. E. p. 154. A. SLUITER.

Ὡς κακοὶ ὄντες τῷ πλήθει] Lege κακόνοι: cui opponitur εὔνοι ὄντες τῷ πλήθει. Sic Orat. XII. εὐνούστατον μὲν ὄντα τῇ ὀλιγαρχίᾳ, κακονούστατον δὲ τῇ πόλει. Orat. XXV. οὐδέν μοι προσῆκον κακόνουν εἶναι τῷ πλήθει τῷ ὑμετέρῳ. Dinarchus adv. Demosth. p. 98. ὃν οἱ μὲν ἐχθροὶ καὶ κακόνοι τῆς πόλεως ζῆν ἂν βούλοιντο, etc. ὅσοι δὲ εὔνοι τοῖς ὑμετέροις πράγμασι, etc. Demosthenes de Corona: τότε καὶ προδότην εἶναι, καὶ κακόνουν ὑμῖν ἔφηνεν. Tale mendum ex Philone Judæo sustulit Doctiss. Mangeius, lib. II. de Insomniis: τὸ κακόνουν εἰς εὔνοιαν μεταβαλόντες: ubi prius legebatur τὸ κακόν. Porro, in hujusmodi κακόνους competebat Actio, quæ vocabatur Προβολή: de qua vide Pollucem VIII. segm. 46. et Libanium in Argumento Midianæ. MARKLAND.

Μετ' ὀλίγων] Potius putarem μετὰ πολιτῶν, vel μετ' ἄλλων. nihil tamen muto. Hic vero Διόγνητος, cujus paulo ante meminit, idem videtur esse, qui infra Διόμνηστος appellatur. MARKLAND. Imo vero μετ' οὐκ ὀλίγων. quamvis haud paucos secum haberet adjutores, exsilii sui socios, cum quibus potuisset inimicis ægre facere, tamen non fecit. REISK.

Μετ' ὀλίγων δὲ τῶν ἐκπεπτωκότων—Δεκέλειαν ἀφίκετο] Nescio quid causæ sit, cur Viri Docti vitiosa hæc esse crediderint; Marklandus enim vult μετὰ πολιτῶν vel μετ' ἄλλων: Reiskius μετ' οὐκ ὀλίγων, quod si scriptum hic invenissem, reposuissem μετ' ὀλίγων. Tanta enim dicitur fuisse virtus Diogneti, ut injuste civitate pulsus non fecerit, quod exsules plerique, qui patriæ quovis modo damnum intulerint; sed ut ipse præter cæteros aut cum paucis noluerit injuriam illatam ulcisci; ut neque contra patriam arma gesserit, neque Deceleam abierit, cum Lacedæmoniorum præsidio Athenas vexaturus. Exsules autem plerosque Deceleam abiisse ibique separatam suorum habuisse cohortem, apparet e loco Lysiæ pro Polystrat. p. 160. v. 29. ed. Steph. Conf. Andocides de Myster. p. 13. v. 35. ed. Steph. Fuisse inter conditiones pacis cum Lacedæmoniis factæ, ut exsules reciperent Athenienses, res nota est: vide v. g. Andocidem de Myster. p. 11. v. 9. seqq. de Pac. p. 24. v. 42. Xenophontem Hellen. II. 2. 12. SLUITER.

Ἐστρατεύσατο] Pungit Alcibiadem. REISK.

Ἢ τοῖς] Interponendum videtur ἔχαιρε vel ἥσθη vel simile quid. *quam gaudebat, qui copiam redeundi in patriam sibi dedissent.* IDEM.

Καθόδου] Hæc verba, ut leguntur, nul-

αἰτίοις γεγενημένοις [1]ἔχαιρε. καὶ ἀρχὴν μὲν οὐδεμίαν ἦρξεν ἐν τῇ ὀλιγαρχίᾳ· ἐπειδὴ δὲ τάχιστα ἦλθον εἰς τὴν Ἀκαδημίαν Λακεδαιμόνιοι καὶ Παυσανίας, λαβὼν τὸν Νικηράτου καὶ ἡμᾶς παῖδας ὄντας, ἐκεῖνον μὲν κατέθηκεν ἐπὶ 605
τοῖς γόνασι τοῖς Παυσανίου, ἡμᾶς δὲ παραστησάμενος ἔλεγε πρὸς ἐκεῖνον καὶ τοὺς ἄλλους τοὺς παρόντας ὅσα εἴημεν πεπονθότες καὶ οἵαις τύχαις κεχρημένοι, καὶ ἠξίου Παυσανίαν βοηθῆσαι καὶ διὰ τὴν φιλίαν καὶ διὰ τὴν ξενίαν τὴν ὑπάρχουσαν, καὶ τιμωρὸν γενέσθαι τῶν εἰς ἡμᾶς ἡμαρτηκότων. ὅθεν Παυσανίας ἤρξατο εὔνους εἶναι τῷ δήμῳ, παράδειγμα ποιούμενος πρὸς τοὺς ἄλλους Λακεδαιμονίους τὰς ἡμετέρας συμφορὰς τῆς τῶν Τριάκοντα πονηρίας. δῆλον γὰρ ἅπασι τοῖς ἐλθοῦσι Πελοποννησίων ἐγεγένητο, ὅτι οὐ τοὺς πονηροτάτους τῶν πολιτῶν ἀπέκτεινον, ἀλλ' [2]οἷς μάλιστα προσῆκον καὶ διὰ γένος καὶ διὰ πλοῦτον καὶ διὰ τὴν ἄλλην 606
ἀρετὴν τιμᾶσθαι. οὕτω δ' ἠλεούμεθα καὶ πᾶσι δεινὰ ἐδοκοῦμεν πεπονθέναι, ὥστε Παυσανίας τὰ μὲν παρὰ τῶν Τριάκοντα ξένια οὐκ ἠθέλησε λαβεῖν, τὰ δὲ παρ' ἡμῶν ἐδέξατο. καίτοι δεινόν, ὦ ἄνδρες δικασταί, ὑπὸ μὲν τῶν πολεμίων παῖδας ἡμᾶς ὄντας ἐλεεῖσθαι, οἳ τῇ ὀλιγαρχίᾳ βοηθήσοντες ἦλθον· ὑπὸ δ' ὑμῶν, ὦ ἄνδρες δικασταί, τοιούτους γεγενημένους τῶν ὄντων ἀποστερεῖσθαι, ὧν οἱ πατέρες ὑπὲρ τῆς δημοκρατίας ἀπέθανον.

ε'. Εὖ δ' οἶδ', ὦ ἄνδρες δικασταί, ὅτι περὶ πλείστου ἂν

[1] ἔχαιρε om. T. R. A.

[2] οὓς R. A.

lum commodum sensum exhibent: itaque emendatione indigent vel additione verbi. Nam si pro καθόδου legas φυγῆς, sententia exsurget plana et recta. Sed si vis retinere καθόδου, necesse erit aliquid addere ad perficiendam enunciationem, veluti, ἢ τοῖς αὐτῷ τῆς καθόδου αἰτίοις γεγενημένοις ἥδετο, vel χάριν εἶδε, vel tale quid. PALMER. φυγῆς. CONT. ἐξόδου. SCHOTT. Dubito, an *fuga* tam miti vocabulo signari possit. Proprius esset ἀφόδου: qua voce sæpe utitur Xenophon pro *discessu*. Vide Ἀναβάσ. V. 2. 7. et VII. 8. 15. MARKLAND.

Λαβὼν τὸν Νικηράτου] De Nicia juniore intelligo: fuit enim moris Atheniensium nomina avorum in nepotibus repetere, et sæpe duo nomina sic alternatim imponebantur in una familia. Sic Callias Hipponici filius et rursus Hipponicus Calliæ, et rursus Callias, et iterum Hipponicus. Sic in genere Miltiadis Cimo et Miltiades alternabantur. Sic in Alcmæonidarum gente Alcmæon et Megacles invicem sibi succedebant. Sic itaque in Niciæ domo Νικίας ὁ Νικηράτου dux ille celebratus, quem oppressit clades in Sicilia: ejus filius fuit rursus Niceratus, quem occiderunt triginta Tyranni: hujus filius fuit alius Nicias, ut conjicio, de quo hic sermo fit, et de quo mentionem fecit Aristophanes in Concionantibus; forte etiam de eo Ælianus Var. Hist. IV. 23. PALMER.

Ἐγεγένητο] Malim: ἐγένετο. TAYLOR.

Ἀπέκτεινον] Lege: ἀπέκτειναν. IDEM.

Προσῆκον] Fort. προσῆκεν. IDEM. Ad προσῆκον subaudi ἐστί. AUGER.

ποιήσαιτο [1]Πολιοῦχος τοῦτον τὸν ἀγῶνα κατορθῶσαι, ἡγούμενος αὑτῷ καλὴν εἶναι τὴν ἀπόδειξιν καὶ πρὸς τοὺς πολίτας καὶ τοὺς ξένους, ὅτι Ἀθήνησι τοσοῦτον δύναται, ὥσθ' ὑμᾶς τοὺς αὐτοὺς, περὶ ὧν ὅρκους ὀμωμόκατε, ὑμῖν αὐτοῖς [2]τἀναντία ποιεῖν ψηφίζεσθαι. πάντες γὰρ εἴσονται ὅτι τότε μὲν χιλίαις δραχμαῖς [3]ἐζημίωσε τὸν βουλόμενον τὴν ἡμετέραν γῆν δημοσίαν ποιῆσαι, νυνὶ [4]δὲ κελεύων δημεῦσαι νενίκηκε. [5]καὶ περὶ τούτων [6]δὴ ἀμφοτέρων Ἀθηναῖοι, παρα-

607 νόμων φεύγοντος τοῦ αὐτοῦ ἀνδρὸς, τἀναντία σφίσιν αὐτοῖς ἐψηφίσαντο. οὐκοῦν αἰσχρὸν, εἰ ἃ μὲν Λακεδαιμονίοις συνέθεσθε, βεβαιώσετε, ἃ δὲ [7]αὑτοῖς ἐψηφίσασθε, οὕτω ῥᾳδίως διαλύσετε· [8]καὶ τὰς μὲν πρὸς ἐκείνους συνθήκας κυρίας [9]ποιήσετε, [10]τὰς δὲ πρὸς αὑτοὺς ἀκύρους· καὶ τοῖς [11]μὲν ἄλλοις Ἕλλησιν ὀργίζοισθε, εἴ τις Λακεδαιμονίους ὑμῶν περὶ πλείονος ποιεῖται, ὑμεῖς δ' αὐτοὶ φανήσεσθε πιστότερον πρὸς ἐκείνους ἢ πρὸς ὑμᾶς αὐτοὺς διακείμενοι.

608 ϛʹ. Ἄξιον δὲ μάλιστα φθονῆσαι, ὅτι οὕτως ἤδη οἱ τὰ

[1] Πολίαρχος A. [2] τὰ ἐναντία T. R. A. [3] ἐζημιώσατε A. [4] δὲ ὁ κελ. A. [5] καὶ om. A. [6] δὲ T. R. A. [7] αὐτοῖς T. [8] καὶ — κυρίας om. A. [9] ποιήσεσθε T. om. A. [10] τὰς — ἀκύρους om. T. R. A. [11] μὲν om. T. A.

Καὶ τοὺς] Ante τοὺς velim addi πρός. Auger.

Ἐζημίωσε τὸν βουλόμενον etc.] Fort. ἐζημιώσατε. sed retineri potest ἐζημίωσε: ut *mulctasse aliquem* dicatur is, qui *in causa* fuit, ut iste *mulctaretur*. Pro φεύγοντες recte Stephanus φεύγοντος. Mox pro αὐτοῖς ἐψηφίσασθε, scribe αὑτοῖς, *vobis ipsis*. Markland.

Καὶ] Malim abesse, quod e postrema syllaba voc. νενίκηκε natum videtur. Reisk.

Δὲ] Δὴ, Coisl. Quod rectius. Taylor. Quid sibi velint περὶ τούτων ἀμφοτέρων vix intelligo. Num, in his duobus temporibus? num in hac utraque causa? τοῦ αὐτοῦ ἀνδρὸς, hic idem vir est ipse reus, is ipse qui nunc causam dicit. Auger.

Φεύγοντες] Π. φεύγοντος. H. Steph. Non inscite. Fortasse rescribendum etiam π α ρ ὰ ν ό μ ο ν, ut sit παρὰ νόμον φεύγοντος τοῦ αὐτοῦ ἀνδρός. Cum apud Athenienses *bis de eadem causa judicium adipisci* esset legibus vetitum: emendatio satis se ipsam commendat. Taylor. Φεύγοντες bene habet, sed pro τοῦ αὐτοῦ leg. ὑπὸ (vel παρὰ) τοῦ αὐτοῦ ἀνδρός. Populus Atheniensis dicitur ideo φυγεῖν παρανόμων, quod in jure dicundo commisisset aliquid, ob quod accusari posset legum temeratarum, ab eodem homine, Poliucho (sed is potius Poliarchus est), inducti. Hæc olim scripseram. Nunc postquam intellexi conjecturam Stephani a codice Vindobon. confirmari, a plerisque viris doctis item probatam, nullus dubitavi eam in textum admittere, tametsi de causa ipsa parum mihi constat, neque liquet, quis ille fuerit bis παρανόμων reus factus. Reisk.

Αὐτοῖς] Αὐτοὶ vel ἑαυτοῖς. Cont. Dedi cum spiritu aspero, id est, αὐτοὶ πρὸς ἑαυτοὺς vel πρὸς ὑμᾶς αὐτούς. Poterat quoque sic dari ἃ δ' ἑαυτοῖς. Reisk.

Ὀργίζοισθε] Ὀργίζεσθε, vel ὀργίσεσθε, vel ὀργιεῖσθε. Cont. Puto scribendum ὀργισθήσεσθε, ut βεβαιώσετε, διαλύσετε, ποιήσεσθε. Markland. Legendum videtur ὀργιεῖσθε in futuro, quia tot alia futura præcedunt. Reisk. Velim admisisse in textum ὀργίσεσθε vel ὀργιεῖσθε. Auger.

Φθονῆσαι] Δυσφορῆσαι. Cont. Vides vestigia vocis θαυμάσαι, quam opinor Lysiam dedisse. Markland. Φθονεῖν h. l. idem valet, atque νεμεσᾶν, ἀγανακτεῖν. Reisk.

Ἤδη] Haud placet, neque tamen reperio satis aptum, quod substituam, vocabulum. Sententia postulat αἰσχρῶς aut αἰσχροκερδῶς. Idem.

τῆς πόλεως πράττοντες διάκεινται, ὥστ' οὐχ ὅ τι ἂν τῇ
πόλει βέλτιστον ᾖ, τοῦτο οἱ ῥήτορες λέγουσιν, ἀλλ' ἀφ' ὧν
ἂν αὐτοὶ κερδαίνειν μέλλωσι, ταῦτα ὑμεῖς ψηφίζεσθε. καὶ
εἰ μὲν τῷ ὑμετέρῳ πλήθει συνέφερε τοὺς μὲν ἔχειν τὰ
[1] αὑτῶν, τῶν δὲ ἀδίκως [2] δημεύεσθαι τὴν οὐσίαν, εἰκότως
[3] ἂν ἠμελεῖτε τῶν ὑφ' ἡμῶν λεγομένων· νυνὶ δὲ πάντες ἂν
ὁμολογήσαιτε ὁμόνοιαν μέγιστον ἀγαθὸν εἶναι [4] πόλει,
στάσιν δὲ πάντων κακῶν αἰτίαν, διαφέρεσθαι δὲ πρὸς
ἀλλήλους ἐκ τῶν τοιούτων μάλιστ', ἂν οἱ μὲν τῶν ἀλλο-
151. τρίων ἐπιθυμῶσιν, οἱ δ' [5] ἐκ τῶν ὄντων ἐκπίπτωσι. καὶ
ταῦθ' ὑμεῖς ἔγνωτε νεωστὶ κατελθόντες, ὀρθῶς βουλευόμενοι· 609
ἔτι γὰρ ἐμέμνησθε τῶν γεγενημένων συμφορῶν, καὶ τοῖς
θεοῖς εἰς ὁμόνοιαν εὔχεσθε καταστῆναι τὴν πόλιν μᾶλλον, ἢ
ἐπὶ τιμωρίαν τῶν παρεληλυθότων [6] τραπόμενοι, τὴν μὲν
πόλιν στασιάσαι, τοὺς δὲ λέγοντας ταχέως πλουτῆσαι.
καίτοι πλείων συγγνώμη μνησικακεῖν νεωστὶ κατεληλυθό-
σιν, ἔτι τῆς ὀργῆς οὔσης προσφάτου, ἢ τοσούτῳ χρόνῳ
ὕστερον ἐπὶ τιμωρίαν τῶν παρεληλυθότων τραπέσθαι,
ὑπὸ τοιούτων πεισθέντας, οἳ ἐν ἄστει μείναντες [7] ταύτην 610
ὑμῖν οἴονται διδόναι πίστιν τῆς αὑτῶν εὐνοίας, ἑτέρους κακῶς
ποιοῦντες, ἀλλ' οὐ σφᾶς αὐτοὺς χρηστοὺς παρέχοντες, καὶ

[1] αὐτὰ T. ἀλλότρια A. [2] δεδημεῦσθαι T. R. A. [3] ἂν om. T.
[4] τῇ πόλει T. [τῇ] πόλει R. [5] αὖ R. [6] τραπομένοις A. [7] αὐτὴν T.

Τὰ αὐτὰ] Τὰ αὐτῶν vel τὰ οὐχ αὐτῶν. Cont. Lego τὰ ὄντα, quæ mox vocat τὴν οὐσίαν. Sic paulo inferius: οἱ δ' ἐκ τῶν ὄντων ἐκπίπτωσι, et τῶν ὄντων ἐστερημένους. Sæpissime occurrit. Statim, ἂν videtur deesse ante vel post ἠμελεῖτε. Markland. Taylor. Dedi de meo τὰ αὑτῶν. *bona sua privata, cuique propria.* Confirmarunt postmodum conjecturam meam Vindobonensis et Schedæ Brulart. Reisk.

Εἶναι τῇ πόλει] Uncis inclusi articulum, qui a plerisque libris abest. non Athenis peculiariter, sed universe cuicunque reipublicæ. Idem.

Διαφέρεσθαι] Impersonaliter. subaudi τοὺς ἀνθρώπους. Idem.

Οἱ δ' αὖ τῶν ὄντων] Effeci hoc ex Aldinæ lectione, οἱ δ' αἰτῶν ὄντων. quanquam Scaligeri [et Contii] quoque emendatio, οἱ δὲ τῶν ὄντων, non minus est probabilis. Idem.

Εὔχεσθε] Forte εὔξασθε verius. Nam de præteritis loquitur. Schott. Homines sumus. Markland. Propius abest ηὔχεσθε. Quod verius est quoque. Taylor. Perinde potest εὔχεσθε pro imperfecto haberi, quod h. l. est, atque pro præsenti, quod hic minus est. augmentum in talibus verbis ab εὐ incipientibus omitti solet. vid. p. 473. v. 17. Reisk.

Τραπόμενοι] Τραπομένην. Cont. Dura constructio, si ad εὔχεσθε referatur. ego malim in dativo legi τραπομένοις. ut στασιάσαι sit, non *in seditionem concitare*, sed *in seditionem consurgere.* Nam si prior significatio hic obtineat, stare non possit πλουτῆσαι, sed cum πλουτίσαι sit mutandum. Reisk.

Ἐν ἄστει μείναντες] Idem est, atque quod paulo post aliis verbis dicit: οὐ πρότερον τῶν ὑμετέρων κινδύνων μετέχοντες. Idem.

Αὐτὴν ὑμῖν] F. ταύτην ὑμῖν. Taylor. Markland.

νυνὶ τῶν τῆς πόλεως εὐτυχιῶν ἀπολαύοντες, ἀλλ᾽ οὐ πρότερον τῶν ὑμετέρων κινδύνων μετέχοντες.

ζʹ. Καὶ εἰ μὲν [1] ἑωρᾶτο, ὦ ἄνδρες δικασταὶ, σωζόμενα τῇ πόλει τὰ ὑπὸ τούτων δημευόμενα, συγγνώμην ἂν εἴχομεν· νῦν δ᾽ ἐπίστασθε ὅτι τὰ μὲν αὐτῶν ὑπὸ τούτων ἀφανίζεται, τὰ δὲ πολλοῦ ἄξια ὄντα ὀλίγου πιπράσκεται. ἂν δέ μοι πείθησθε, οὐκ ἐλάττω ἀπ᾽ αὐτῶν ὑμεῖς ὠφεληθήσεσθε ἢ ἡμεῖς οἱ κεκτημένοι, ἐπεὶ καὶ νυνὶ Διόμνηστος καὶ ἐγὼ καὶ ὁ ἀδελφὸς ἐκ μιᾶς οἰκίας τρεῖς ὄντες τριηραρχοῦμεν, καὶ ὅταν ἡ πόλις δέηται χρημάτων, ἀπὸ τούτων ὑμῖν εἰσφέρομεν. ὡς οὖν ἡμῶν ταύτῃ τῇ γνώμῃ χρωμένων, καὶ τῶν προγόνων τῶν ἡμετέρων τοιούτων γεγενημένων, φείδεσθε ἡμῶν. οὐδὲν γὰρ ἂν ἡμᾶς [2] κωλύοι, ὦ ἄνδρες δικασταὶ, ἀθλιωτάτους εἶναι, ἐπὶ μὲν τῶν Τριάκοντα ὀρφανοὺς καταλειφθέντας, ἐν δὲ τῇ δημοκρατίᾳ τῶν ὄντων ἐστερημένους, οἷς ἡ τύχη
611 παρέδωκεν, ὥστ᾽ ἔτι ἡμᾶς παῖδας ὄντας ἐπὶ τὴν Παυσανίου σκηνὴν ἐλθόντας, βοηθῆσαι τῷ πλήθει. καὶ τοιούτων ἡμῖν ὑπαρχόντων εἰς τίνας ἂν ἐβουλήθημεν δικαστὰς καταφυγεῖν; οὐκ εἰς τοὺς οὕτω πολιτευομένους [3] ὑπὲρ τῆς πολιτείας, ἧς καὶ ὁ πατὴρ καὶ οἱ προσήκοντες ἡμῖν ἀπέθανον; νῦν τοίνυν ταύτην ἀνθ᾽ ἁπάντων ἀπαιτοῦμεν ὑμᾶς τὴν χάριν, μὴ περιϊδεῖν ἡμᾶς ἀπόρως διατεθέντας μηδ᾽ ἐνδεεῖς τῶν ἐπιτηδείων [4] γενομένους, μηδὲ τὴν τῶν προγόνων εὐδαιμονίαν καταλῦσαι, ἀλλὰ πολὺ μᾶλλον παράδειγμα

[1] ἑωρᾶτε T. [2] κωλύῃ T. R. A. [3] τὴν πολιτείαν ὑπὲρ A. [4] γεγενημένους T. R. A.

Διόμνηστος] Anne idem, qui supra Διόγνητος? TAYLOR. Videtur idem esse ac is qui supra nominatur Διόγνητος, ac proinde vel, hic legendum Διόγνητος, vel supra Διόμνηστος. AUGER.

Ἀθλιοθεάτους] Π. ἀθλιωτάτους. H. STEPH. CONT. SCAL. TAYLOR.

Παρέδωκεν] Aut addendum, aut certe subaudiendum est, τοσοῦτον δύνασθαι. REISK.

Ὑπὲρ τῆς πολιτείας, κ. τ. λ.] Lege: ὑπὲρ ἧς πολιτείας, καὶ ὁ πατὴρ κ. τ. λ. TAYLOR.

Ἀπέθανον] Ego equidem malim ὑπεραπέθανον. REISK.

Τὴν τῶν προγόνων εὐδαιμονίαν καταλῦσαι] Schottus voluit εὐδοξίαν. non recte. optime habet εὐδαιμονίαν. Orat. XXXII. παιδεύεις ἐν πολλοῖς χρήμασιν εὐδαίμονας ὄντας. εὐδαιμονία enim *opulentiam* denotat: unde Pollux III. 22. segm. 109. ponit εἷς ὢν τῶν εὐδαιμόνων, ut synonymum πλουσίῳ, *diviti*. Hesychius: Εὐδαιμονία, πλοῦτος, μακαριότης, εὐτυχία. unde Thucydides II. 53. opponit τῶν εὐδαιμόνων et τῶν οὐδὲν πρότερον κεκτημένων. Dicit: Petimus a vobis, *ne finem ponatis felicitati majorum nostrorum*: quod futurum erat, si res tota et bona familiæ eorum in ærarium redigerentur. Schottum decepit ambiguitas vocum τῶν προγόνων, quæ majores *nostros* (scil. Oratoris, et familiæ ejus majores), non *vestros* denotat. paulo ante plenius extulerat, τῶν προγόνων τῶν ἡμετέρων: unde non adeo necessarium erat, ut hic eadem forma uteretur. Quæ sequuntur, οὐκ ἔχω, ὦ ἄνδρες δικασταὶ, etc. optima sunt, et judicium confirmant Plu-

ποιῆσαι τοῖς βουλομένοις τὴν πόλιν εὖ ποιεῖν, οἵων ὑμῶν ἐν 612
τοῖς κινδύνοις τεύξονται.

η΄. Οὐκ ἔχω, ὦ ἄνδρες δικασταί, οὕστινας δεησομένους ὑπὲρ ἡμῶν ἀναβιβάσωμαι· τῶν γὰρ προσηκόντων οἱ μὲν ἄνδρας ἀγαθοὺς αὑτοὺς παρασχόντες καὶ μεγάλην τὴν πόλιν ποιοῦντες ἐν τῷ πολέμῳ τεθνᾶσιν, οἱ δ' ὑπὲρ τῆς δημοκρατίας καὶ τῆς ὑμετέρας ἐλευθερίας ὑπὸ τῶν Τριάκοντα κώνειον πιόντες, ὥστε τῆς ἐρημίας τῆς ἡμετέρας [1] αἴτιαι γεγόνασιν αἵ τε τῶν προσηκόντων ἀρεταὶ καὶ αἱ τῆς πόλεως συμφοραί. ὧν ἄξιον ὑμᾶς ἐνθυμηθέντας προθύμως ἡμῖν βοηθῆσαι, ἡγησαμένους τούτους ἂν ἐν δημοκρατίᾳ δικαίως εὖ πάσχειν ὑφ' ὑμῶν, οἵπερ ἐν ὀλιγαρχίᾳ τῶν συμφορῶν μετέσχον [2] τὸ μέρος. [3] ἄξιον δὲ καὶ τούτους τοὺς συνδίκους 613
εὔνους ἡμῖν [4] εἶναι, ἐκείνου τοῦ χρόνου μνησθέντας, ὅτ' ἐκ τῆς πατρίδος ἐκπεπτωκότες καὶ τὰς οὐσίας ἀπολωλεκότες ἄνδρας ἀρίστους ἐνομίζετ' εἶναι τοὺς ὑπὲρ ὑμῶν ἀποθνήσκοντας, καὶ τοῖς θεοῖς εὔχεσθε δυνηθῆναι χάριν τοῖς ἐξ ἐκείνων ἀποδοῦναι. ἡμεῖς τοίνυν, υἱεῖς ὄντες καὶ συγγενεῖς τῶν ὑπὲρ τῆς ἐλευθερίας προκεκινδυνευκότων, ἀπαιτοῦμεν ὑμᾶς νυνὶ ταύτην τὴν χάριν, καὶ ἀξιοῦμεν μὴ ἀδίκως ἡμᾶς ἀπολέσαι, ἀλλὰ πολὺ μᾶλλον βοηθεῖν τοῖς τῶν αὐτῶν μετασχοῦσι συμφορῶν. ἐγὼ μὲν οὖν καὶ δέομαι καὶ ἀντιβολῶ καὶ ἱκετεύω, καὶ τούτων παρ' ὑμῶν τυγχάνειν ἀξιῶ. οὐ γὰρ περὶ μικρῶν κινδυνεύομεν, ἀλλὰ περὶ τῶν ὄντων ἁπάντων.

[1] αἴτιοι T. R. A. [2] τὸ om. T. R. A. [3] ἀξιῶ T.
[4] εἶναι, αὐτοὺς καὶ ὑμᾶς, ἐκείνου A.

tarchi et Photii de Lysia: ἔστι δὲ ὁ Λυσίας δεινὸς μὲν παθῆναι. *mirus in affectibus commovendis.* adeas modo priorem partem Orationis in Diogitonem, quæ sine lacrymis vix legi potest. tametsi sciam aliter videri sentire Dion. Halicarnasseum. Sed de his quisque pro se optime dijudicare potest: neque opus est, ut quisquam tibi dicat, utrum Tu Indignatione vel Dolore vel Misericordia afficiaris. MARKLAND.

Καταλῦσαι] Ante καταλῦσαι videtur ἐν ἡμῖν deesse. REISK.

Ποιῆσαι] Subaudi ἡμᾶς. IDEM.

Παρασχόντες] Aut in præsenti leg. est παρέχοντες, aut ποιοῦντας in continenti in accusativo, pro ποιοῦντες in nominativo. IDEM.

Μέρος] Imo vero τὸ μέρος. *pro virili sua.* idem est atque κατὰ τὸ ἑαυτῶν μέρος, κατὰ δύναμιν. IDEM.

Ἀξιῶ δὲ καὶ τούτους etc.] Scribo: ἄξιον δὲ. respondent enim hæc præcedentibus: ὧν ἄξιον ὑμᾶς ἐνθυμηθέντας,—μέρος· ἄξιον δὲ καὶ τούτους τοὺς συνδίκους εὔνους ἡμῖν εἶναι, etc. sic distinguendum post μέρος. MARKLAND.

Εὔχεσθε] Potius ηὔχεσθε. TAYLOR.

ΛΥΣΙΟΥ

ΥΠΕΡ ΤΩΝ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΧΡΗΜΑΤΩΝ

ΠΡΟΣ ΤΟ ΔΗΜΟΣΙΟΝ.

ΥΠΟΘΕΣΙΣ.

Aristophanis Nicophemi filii publicantur bona. Inveniuntur opinione minora. Postulatur ideo qui orationem habet, Aristophani affinitate conjunctissimus. Videtur acta fuisse hæc causa circa ineuntem Olymp. XCVIII.

Pag. ed. Reisk. | Pag. ed. H. Steph.

614 ά. ΠΟΛΛΗΝ μοι ἀπορίαν παρέχει ὁ ἀγὼν οὑτοσὶ, ὦ 152.
ἄνδρες δικασταὶ, ὅταν ἐνθυμηθῶ ὅτι, ἂν ἐγὼ μὲν μὴ νῦν εὖ
εἴπω, οὐ μόνον ἐγὼ, ἀλλὰ καὶ ὁ πατὴρ δόξει ἄδικος εἶναι,
καὶ τῶν ὄντων ἁπάντων στερήσομαι. ἀνάγκη οὖν, εἰ καὶ μὴ
δεινὸς πρὸς ταῦτα πέφυκα, βοηθεῖν τῷ πατρὶ καὶ ἐμαυτῷ
οὕτως ὅπως ἂν δύνωμαι. τὴν μὲν οὖν παρασκευὴν καὶ
προθυμίαν τῶν ἐχθρῶν ὁρᾶτε, καὶ οὐδὲν δεῖ περὶ τούτων
λέγειν· τὴν δ᾽ ἐμὴν ἀπειρίαν πάντες ἴσασιν, ὅσοι ἐμὲ γινώ-
σκουσιν. αἰτήσομαι οὖν ὑμᾶς δίκαια καὶ ῥᾴδια χαρίσασθαι,
ἄνευ ὀργῆς καὶ ἡμῶν ἀκοῦσαι, ὥςπερ τῶν κατηγόρων.
ἀνάγκη γὰρ τὸν ἀπολογούμενον, κἂν ἐξ ἴσου ἀκροᾶσθε,
615 ἔλαττον ἔχειν· οἱ μὲν γὰρ ἐκ πολλοῦ χρόνου ἐπιβουλεύοντες,
αὐτοὶ ἄνευ κινδύνων ὄντες, τὴν κατηγορίαν ἐποιήσαντο,
ἡμεῖς δ᾽ ἀγωνιζόμεθα μετὰ δέους καὶ διαβολῆς καὶ κινδύνου
μεγίστου. εἰκὸς οὖν ὑμᾶς εὔνοιαν πλείω ἔχειν τοῖς ἀπολο-
γουμένοις. οἶμαι γὰρ πάντας ὑμᾶς εἰδέναι, ὅτι πολλοὶ ἤδη
πολλὰ καὶ δεινὰ κατηγορήσαντες παραχρῆμα ἐξηλέγ-
χθησαν ψευδόμενοι οὕτω φανερῶς, ὥςτε ὑπὲρ πάντων τῶν
πεπραγμένων μισηθέντες ἀπελθεῖν· οἱ δ᾽ αὖ μαρτυρήσαντες
τὰ ψευδῆ καὶ ἀδίκως ἀπολέσαντες ἀνθρώπους ἑάλωσαν,

ΥΠΕΡ] ΥΠΟ, Coisl. utroque rectius ΠΕΡΙ. Taylor.

Ἐπιβουλεύοντες] Andocides, qui eodem prooemio utitur de Mysteriis, habet ἐπιβουλεύσαντες. Noster de S. Oliv. περὶ ὧν οὗτος ἐπιβεβουλευκὼς ἥκει. Vid. Lect. Lysiac. c. 2. Idem.

ἡνίκα οὐδὲν ἦν πλέον τοῖς πεπονθόσιν. ὅτ᾽ οὖν τοιαῦτα πολλὰ γεγένηται, ὡς ἐγὼ ἀκούω, εἰκὸς ὑμᾶς, ὦ ἄνδρες δικασταὶ, μήπω τοὺς τῶν κατηγόρων λόγους ἡγεῖσθαι πιστοὺς, πρὶν ἂν καὶ ἡμεῖς εἴπωμεν. ἀκούω γὰρ ἔγωγε, καὶ ὑμῶν δὲ τοὺς πολλοὺς οἶμαι εἰδέναι, ὅτι πάντων δεινότατόν ἐστι διαβολή. μάλιστα δὲ τοῦτο ἔχοι ἄν τις [1] ἰδεῖν, ὅταν πολλοὶ ἐπὶ τῇ αὐτῇ αἰτίᾳ εἰς ἀγῶνα καταστῶσιν. 616
ὡς γὰρ ἐπὶ τὸ πολὺ οἱ τελευταῖοι κρινόμενοι [2] σώζονται· πεπαυμένοι γὰρ τῆς ὀργῆς αὐτῶν ἀκροᾶσθε, καὶ τοὺς ἐλέγχους ἤδη θέλοντες [3] ἀποδέχεσθαι.

β΄. Ἐνθυμεῖσθε οὖν ὅτι Νικόφημος καὶ Ἀριστοφάνης ἄκριτοι ἀπέθανον, πρὶν παραγενέσθαι τινὰ αὐτοῖς ἐλεγχομένοις ὡς ἠδίκουν. οὐδεὶς γὰρ οὐδ᾽ [4] εἶδεν ἐκείνους μετὰ τὴν σύλληψιν· οὐ γὰρ θάψαι τὰ σώματ᾽ αὐτῶν ἀπέδωκαν, ἀλλ᾽ οὕτω δεινὴ συμφορὰ γεγένηται ὥστε πρὸς τοῖς ἄλλοις 617
καὶ τούτου ἐστέρηνται. ἀλλὰ ταῦτα μὲν ἐάσω· οὐδὲν γὰρ ἂν περαίνοιμι· πολὺ δὲ ἀθλιώτεροι δοκοῦσί μοι οἱ παῖδες οἱ Ἀριστοφάνους. οὐδένα γὰρ οὔτ᾽ ἰδίᾳ οὔτε δημοσίᾳ ἠδικηκότες οὐ μόνον τὰ πατρῷα ἀπολωλέκασι παρὰ τοὺς νόμους τοὺς

[1] δεινότατον T. R. A. [2] μόνοι σώζονται A. [3] ἀποδέχεσθε T. A. [4] ἴδεν T. A.

Ὅτι] Ἀκούω sc. ὅτι πάντων δεινότατόν ἐστι διαβολή. Fando ergo illud *audivit dici!* Rumor erat Calumniam esse in civitate rem longe teterrimam! Id non liquido affirmare potuit, sed accepit a viris auctoritate gravissimis! Profecto non ea una absurditas, neque ea levicula, sed multæ, quibus hoc comma onustum est, certissimam lacunam indicant. TAYLOR. Aristot. l. ii. Rhetor. περὶ ὀργῆς. *In M. Ald.* SLUITER.

Ἄν τις δεινότατον, ὅταν] Π. δεινότατον εἰπεῖν, ὅταν etc. H. STEPHAN. Ἄν τις ἰδεῖν, ὅταν. CONT. Ἄν τι δεινότατον, ὅταν. TAYLOR. Subtilius mendum subest. Lege: ἔχοι ἄν τις ἰδεῖν, ὅταν πολλοὶ etc. Ratio enim sequens non valida est, nisi ita legatur. Omissa prima litera vocis ἰδεῖν, ex δεῖν ὅταν fecerunt δεινότατον. Mox, θέλοντες ἀποδέχεσθε, *lubenter* et cum voluptate *admittitis*: ut Ioan. VIII. 44. τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν, ultro, et *lubenter*, et cum voluptate et προθυμίᾳ *facitis*: cupitis facere: cupidi facitis. et VII. 17. ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, majus aliquid intelligitur, quam *voluerit*: nempe, *cupiverit*. et ita VI. 21. ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον. *lubenter eum acceperunt in navigium.* MARKLAND. Penes me vulgata bene habet. ἔχοι accipio hic loci pro ἡγοῖτο, quomodo Latini quoque *habere* pro *existimare* usurpant. REISK. Ἔχοι ἄν, *haberet, duceret, existimaret.* AUGER.

Ἐλεγχομένοις] Novi qui ἐλεγχόμενον præferat. TAYLOR.

Εἶδεν] Dedi pro vulgari ἴδεν. *ne vidit quidem*, nedum ut audiverit causam suam dicentes. neque solummodo vivos eos nemo vidit, sed ne mortuos quidem. Corpora enim eorum ad sepulturam necessariis tradita non sunt. REISK.

Δεινὴ συμφορὰ] Videtur articulus interponendus esse. IDEM.

Τούτου] Scil. τοῦ ἰδεῖν τινὰ αὐτοὺς μετὰ τὴν σύλληψιν, καὶ θάψαι τὰ αὐτῶν σώματα. IDEM.

Ἐλθὼν εἰς τὸ βουλευτήριον] Supra dicit init. Orat. εἰσῆλθον εἰς τὸ βουλευτήριον, et paulo ante: ὀκτὼ ἡμέρας εἰσελθὼν εἰς τὸ βουλευτήριον. et infra: ἐν ὀκτὼ ἡμέραις εἰσελθὼν εἰς τὸ βουλευτήριον, ᾤχετο ἐκπλέων. Vide, quæ notavi ad init. Orat. III. Demosthenes in Euergum: ἐλθὼν εἰς τὴν βουλὴν, τάς τε πληγὰς ἔδειξα, etc. Nihil igitur muto. MARKLAND.

Οἱ μὲν γὰρ δοκοῦντες ἀδικεῖν] Scribe: μὴ δοκοῦντες ἀδικεῖν. quibus mox opponuntur οἱ δ᾽ ἠδικηκότες. Vide Orat. VI. MARKLAND. Ego δοκοῦντες ἀδικεῖν h. l. accipio pro iis, qui visi fuissent judicibus in noxa utique esse, eorumque sententia fuissent perculsi. His opponit mox alios, quos, si fides habenda est libris nostris, ἠδικηκότας appellat. ego vero suspicor leg. esse: ἠδικηκόσιν ἑαυτοῖς συνειδότες. *qui ipsi sibi reatus contracti conscii essent*. In dictione δοκεῖν ἀδικεῖν subauditur τοῖς κριταῖς. Sententia hæc est: Alii rei facti, cum fuissent a judicibus damnati, pœnas tamen effugerunt, quoniam gratiosi apud populum viri, ob strenuam in periculis populi præstitam operam, eos deprecati sunt. alii,

ὑπὸ τῶν ὑμῖν προθύμων ἐν τοῖς πράγμασι γενομένων, οἱ δ' ἠδικηκότες, ἐκπριάμενοι τοὺς κατηγόρους, οὐδὲν ἔδοξαν ἀδικεῖν. πῶς ἂν οὖν οὐκ ἂν δεινὰ πάσχοιμεν; καὶ κατηγοροῦσι μὲν τῶν Τετρακοσίων, ὅτι ἦσαν κακοί· καίτοι ὑμεῖς αὐτοὶ πεισθέντες ὑπὸ [1] τούτων παρέδοτε τοῖς Πεντακισχιλίοις, καὶ [2] οἷς αὐτοὶ τοσοῦτοι ὄντες ἐπείσθητε, ἕνα ἕκαστον τῶν Τετρακοσίων οὐ [3] χρῆν πεισθῆναι; ἀλλ' οὐχ οὗτοι ἀδικοῦσιν, ἀλλ' οἱ ὑμᾶς ἐξηπάτων καὶ κακῶς ἐποίουν.

έ. Οὗτος δ' ἐν πολλοῖς δηλοῖ [4] ὑμῖν, ὅτι, εἴπερ τι
679 νεωτερίζειν ἐβούλετο εἰς τὸ ὑμέτερον πλῆθος, οὐκ ἄν ποτε ἐν ὀκτὼ ἡμέραις εἰσελθὼν εἰς τὸ βουλευτήριον, ᾤχετο ἐκπλέων. ἀλλ' εἴποι ἄν τις, ὅτι κερδαίνειν ἐπιθυμῶν ἐξέπλευσεν, ὥσπερ ἔνιοι [5] ἥρπαζον καὶ ἔφερον. οὐδεὶς τοίνυν ἂν [6] εἴποι ὅπως τι [7] τῶν ὑμετέρων ἔχει· ἀλλὰ [8] πάντα

[1] τούτων ὑμᾶς αὐτοὺς A. [2] οἱ T. [3] χρὴ T.
[4] ὑμῖν μὴ κακόνους ὤν, οὐχ ἥκιστα δὲ ὅτι A. [5] τοὺς συμμάχους ἦγον A.
[6] εἴποι τις ὅπως T. R. εἴποι τι A. [7] τῶν συμμάχων τῶν ἡμετέρων A.
[8] πάντων A.

quamvis ipsi sibi conscii essent culpæ suæ, tamen ne in judicium quidem vocati, aut certe damnati non fuerunt, quia accusatores pecunia redimebant, ut aut accusationem nullam instituerent, aut semel institutam haud prosequerentur, sed omitterent. Reisk.

Πῶς ἂν οὖν οὐκ ἂν δεινὰ πάσχοιμεν;] Videtur abundare prius ἂν, errore exscriptoris: tametsi sciam hanc particulam alibi geminatam. Orat. XXIV. πῶς οὖν οὐκ ἂν δικαιότατος εἴην etc. Markland. Iterato ἂν ego equidem haud offendar. Quodsi tamen sit, qui neget id a Lysia profectum esse, legat is, per me licebit: πῶς ἂν οὖν οὐ πάνδεινα, vel πῶς ἂν οὖν πάνυ δεινά. Reisk.

Κακοὶ] Koen. ad Corinthium p. 228. legi vult κακόνοι sine causa. Idem.

Καίτοι ὑμεῖς αὐτοὶ πεισθέντες ὑπὸ τούτων παρέδοτε τοῖς πεντακισχιλίοις, καὶ οἱ αὐτοὶ τοσοῦτοι ὄντες ἐπείσθητε ἕνα ἕκαστον etc.] Lego et distinguo: καίτοι ὑμεῖς αὐτοὺς, πεισθέντες ὑπὸ τούτων, παρέδοτε τοῖς πεντακισχιλίοις· καὶ οἷς αὐτοὶ, τοσοῦτοι ὄντες, ἐπείσθητε, ἕνα ἕκαστον τῶν τετρακοσίων οὐ χρῆν πεισθῆναι; Vulgo οὐ χρὴ πεισθῆναι. Cætera ex ductu Argumentationis refinximus. Markland. Ego αὐτοὶ tuebor, sed post ὑπὸ τούτων addi velim ὑμᾶς. *vos ipsi, horum Quadringentorum auctoritate moti, vosmet tradidistis Quinquies mille viris.* Reisk.

Οἱ αὐτοὶ] Π. εἰ αὐτοί. ἤ, ὃ αὐτοί. H. Stephan. Taylor.

Ἕνα] Ὅτι ἕνα. Cont.

Οὗτοι] Nempe, hi qui decepti fuerunt. Auger.

Ἐν ὀκτὼ ἡμέραις] Hæc vocabula cum ᾤχετο ἐκπλέων cohærent. *die, ex quo curiam frequentare cœpisset, octavo in nave abiit.* Reisk.

Ὥσπερ ἔνιοι ἥρπαζον καὶ ἔφερον] Forte deest οἳ: οἳ ἥρπαζον. Sed vix opus est. Markland. Mihi legendum videtur ὥσπερ ἔνιοι (subaudi a communi κερδαίνειν ἐπιθυμοῦντες ἐξέπλευσαν) οἳ τοὺς ξένους ἦγον καὶ ἔφερον. Nam ἄγειν καὶ φέρειν usurpatur, non autem ἁρπάζειν καὶ φέρειν. Reisk.

Εἴποι τις ὅπως τῶν ὑμετέρων ἔχει] Π. εἴποι ὅπως τι τῶν. H. Stephan. Non opus est, et recte habet vulgata. ἔχει τῶν ὑμετέρων idem est, quod ἔχει τὶ τῶν ὑμετέρων. de qua Ellipsi dixi ad Orat. II. ἐδίδου τῶν ἑαυτοῦ. Markland. Fortassis leg. est: οὐδεὶς τοίνυν ἂν εἴποι τι καὶ ὅτου τῶν συμμάχων τῶν ὑμετέρων ἔχει. *nemo facile dixerit, quid et a quonam vestrorum sociorum Polystratus per vim et nefas ceperit.* Reisk.

Πάντων μᾶλλον κατηγοροῦσιν] MS. πάντα. Scribe: πάντ' ἂν μᾶλλον κατηγορῶσιν etc. *sed de quovis potius accusare possunt, quam de iis, quæ ad magistratum ejus spectant.* Markland. Vulgati dant πάντων. quod ego equidem non movissem. Taylor πάντα dedit. quod si necesse erat facere, debebat etiam ἀλλὰ reformare et ἀλλ' εἰς πάντα dare. aut sic: ἀλλὰ πάντα μᾶλλον (scil. ποιοῦσιν) ἢ κατηγοροῦσιν εἰς τὴν ἀρχήν. *alia omnia potius agunt, quam*

μᾶλλον κατηγοροῦσιν, ἢ εἰς τὴν ἀρχήν. καὶ οἱ κατήγοροι 680
τότε μὲν οὐδαμῇ εὖνοι ὄντες ἐφαίνοντο τῷ δήμῳ οὐδὲ ἐβοήθουν·
νῦν δὲ ἡνίκα αὐτὸς ἑαυτῷ εὐνούστατός ἐστιν ὁ δῆμος, βοη-
θοῦσι τῷ μὲν ὀνόματι ὑμῖν, τῷ δὲ ἔργῳ σφίσιν αὐτοῖς. καὶ
μὴ θαυμάζετε, ὦ ἄνδρες δικασταὶ, ὅτι τοσαῦτα [1] ὦφλε
χρήματα. [2] ἐρήμην γὰρ αὐτὸν λαβόντες, αὐτοῦ τε καὶ
ἡμῶν κατηγοροῦντες εἷλον. τῷ μὲν γὰρ οὐδ' εἴ τις εἶχε 681
μαρτυρίαν, [3] εἶχε μαρτυρεῖν διὰ τὸ δέος τὸ τῶν κατηγόρων,
τοῖς δὲ καὶ τὰ ψευδῆ δεδοικότες ἐμαρτύρουν. ἢ [4] δεινά γ' ἂν
πάθοιμεν, ὦ ἄνδρες δικασταὶ, εἰ τοὺς μὲν οὐχ οἷουστε ὄντας
ἐξάρνους εἶναι μὴ οὐ χρήματα ἔχειν ὑμῶν, τούτους μὲν
ἀφῆτε ἀνδρὶ ἐξαιτουμένῳ· ἡμῖν δὲ αὐτοῖς τε προθύμοις γε- 682
γενημένοις περὶ τὸ πλῆθος τὸ ὑμέτερον, καὶ τοῦ πατρὸς

[1] ὤφειλε T. [2] ἔρημον A. [3] ἐτόλμησε A. [4] δεινὰ ἄγαν T.

ut *ejus præfecturam arguant*. Reisk. Potest servari vulgata; sed malim cum Reiskio legi. Auger.

Ὤφειλε] Imo vero ὦφλε. diversa ista sunt. ὄφλουσιν illi, qui in judicio ad mulctam dependendam condemnantur. ὀφείλουσιν autem, qui illam mulctam sibi irrogatam nondum dependerunt, sed adhuc debent. Reisk.

Ἐρήμην κ. τ. λ.] Vide ne sit: ἐρήμην γὰρ αὐτῷ λαχόντες. Taylor. Non displicet Taylori conjectura prima specie, verum si diligentius inspicias, invenias haud probabilem. Non enim de eo, qui abest, et nescit se accusari, usurpatur hæc formula ἐρήμην λαγχάνειν, sed de eo, qui cum esset in jus vocatus, sciretque sibi standum coram judicibus certa die fore, volens atque sciens copiam sui judicibus denegat, et se non sistit. quæ est contumacia: illa prior ignorantia. Bene si habet λαβόντες, male habet ἐρήμην. contra si hoc bene, illud male. Aut ergo ἔρημον αὐτὸν λαβόντες leg. *desertum ab amicis et desolatum cum deprehendissent Polystratum*, aut ἐρήμην αὐτὸν λαθόντες (a verbo λανθάνειν) *ipsum nescium, clam*. Constructio tum erit hæc: εἷλον αὐτὸν ἐρήμην (id est, ἐπὶ προφάσει δίκης ἐρήμης), *condemnarunt eum*, h. e. perfecerunt ut a judicibus condemnaretur, *titulo deserti fori*, seu actionis ubi reus se passus esset desiderari, κατηγοροῦντες (id est, διότι κατηγόρουν) *propterea quod eumque nosque accusabant*, λαθόντες, scil. ἡμᾶς (id est, λάθρα ἡμῶν), *nobis nesciis*. Reisk.

Εἶχε μαρτυρεῖν] Credo ὑπεῖχε vel ἀνεῖχε, vel εἷλε demum. Taylor. Iterum videtur errore oculorum peccasse Librarius, repetendo vocem εἶχε pro alia aliqua: qualis esset ἐτόλμα μαρτυρεῖν. *huic enim, qui testimonium potuerunt dicere, non ausi sunt*. Sequitur: τοῖς δὲ καὶ τὰ ψευδῆ δεδοικότες ἐμαρτύρουν. Recte. Patri meo, inquit, testimonium *verum*, metu testium, negatum fuit: accusatoribus vero etiam *falsa* testimonia, ex eodem metu testium, perhibebantur. Quare igitur mutaret Schottus δεδοικότες in δεδορκότες? vocem optimam, in vocem, quæ, secundum proprietatem et usum Græcæ Linguæ, huic loco convenire nequaquam potest? Mox, pro δεινὰ ἄγαν πάθοιμεν recte Stephanus δεινά γ' ἂν πάθοιμεν. Sic Orat. hac, ad finem: δεινὰ δ' ἂν πάθοιμεν, εἰ etc. Demosthenes contra Aristogit. I. ἢ δεινά γ' ἂν πάθοιεν οἱ διὰ γραφὴν ἐγγεγραμμένοι μόνην. Paulo ante, pro αὐτοῦ τε καὶ ἡμῶν κατηγοροῦντες, forte legendum, οἱ αὐτοῦ τε καὶ ἡμῶν κατηγοροῦντες. Markland. Videtur leg. οὐδ' εἴ τις εἶχε μαρτυρεῖν, ἐτόλμησε, διὰ τὸ δέος. Reisk.

Ψευδῆ δεδοικότες] Ψευ. δεδορκότες. Schott. Interponendum videtur μηδέν. *falsa adeo, nil veriti, testabantur*. Reisk.

Δεινὰ ἄγαν] Π. δεινά γ' ἄν. H. Stephan.

Ἀνδρὶ] Post ἀνδρὶ videtur στρατηγῷ vel tale quippiam deesse. Reisk.

Καὶ τοῦ πατρὸς etc.] Recte. tametsi scribere quoque potuisset τῷ πατρὶ, ut ὑμῖν. sed subitam hanc a Casu ad Casum transitionem amant Attici. Sic Orat. XXV. ὥσπερ τῶν μὲν ἄλλων ἀδικούντων, ἄριστοι δὲ ἄνδρες αὐτοὶ γεγενημένοι. et alio modo Orat. XXVIII. ὥσπερ ὑμεῖς τὰ τούτων μισθοφοροῦντες, ἀλλ' οὐ τούτων

οὐδὲν ὑμᾶς ἠδικηκότος, οὐ χαριεῖσθε. καὶ εἰ μὲν ξένος τις
ἐλθὼν ὑμᾶς ἢ χρήματα ᾔτει ἢ εὐεργέτης ἀναγραφῆναι ἠξίου,
ἔδοτε ἂν αὐτῷ· ἡμῖν δὲ οὐ δώσετε ἡμᾶς αὐτοὺς ἐπιτίμους
[1] ὑμῖν γενέσθαι. εἰ δέ τινες κακόνοι ἐγένοντο εἰς τὰ ὑμέτερα
πράγματα ἢ γνώμην μὴ ἐπιτήδειαν εἶπον, οὐχ οἱ ἀπόντες
683 τούτων αἴτιοί εἰσιν, ἐπεὶ καὶ τοὺς παρόντας ὑμεῖς ἀπελύ-
σατε. οὐδὲ γὰρ εἴ τις τῶν ἐνθάδε μὴ τὰ ἄριστα λέγων
πείθει ὑμᾶς, οὐχ ὑμεῖς ἐστὲ αἴτιοι, ἀλλ' ὁ ἐξαπατῶν ὑμᾶς.
ἐκεῖνοι δὲ σφῶν αὐτῶν προκαταγνόντες ἀδικεῖν οἴχονται, ἵνα 160. 1
μὴ δοῖεν δίκην· καὶ εἴ τινες ἄλλοι ἀδικοῦσιν, ἧττον μὲν
ἐκείνων, ἀδικοῦσι δὲ, τὸ δέος αὐτοὺς ποιεῖ τό τε ὑμέτερον
καὶ τὸ τῶν κατηγόρων μὴ ἐπιδημεῖν ἀλλὰ στρατεύεσθαι,
684 ἵνα ἢ ὑμᾶς πραοτέρους ποιῶσιν ἢ τούτους πείθωσιν. οὗτος
δὲ ὑμῖν δίκην δέδωκεν, [2] οὐδὲν ὑμᾶς ἀδικῶν, εὐθὺς μετὰ τὰ
πράγματα, ὅτε ὑμεῖς τε μάλιστα ἐμέμνησθε τῶν γενομένων

[1] ἐν ὑμῖν A. [2] οὐδὲν ὑμᾶς ἀδικῶν ὑμῖν δίκην δέδωκεν A.

τὰ ὑμέτερα κλεπτόντων. Sed hæc omnia superat istud Pauli Actor. XXII. 17. ἐγένετο δέ μοι ὑποστρέψαντι εἰς Ἱερουσαλὴμ, καὶ προσευχομένου μου ἐν τῷ ἱερῷ, γενέσθαι με ἐν ἐκστάσει. Nimirum, ut ait Demetrius περὶ ἑρμην. segm. 65. τὸ μεγαλεῖον ἐν τοῖς σχήμασι, τὸ μηδὲ ἐπὶ τῆς αὐτῆς μένειν πτώσεως. *magnificum est in figuris, neque in eodem manere casu.* Markland.

Ξένος] Post ξένος mihi videtur deesse aliquid quod sensum compleat, ad hunc ferme modum: si quis peregrinus, postquam maxima in vos contulerit beneficia. Auger.

Αὐτοὺς] Num αὖτις, *rursus*. Reisk.

Ὑμῖν] Malim ἐν ὑμῖν. *decreto vestro*, vi sententiæ a vobis de tribunali pronuntiatæ, quæ sententia vim legis habet. Idem.

Ἅπαντες] Πάντες, Ald. Sed ea lectio est unice vera quam in textum admisimus. Taylor. Scribe: οἱ ἀπόντες, *absentes*. sequitur enim: ἐπεὶ καὶ τοὺς παρόντας ὑμεῖς ἀπελύσατε. De qua ultima voce (ἀπελύσατε, *absolvistis*) notanda κρίσις Jul. Pollucis VIII. 2. segm. 9. ubi inter voces, quæ *absolutionem* significant, refert ἀφεῖναι, ἀπαλλάξαι· τὸ γὰρ ἀπολῦσαι (inquit) ἰδιωτικόν. *est enim vox* ἀπολῦσαι *vulgare.* et tamen Dion. Halicarnasseus dicit Lysiam esse τῆς Ἀττικῆς γλώσσης ἄριστον κανόνα, *optimam Attici sermonis normam.* sed, ut bene notat doctiss. Hemsterhusius ad locum istum Pollucis, 'Nemo est tam elegans ac nitidus scriptor, cui non aliquid ex idiotico loquendi genere adhæret.' Fieri quidem potest, ut hæc Oratio non sit Lysiæ; vel ut eam non legerit Pollux: vel ut hujus loci oblitus fuerit. Et sane mirum mihi videtur, Pollucem, qui Lysiam toties citat, ne in una quidem, quod sciam, harum, quæ extant, Oratione eum citavisse. Sed quid dicemus de hoc loco politissimi Xenophontis, Ἀπομν. lib. IV. 8. 5. οἱ Ἀθήνῃσι δικασταὶ πολλοὺς μὲν ἤδη μηδὲν ἀδικοῦντας, λόγῳ ἀχθεσθέντες, ἀπέκτειναν· πολλοὺς δὲ ἀδικοῦντας ἀπέλυσαν. et ita Hellen. V. p. 571. Nihilominus tamen vera esse potest Pollucis observatio. Thucydides quoque hac voce utitur sensu pari, lib. I. segm. 95. τῶν μὲν ἰδίᾳ πρός τινα ἀδικημάτων εὐθύνθη, τὰ δὲ μέγιστα ἀπολύεται, μὴ ἀδικεῖν. de Pausania loquitur. His auctoritatibus se tuetur Lucas XXIII. 20. θέλων ἀπολῦσαι τὸν Ἰησοῦν. et comm. 16. παιδεύσας οὖν αὐτὸν ἀπολύσω. et ita passim Ille, et cæteri Evangelistæ. Markland.

Ἐκεῖνοι] Per ἐκεῖνοι intelligo, duces rerum mutandarum qui alios pravis consiliis deceperunt. Auger.

Τούτους] Scil. accusatores. Reisk.

Εὐθὺς μετὰ τὰ πράγματα, ὅτε ὑμεῖς τε etc.] Ita distingue —πράγματα (ὅτε ὑμεῖς τε — ἔμελλε) πιστεύων ἀγωνιεῖσθαι εὖ μετὰ τοῦ δικαίου. Idem εὖ ἀγωνιεῖσθαι, quod καλῶς ἀγωνιεῖσθαι Orat. XIII. *bono cum periculo in hac causa versari.* Markland. Post πράγματα videtur ἐπανελθὼν aut ἐπανήκων excidisse. Reisk.

καὶ οὗτος ἐλεγχθήσεσθαι ἔμελλε, πιστεύων αὐτῷ μηδὲν
ἡμαρτῆσθαι ἀλλ' ἀγωνιεῖσθαι εὖ μετὰ τοῦ δικαίου.

ϛʹ. Ὡς δ' ἦν δημοτικὸς, ἐγὼ ὑμῖν ἀποδείξω. πρῶτον μὲν
γὰρ [1]ὅσων οὐδεμιᾶς στρατείας ἀπελείφθη, ἀλλ' ἐστρα-
τεύετο, ὡς συνειδότες ἂν εἴποιεν οἱ δημόται· καὶ ἐξὸν αὐτῷ
τὴν οὐσίαν ἀφανῆ καταστήσαντι [2]μηδὲν ὑμᾶς ὠφελεῖν, 685
εἵλετο μᾶλλον συνειδέναι ὑμᾶς· ἵν', εἰ καὶ βούλοιτο κακὸς
εἶναι, μὴ ἐξῇ αὐτῷ, ἀλλ' εἰσφέροι τε τὰς εἰσφορὰς καὶ
λειτουργοίη. καὶ ἡμᾶς παρεσκεύασεν, ὡς ἂν τῇ πόλει
ὠφελιμώτατοι εἴημεν. καὶ ἐμὲ μὲν εἰς Σικελίαν [3]ἐξέπεμψεν,
ὑμῖν δ' οὐκ ἦν, ὥστ' εἰδέναι [4]κατειλεγμένον εἰς [5]τοὺς 686
ἱππέας, οἷος ἦν τὴν ψυχὴν, ἕως τὸ στρατόπεδον [6]σῶν ἦν·
ἐπειδὴ δὲ διεφθάρη καὶ [7]ἀνεσώθην [8]εἰς Κατάνην, [9]ἐληϊζόμην
ὁρμώμενος ἐντεῦθεν καὶ τοὺς πολεμίους κακῶς ἐποίουν,

[1] ὅσων ἐστρατεύσασθε A. [2] μηδὲν δὲ T. [3] ἐξέπεμψεν ὡς τοὺς ἱππέας A.
[4] κατειλεγμένον εἰς om. T. R. A. [5] [τοὺς ἱππέας] R. om. A. [6] σῶον T. R. A.
[7] ἀνεσώθη T. [8] εἰς τὴν T. R. A. [9] ἠλπιζόμην T.

Αὐτῷ] Τῷ vel αὐτῷ τῷ. Cont. Potest tamen servari vulgata, et ita intelligi: *confidens nihil a se peccatum esse.* Auger.

Ἀποδείξω] Velim addi ἄλλως γέ πως, vel aliud quid. Auger.

Ὅσων οὐδεμιᾶς] Π. ἁπασῶν οὐδεμιᾶς. H. Stephan. ὅτι οὐδεμιᾶς. Schott. ὅσον οὐδεμιᾶς. Scalig. Dele ὅσων. Cont. Mallem: τῶν ἁπασῶν ὅσων οὐδεμιᾶς. *non aberat in ulla omnium, quotquot fuerunt, expeditione.* Elegans pleonasmus vocis ὅσων. sic μυρίας ὅσας ἰδέας, et πλείστων ὅσων μυριάδων, Philoni lib. III. de Vita Mosis; et πάνθ' ὅσα λεγούσῃ, de Leg. Special. p. 539. Utcunque legas, requiri videtur Articulus. Markland. et *in edit. min.* Taylor.

Ὅσων] Post ὅσων videtur ἐστρατεύσασθε deesse. *quotcunque militares expeditiones suscepistis, ab earum omnium nulla se passus est abesse.* Reisk.

Μηδὲν δὲ ὑμᾶς ὠφελεῖν] Π. μηδὲν ὠφελεῖν. H. Stephan. Cont. Legerim: μηδὲν ὑμᾶς ὠφελεῖν. Taylor. Forte leg. μηδὲν δὴ ὑμᾶς ὠφελεῖν. Markland.

Συνειδέναι ὑμᾶς] Scil. ἑαυτῷ φανερὰν ἔχοντι τὴν οὐσίαν. Reisk.

Καὶ ἡμᾶς] Δὲ quod in vulgaribus paulo ante v. 6. redundat, huc transferendum et pone ἡμᾶς collocandum videtur. Idem.

Καὶ ἐμὲ μὲν, κ. τ. λ.] Horridiuscula sunt, quæ sequuntur, et turbata omnia. Non displicebunt fortasse, quæ proferat divinatio: Καὶ ἐμὲ μὲν εἰς Σικελίαν ἐξέπεμψεν ὡς τοὺς ἱππέας· ὑμῖν δ' οὐκ ἐξῆν εἰδέναι, οἷος ἦν τ. ψ. ἕως τὸ στρατόπεδον σῶον ἦν. Taylor.

Ὑμῖν δ' οὐκ ἦν, * * * * ὥστ' εἰδέναι τοὺς ἱππέας etc.] Ita hunc locum signo, cum manifestus sit defectus, ut mihi videtur. Mox pro διεφθάρη Schottus conjicit διεσπάρη. nihil muta. διεφθάρη enim melius opponitur τῷ, σῶον ἦν, quam διεσπάρη. Sic Orat. XXI. αἱ νῆες διεφθάρησαν. et, τοὺς στρατιώτας διασπασθῆναι καὶ διαφθαρῆναι, Demosth. Orat. περὶ τῶν ἐν Χεῤῥονήσῳ; ubi opponitur τὸ εὐσθενεῖν. Noster Orat. XXII. τὰς ναῦς διεφθάρθαι τὰς ἐν τῷ Πόντῳ. ita enim ibi reponendum ex MS. Stephani, pro ἐφθάρθαι. Sequitur: καὶ ἀνεσώθη εἰς τὴν Κατάνην, ἠλπιζόμην ὁρμώμενος ἐντεῦθεν. Scribe: καὶ ἀνεσώθην — ὡπλιζόμην ὁρμώμενος ἐντεῦθεν. *et ad Catanam salvus evaseram, gravis armaturæ miles inde profectus sum.* recenset enim facta sua, quando erat ἱππεὺς, et quando ὁπλίτης. unde hunc locum mox concludit ita: ὥστ' εἰδέναι πάντας, οἷος ἦν τὴν ψυχὴν ἱππεύων τε καὶ ὁπλιτεύων· ὧν τοὺς μάρτυρας παρέξομαι. Vulgo deest ὧν, quam vocem bene addidit Stephanus. Markland. Mihi videtur locus sic esse leg. ὑμῖν δ' οὐκ ἦν πως εἰδέναι οἷος ἦν τ. ψ. omissis duobus vocabulis τοὺς ἱππέας, quæ a sua vera sede aberrarunt et huc irruperunt, pone ὑμῖν aliquot versibus post collocanda in illis ὑμῖν τοὺς μάρτυρας παρέξομαι. Reisk.

Ἠλπιζόμην] F. ἐληϊζόμην. Cont. Taylor.

ὥστε τῇ θεῷ τε [1] τὰς δεκάτας ἐξαιρεθῆναι πλέον ἢ τριάκοντα μνᾶς καὶ τοῖς στρατιώταις εἰς σωτηρίαν, ὅσοι ἐν τοῖς πολεμίοις ἦσαν. καὶ ἐπειδὴ Καταναῖοι ἠνάγκαζον ἱππεύειν, ἵππευον, καὶ οὐδενὸς οὐδ᾽ ἐνταῦθα κινδύνου [2] ἀπελιπόμην, ὥστ᾽ εἰδέναι ἅπαντας οἷος ἦν τὴν ψυχὴν ἱππεύων τε καὶ ὁπλιτεύων. [3] καὶ ὑπὲρ τούτων ὑμῖν τοὺς μάρτυρας παρέξομαι.

687 ΜΑΡΤΥΡΕΣ.

ζ′. Ἀκηκόατε μὲν τῶν μαρτύρων, ὦ ἄνδρες δικασταί· οἷος δ᾽ εἰμὶ περὶ τὸ ὑμέτερον πλῆθος, ἐγὼ ὑμῖν ἀποδείξω. ἀφικομένου γὰρ ἐκεῖσε Συρακουσίου ὅρκιον ἔχοντος καὶ ἑτοίμου ὄντος ὁρκοῦν καὶ προσιόντος πρὸς ἕνα ἕκαστον τῶν ἐκεῖ ὄντων, ἀντεῖπον εὐθὺς αὐτῷ, καὶ ἐλθὼν ὡς Τυδέα διηγούμην ταῦτα, καὶ συλλογὴν ἐποίει, καὶ λόγοι οὐκ ὀλίγοι ἦσαν. ὧν δ᾽ οὖν ἐγὼ εἶπον, καλῶ μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

688 σκέψασθε δὴ καὶ τοῦ πατρὸς τὴν ἐπιστολήν, ἣν ἔδωκεν ἀποδοῦναί [4] μοι, πότερα τῷ ὑμετέρῳ πλήθει [5] ἀγαθὸς ἦν,

[1] εἰς τὰς A. [2] ἀπελειπόμην T. R. A. [3] καὶ ὑπὲρ τούτων om. T. ὧν R. A. [4] ἐμοὶ T. R. A. [5] ἀγαθὰ T. R. ἀγαθὴ A.

Τῇ θεῷ κ. τ. λ.] F. τῇ θεῷ τε εἰς δεκάτας — καὶ τοῖς στρατιώταις εἰς σωτηρίαν. Idem. Videtur deesse aliquid. forte: τὰ εἰς σωτηρίαν etc. ut dicat, tantum captum fuisse prædæ et pecuniæ, quantum satis esset ad redimendos ex hostibus captivos milites nostros. Markland. Post τοῖς στρατιώταις videtur vocab. περιεῖναι deesse. *et ut superesset unde milites possent e captivitate redempti in patriam ad suos reverti.* Reisk.

Ὑμῖν] Π. ὧν ὑμῖν. H. Stephan. Cont. Taylor.

Ὅρκιον] Aut est formula sacramenti militaris, aut charta, *Creditiv* appellamus, fidem faciens iis, quibus exhibetur, eum, cui data sit istæc charta, a magistratibus, quorum legatus esset, instructum esse auctoritate vel potestate milites conscribendi et sacramento adigendi. Reisk.

Ἐποίει] Nempe Τυδεύς. Auger.

Καλῶ μάρτυρας.] Nunquam alibi, nisi fallor, ita loquitur, sed semper κάλει. Orat. XXXI. καί μοι κάλει αὐτὸν Διότιμον. et aulo post eadem Orat. κάλει μοι τοὺς μάρτυρας. Orat XII. τοὺς δὲ μάρτυράς μοι κάλει. et ita fere in singulis Orationibus. Nihil tamen muto. Demosthenes enim pariter loquitur, in Midiam: καὶ τούτων τοὺς παρόντας ὑμῖν καλῶ μάρτυρας. et ita iterum in eadem Oratione: et alibi passim. Mox, lego et distinguo: τὴν ἐπιστολὴν, ἣν ἔδωκεν ἀποδοῦναι ἐμοὶ, πότερα τῷ ὑμετέρῳ πλήθει ἀγαθοῦ ἦν, ἢ οὔ. non ἀγαθά. Ἀγαθὸς τῷ ὑμετέρῳ πλήθει est quod passim dicit χρηστὸς, πρόθυμος, εὔνους τῷ ὑμετέρῳ πλήθει. Sequitur: τά τε γὰρ οἰκεῖα ἀνεγέγραπτο, καὶ ἔτι, ὅτε καλῶς ἔχοι τὰ ἐν Σικελίᾳ, ἥκειν, vel ἥξειν. *domesticæ enim res inibi erant prescriptæ; et præterea, ut quando res Siculæ compositæ essent, reverterer.* Hæc sana tribus modis tentat Schottus: sana, inquam, nisi aliter MSS. Deinde, mallem: ὑμῖν τε συνέφερε καὶ τοῖς ἐκεῖ. vulgo deest τε. Markland.

Ἣν ἔδωκεν] Sed cui? videtur hic nomen ejus desiderari, cui addita fuit illa epistola a Polystrato, filio reddenda. Reisk.

Πότερα] Adverbialiter sumitur, et idem valet ac πότερον. Auger.

ἢ οὔ. τά τε γὰρ οἰκεῖα [1]ἐνεγέγραπτο, καὶ ἔτι, ὅτε καλῶς
ἔχοι τὰ ἐν Σικελίᾳ, ἥκειν. καίτοι [2]ταὐτὰ ὑμῖν συνέφερε καὶ
τοῖς ἐκεῖ· ὥςτ᾽, εἰ μὴ εὔνους ἦν τῇ πόλει καὶ ὑμῖν, οὐκ ἄν
ποτε τοιαῦτα ἐπέστελλεν. ἀλλὰ μὴν καὶ τὸν ἀδελφὸν τὸν
νεώτατον, οἷος εἰς ὑμᾶς ἐστὶν, ἐγὼ ἀποδείξω. καταδρομῆς
γὰρ γενομένης τῶν φυγάδων, [3]οἳ οὐ μόνον ἐνθάδε [4]ὅ τι οἷοί
τ᾽ ἦσαν κακὸν εἰργάζοντο, ἀλλὰ καὶ ἀπὸ τοῦ τείχους 689
ἔφερον καὶ ἦγον ὑμᾶς, ἐξελάσας ἐξ τῶν ἄλλων ἱππέων ἕνα
ἀπέκτεινεν. ὧν ὑμῖν αὐτοὺς μάρτυρας τοὺς παραγενομένους
παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

τὸν δὲ πρεσβύτατον ἀδελφὸν αὐτοὶ οἱ συστρατευόμενοι ἴσασιν, οἵτινες ἐνθάδε ὄντες ἦτε ἐν Ἑλλησπόντῳ, ὥςτε νομίζειν μηδενὸς [5]ἧττον᾽ εἶναι ἀνθρώπων τὴν ψυχήν. καί μοι ἀνάβητε [6]δεῦρο.

[7]ΜΑΡΤΥΡΕΣ.

η΄. Πῶς οὖν οὐ χρὴ χάριν παρ᾽ ὑμῶν ἀπολαμβάνειν, εἰ 690
τοιοῦτοι ἐσμέν; ἀλλ᾽ ὧν μὲν ὁ πατὴρ διαβέβληται εἰς

[1] ἀνεγέγραπτο T. R. [2] ταῦτα T. R. A. [3] οἳ om. T. [4] ὅτε T. [5] ἧττον T. [6] δεῦρο μάρτυρες. A. [7] ΜΑΡΤΥΡΕΣ. om. T. R. A. [8] ἀλλ᾽ om. T. ἢ R. A.

Ἢ οὔ] Post ἢ οὔ videtur deesse τὰ ἐγγεγραμμένα. Reisk.

Ἀνεγέγραπτο] Malim ἐνεγέγρ. Idem.

Καὶ ἔτι κ. τ. λ.] Ὡς, ὅτι καλῶς forte leg. vel sic: ὡς καλῶς ἔχοι τὰ ἐν Σικελίᾳ. Quid si addatur ἐξῇ, ut hoc modo legatur: καὶ ἔτι, ὡς ὅτι καλῶς ἔχοι τὰ ἐν Σικελίᾳ ἥκειν, vel ἐξῇ ἥκειν. Hæc annotavit Schottus. Taylor. Subauditur ἐνεγέγραπτο. *et præterea hoc erat in illis literis scriptum, mihi domum esse redeundum, donec res bene in Sicilia haberent.* Possent quoque illa duo vocabula ἔτι ὅτε transponi, sic: καὶ, ὅτε ἔτι καλῶς. *dum adhuc bene haberent res.* Reisk.

Ταῦτα] Lege ταὐτά. Taylor. καὶ τοιαῦτα MS. quæ lectio si probetur, leg. sit: καὶ τοιαῦτα ἃ ὑμῖν — *aliaque hujusmodi*, scil. in literis patris ad me scriptis exarata erant, *quæ vobis* —. Reisk.

Οὐ μόνον ἐνθάδε κ. τ. λ.] Οἳ οὐ μόνον ἐνθάδε ὅπου οἷοί τ᾽ ἦσαν. Cont. Lege: οἳ οὐ μόνον ἐνθάδε ὅ τι οἷοί τ᾽ ἦσαν κακὸν εἰργάζοντο, ἀλλὰ, et quæ sequuntur. Taylor. Scribe, οἳ οὐ μόνον etc. constructione ita postulante. Markland.

Ἀπὸ τοῦ τείχους] Deceleam videtur significare. Reisk.

Ἕνα] Subaudi τῶν φυγάδων. Idem.

Οἵτινες κ. τ. λ.] F. καὶ οἵτινες ὑμῶν. vel ἴσασιν in ἴσατε commuta. Schott.

Ἴσασιν, οἵτινες ἐνθάδε ὄντες, ἦτε ἐν Ἑλλησπόντῳ· ὥστε νομίζειν etc.] Sic interpungendum: et pro ἦτε legendum οἵτε. Pro ἧττον recte Stephanus ἥττονα. Markland. Mihi videtur pro οἵτινες leg. οἵτε, et pro ἦτε iterum pariter οἵτε. *tam illi qui nunc hic adsunt Athenis*, vel *huic judicio intersunt, quam qui adhuc in Hellesponto sunt*, nondum reversi domum. Reisk.

Ἧττον] Π. ἥττονα. H. Stephan. Taylor. ἥττω. Scalig.

Ἀνθρώπων] Ἀνθρώπων ἀγαθόν. Cont.

Καὶ μοι ἀνάβητε δεῦρο. πῶς οὖν etc.] Supple: δεῦρο μάρτυρες. ΜΑΡΤΥΡΕΣ. Πῶς οὖν etc. Vanderheidius quoque semel inseruit vocem testes. geminari oportuit. Solennis hæc omissio, abbreviaturæ alicui forte debita, vel Notæ ταχυγραφικῇ. Markland.

Ὧν μὲν] Ἆρα ὧν μὲν. Cont.

Διαβέβληται εἰς ὑμᾶς δικαίως] Ἀδίκως, vel οὐ δικαίως. Idem. Ratio postulat ἀδίκως. Vide ad fin. Orat. XV. Markland.

ὑμᾶς [1] οὐ δικαίως, τούτων δεῖ ἡμᾶς ἕνεκα ἀπολέσθαι, δι᾽ ὧν
δὲ πρόθυμοι εἰς τὴν πόλιν γεγενήμεθα, [2] μηδεμίαν ὠφέλειαν
γενέσθαι; ἀλλ᾽ οὐ δίκαιον· ἀλλ᾽ εἰ διὰ τὴν τούτου διαβολὴν
δεῖ ἡμᾶς [3] πάσχειν, δίκαιοί ἐσμεν διὰ τὴν ἡμετέραν προθυ-
μίαν τοῦτόν τε σῶσαι καὶ ἡμᾶς. οὐ γὰρ ἂν ἡμεῖς χρημάτων
γε ἕνεκα, ἵνα λάβοιμεν, εὖ ὑμᾶς ἐποιοῦμεν· ἀλλ᾽ ἵνα, εἴ
ποτε κίνδυνος εἴη ἡμῖν, ἐξαιτούμενοι παρ᾽ ὑμῶν τὴν ἀξίαν
χάριν ἀπολάβοιμεν. χρὴ δὲ ὑμᾶς καὶ τῶν ἄλλων ἕνεκα
τοιούτους εἶναι, γιγνώσκοντας ὅτι, [4] ἐάν τις πρόθυμος εἰς
691 ὑμᾶς ᾖ, οὐ μόνον ἡμᾶς ὠφελήσετε. [5] ἡμῶν μὲν γὰρ καὶ πρὶν
δεηθῆναι πεπείρασθε, οἷοι ἐσμὲν εἰς ὑμᾶς· [6] τοὺς δὲ ἄλλους
692 προθυμοτέρους ποιήσετε, κατ᾽ ἀξίαν χαριζόμενοι, ὃς ἄν τις
ὑμᾶς εὖ ποιῇ. καὶ μηδαμῶς τοῖς λέγουσι βεβαιώσητε [7] λόγον 161. 1

[1] οὐ om. T. [2] τούτων ἡμῖν μηδεμίαν A. [3] κακῶς πάσχειν A.
[4] ἐάν - - - ᾖ post ἕνεκα ponit A. [5] (ἡμῶν - - - ὑμᾶς) T. R. A.
[6] ἀλλὰ καὶ τοὺς ἄλλους A. [7] λεγόντων πάντων T.

Γεγενήμεθα] Subaudi τούτων ἡμῖν. quæ alius addidisset. Reisk.

Τούτου] I. e. κατὰ τούτου. Auger.

Πάσχειν] Alii κακῶς πάσχειν usurpant. nescio, an Noster quoque hic usurparit. Reisk.

Γιγνώσκοντας κ. τ. λ.] Quantum Schotti mentem intelligam, ita hunc locum ordinari voluit: *γιγνώσκοντας ὅτι οὐ μόνον ἡμᾶς ὠφελήσετε (ἡμῶν μὲν γὰρ καὶ πρὶν δεηθῆναι πεπείρασθε οἷοι ἐσμὲν εἰς ὑμᾶς), τοὺς δὲ ἄλλους (ἐάν τις πρόθυμος εἰς ὑμᾶς ᾖ) προθυμοτέρους ποιήσετε, κ. τ. λ.* Idem dicitur jussisse: πρόθυμος εἰς ἡμᾶς ᾖ pro εἰς ὑμᾶς. Sed circa hunc locum hominis sensa videntur editores pessima fide exscripsisse. Taylor. Omnia confusa sunt et perturbata. Sine unius literæ mutatione singula in suas sedes en tibi reducta: χρὴ δὲ ὑμᾶς, καὶ τῶν ἄλλων ἕνεκα, ἐάν τις πρόθυμος εἰς ὑμᾶς ᾖ· τοιούτους εἶναι γινώσκοντας, ὅτι οὐ μόνον ἡμᾶς ὠφελήσετε, τοὺς δὲ ἄλλους (ἡμῶν μὲν γὰρ καὶ πρὶν δεηθῆναι πεπείρασθε οἷοι ἐσμὲν εἰς ὑμᾶς) προθυμοτέρους ποιήσετε, κατ᾽ ἀξίαν χαριζόμενοι, ὃς ἄν τις ὑμᾶς εὖ ποιῇ. *oportet autem vos tales esse aliorum quoque causa, qui vestris forte rebus student: scientes, non nobis solum beneficium vos collaturos esse, sed et alios (nostrum enim* jam, *ante has preces, experimentum sumpsistis) promptiores reddituros esse, si meritam gratiam rependatis* illi, *quicumque vos beneficio afficiat.* Omnia jám clara; et egregia est sententia. Schottus quoque Parenthesin positam voluit post voces τοὺς δὲ ἄλλους. Markland. Dubio vacat Schottum εἰς ἡμᾶς exarasse, *erga nos.* Cujus e conjectura sententia exsisteret non inconveniens, si πρόθυμος εἶς τινα εἶναι de judicibus clementia erga reos utentibus usurparetur. verum de civibus usurpatur virtute sua patriam ornare conantibus. Mentem utique suam Lysias paulo indisertius h. l. declaravit, quæ hæc est: ὅτι, ἐὰν νῦν ἡμᾶς ἐλεοῦντες ἀφῆτε. οὐ μόνον ἡμᾶς ὠφελήσετε, τοὺς εἰς ὑμᾶς προθύμους γεγενημένους, ἀλλὰ καὶ μᾶλλον ὑμᾶς αὐτούς. *si nos absolvatis, non solum vos gratos et memores acceptorum beneficiorum esse (nos enim fuisse bene de vobis meritos), sed etiam commodis vestris una prospicere, neque magis nobis, qui bene de vobis mereri studeamus, prospicere, quam vobismet ipsis.* ἡμῶν μὲν γὰρ καὶ πρὶν δεηθῆναι, scil. ὑμᾶς — *nam etiamsi erga nos ingrati sitis, tamen id non multum vobis nocere posse, quia jam abstuleritis officia nostra: verum alios facietis vestri studiosiores, si gratiam acceptam in nobis referatis.* Reisk.

Ὅς ἄν τις] Accipi potest pro dicto per tmesin, ac si dictum esset consueto modo ὅστις ἄν. nescio tamen an h. l. præstet ὅσ᾽ cum apostropho legi, id est, ὅσα ἄν τις. Idem. Non male. Auger.

Καὶ μηδαμῶς κ. τ. λ.] F. καὶ μηδαμῶς τοῖς λέγουσι βεβαιώσητε λέγειν τὸ πάντων πονηρότατον. Taylor. Lege: λόγον τῶν (vel τὸν) πάντων πονηρότατον. *neque confirmabitis sententiam, omnium iniquissimam.* quæ sententia sequitur: λέγεται γὰρ etc. Absque Articulo Andocides de Myster. §. δ΄. λόγον πάντων δεινότατόν τε

των πάντων πονηρότατον· λέγεται γὰρ τοὺς κακῶς πε-
πονθότας μεμνῆσθαι μᾶλλον ἢ τοὺς εὖ. τίς γὰρ ἔτι θελήσει
χρηστὸς εἶναι, εἰ ἡττηθήσονται τῶν κακῶς ὑμᾶς ποιούντων
οἱ εὖ ποιοῦντες; ἔχει δ' [1] ὑμῖν, ὦ ἄνδρες δικασταὶ, οὕτω.
περὶ ἡμῶν γάρ ἐστι ψῆφος ὑμῖν, καὶ οὐ περὶ χρημάτων. 693
ἕως μὲν γὰρ εἰρήνη ἦν, ἡμῖν φανερὰ οὐσία, καὶ ἦν ὁ πατὴρ
ἀγαθὸς γεωργός· ἐπειδὴ δὲ εἰσέβαλον οἱ πολέμιοι, πάντων
τούτων ἐστερήθημεν. ὥστε αὐτῶν τούτων ἕνεκα πρόθυμοι
ἐσμὲν εἰς ὑμᾶς, εἰδότες ὅτι χρήματα μὲν ἡμῖν οὐκ εἴη πόθεν
ἐκτίσομεν, αὐτοὶ δὲ πρόθυμοι ὄντες εἰς ὑμᾶς ἀξιοῦμεν εὑρί-
σκεσθαι χάριν.

θʹ. Καίτοι ὁρῶμέν γ' ὑμᾶς, ὦ ἄνδρες δικασταὶ, ἐάν τις
παῖδας αὐτοῦ ἀναβιβασάμενος κλαίῃ καὶ ὀλοφύρηται, τούς 694
τε παῖδας καὶ αὐτὸν εἰ ἀτιμωθήσονται ἐλεοῦντας, καὶ
ἀφιέντας τὰς τῶν πατέρων ἁμαρτίας διὰ τοὺς παῖδας, οὓς
οὔπω ἴστε εἴτε ἀγαθοὶ εἴτε κακοὶ ἡβήσαντες γενήσονται·
ἡμᾶς δ' ἴστε ὅτι πρόθυμοι γεγενήμεθα εἰς ὑμᾶς, καὶ τὸν
πατέρα οὐδὲν ἡμαρτηκότα. ὥστε πολλῷ δικαιότεροί ἐστε ὧν
πεπείρασθε τούτοις χαρίσασθαι, ἢ οὓς οὐκ ἴστε ὁποῖοί
τινες ἔσονται. πεπόνθαμεν δὲ τοὐναντίον τοῖς ἄλλοις ἀν-

[1] ὑμῖν om. A.

καὶ ἀνοσιώτατον λέγοντες. Idem mendum, et in eadem voce, apud Xenophont. Ἑλλην. VII. p. 625. C. Legendum quoque puto βεβαιώσετε, in Futuro, ut ὠφελήσετε et ποιήσετε, paulo ante. MARKLAND.

Ἡμῖν] Ἦν μέν. SCAL. F. ἦν ἡμῖν. REISK. Subaudi ἦν. AUGER.

Αὐτῶν τούτων ἕνεκα etc.] Hæc quoque sententia obscurissima est, ex interpunctione et depravatione. Lego: ὥστε οὐ τῶν τοιούτων ἕνεκα πρόθυμοι ἐσμὲν εἰς ὑμᾶς (εἰδότες, ὅτι χρήματα μὲν ἡμῖν οὐκ ἂν εἴη πόθεν ἐκτίσομεν), αὐτοὶ δὲ πρόθυμοι ὄντες εἰς ὑμᾶς, ἀξιοῦμεν εὑρίσκεσθαι χάριν. *non igitur* nunc *sumus vobis benevoli rerum hujusmodi* (facultatum nostrarum) *causa (probe enim scimus nobis non fore, unde solvamus*, si mulctemur), *sed* olim *benevoli cum fuerimus*, nunc *gratiam reposcimus*. Hic videtur esse sensus, satis obvius et perspicuus. corruptam puto vocem inutilem αὐτοὶ, vel deesse ἤδη aut πρότερον: quasi scriptum fuisset: πρότερον δὲ πρόθυμοι ὄντες εἰς ὑμᾶς, νῦν ἀξιοῦμεν etc. vel tale quidpiam. Inserui ἂν ante εἴη. Phrasin εὑρίσκειν (idem quod Lysiæ εὑρίσκεσθαι) χάριν habes apud Lucam I. 30. et Actor. VII. 46. Sensu tamen diverso. MARKLAND. *Eam ipsam ob causam quod bonis eversi essent.* Divites enim possunt largitionibus gratiam populi redimere, iramve plaçare. pauperes autem, quo gratiam apud populum ineant, aliud nihil quam corpus operamque manuum et lacertorum habent. REISK. Cf. D'Orville ad Char. Aphrod. l. II. c. 9. p. 209.

Ἀφιέντας τὰς τῶν πατέρων ἁμαρτίας etc.] Matthæus IX. 6. ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας. MARKLAND. Locus corruptus et lacer. SCHOTT. Qui in Observ. human. IV. 10. hæc adjecit: 'Locus sane est, mihi quidem impeditus. Tentabam sic meliorem facere ac perspicuum, quatuor duntaxat voculis mutatis, unaque omissa: Εἰ δὲ τοῦτον ἀδίκως ἀπολεῖτε, πῶς ἢ ἡμῖν ἡδέως συνεσόμεθα, ἢ ἡμεῖς ἀλλήλοις, ὑμῶν τε ἀνάξια πάσχοντες καὶ τῆς πόλεως.' Sed fortasse nihil est opus, modo legas nova distinctione: ἢ ἡμεῖς ἀλλήλοις ἐν τῷ αὐτῷ, ὄντες ὑμῶν τε ἀνάξιοι καὶ τῆς πόλεως. TAYLOR.

θρώποις. οἱ μὲν γὰρ ἄλλοι τοὺς παῖδας παραστησάμενοι
ἐξαιτοῦνται ὑμᾶς, ἡμεῖς δὲ τὸν πατέρα τουτονὶ καὶ ἡμᾶς
ἐξαιτούμεθα, μὴ ἡμᾶς ἀντὶ μὲν ἐπιτίμων ἀτίμους ποιήσητε,
ἀντὶ δὲ πολιτῶν ἀπόλιδας· ἀλλὰ [1] ἐλεήσατε καὶ τὸν πατέρα
695 γέροντα ὄντα καὶ ἡμᾶς. εἰ δὲ ἡμᾶς ἀδίκως ἀπολεῖτε, πῶς
ἢ οὗτος ἡμῖν ἡδέως συνέσται, ἢ ἡμεῖς ἀλλήλοις ἐν τῷ [2] αὐτῷ,
ὄντες ὑμῶν τε ἀνάξιοι καὶ τῆς πόλεως; ἀλλ' ὑμῶν δεόμεθα
τρεῖς ὄντες ἐᾶσαι ἡμᾶς ἔτι προθυμοτέρους γενέσθαι. δεόμεθα
οὖν ὑμῶν πρὸς τῶν ὑπαρχόντων ἀγαθῶν ἑκάστῳ, ὅτῳ μέν
εἰσιν υἱεῖς, τούτων ἕνεκεν ἐλεῆσαι· ὅστις [3] δ' ἡμῖν ἡλικιώτης
696 τυγχάνει ἢ τῷ πατρὶ, ἐλεήσαντες ἀποψηφίσασθε, καὶ μὴ
ἡμᾶς βουλομένους εὖ ποιεῖν τὴν πόλιν ὑμεῖς κωλύσητε. δεινὰ
δ' ἂν πάθοιμεν, εἰ ὑπὸ τῶν πολεμίων μὲν ἐσώθημεν, οὓς
εἰκὸς ἦν διακωλύειν μὴ σώζεσθαι, παρ' ὑμῶν δὲ μηδὲν
[4] εὑρησόμεθα τοῦ σωθῆναι.

[1] ἐλεήσητε A. [2] αὐτῷ ὄντες, T. αὐτῷ, δοκοῦντες A. [3] δ' om. T. [4] εὑρηθησόμεθα ἄξιοι τοῦ A.

Ἐλεήσατε] Π. ἐλεήσητε. H. STEPHAN.

Ἀπολεῖτε, πῶς ἢ οὗτος ἡμῖν —— ἢ ἡμεῖς ἀλλήλοις etc.] Stephanus pro ἡμῖν et ἡμεῖς conjicit ὑμῖν et ὑμεῖς. Schottus putat locum corruptum et lacerum. Mihi omnia sana videntur, si recte capiatur ἀπολεῖτε *perditis*, scil. *exsilio:* prout ex sequentibus patet. Sic Orat. XVIII. ἀξιοῦμεν μὴ ἀδίκως ἡμᾶς ἀπολέσαι. ubi de *mulcta* loquitur. Demosthenes πρὸς Εὔβουλ. ὥσπερ φυγάδος ἤδη μου ὄντος, καὶ ἀπολωλότος. ubi ultima vox de *exsilio* capienda est. et ita ἀπολέσητε paulo post, ad finem istius Orationis. Paulo ante pro ἐλεήσατε recte Stephanus ἐλεήσητε, et mox ὅστις δὲ ἡμῖν pro ὅστις ἡμῖν. MARKLAND.

Ἐν τῷ αὐτῷ] Comma, quod olim pone ὄντες stabat, tollendo illuminavi sententiam. ἐν τῷ αὐτῷ idem est atque ὁμοῦ, vel ἅμα. Est ergo idem, ac si dixisset: ὄντες ἀνάξιοι ὑμῶν ἅμα, καὶ τῆς πόλεως. *si simul vobis et vestræ civitati simus dedecori.* Sunt autem civitatibus et judicibus dedecori hi cives, qui, cum bene de republica meriti fuissent, condemnati iniquis judiciis et ad miserrimam paupertatem redacti, civitati immemorem animum, et judicibus cupiditatem atque iniquitatem ita exprobrant, ut Plinius junior domum nimis caro emptam domino intuenti stultitiam ait exprobrare. Indignum enim est illustri civitate, cui magnos et excelsos par est animos esse, civium ingentia de se merita oblivisci, aut injuriis ulcisci. Indignum est fama et æquitate judicum, iniquis judiciis insontes pessumdare. REISK.

Ὅστις ἡμῖν] Π. ὅστις δὲ ἡμῖν. H. STEPHAN. TAYLOR.

Τῷ πατρὶ] Post τῷ πατρὶ videtur τὴν ἡλικίαν deesse. REISK.

Εὑρησόμεθα] Aut post εὑρησόμεθα, aut post σωθῆναι deesse videtur ἄξιον. *si a vobis nihil impetremus, quod tanti sit, ut operæ pretium fecisse videamur, nos ex hostium telis et captivitate liberando.* σωθῆναι hic non est judicio absolvi, sed vitam et corpus salvum e bellis domum referre. Vel etiam sic legi possit: μηδὲν εὑρησώμεθα δοκοῦντες ἀνάξιοι τοῦ σωθῆναι, scil. παρ' ὑμῶν. IDEM.

ΛΥΣΙΟΥ

ΑΠΟΛΟΓΙΑ ΔΩΡΟΔΟΚΙΑΣ

ΑΠΑΡΑΣΗΜΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Oratio egregia et luculenta, in qua Reus (quisquis demum sit) suspicionem δωροδοκίας a se amolitur, recensendo totius vitæ instituta et plurima in remp. merita, non ex lege, sed propria voluntate profecta. Nonnullis video fraudem fuisse orationis initium, quibus exordium multaque alia deesse constat. Verbis utor postremi editoris.

Pag. ed. H. Steph. Pag. ed. Reisk.

161. 31 α΄. ΠΕΡΙ μὲν τῶν κατηγορημένων, ὦ ἄνδρες δικασταὶ, 697
ἱκανῶς ὑμῖν ἀποδέδεικται· ἀκοῦσαι δὲ καὶ περὶ τῶν ἄλλων
ὑμᾶς ἀξιῶ, ἵν᾽ ἐπίστησθε περὶ [1]οἵου τινὸς ὄντος ἐμοῦ ψηφιεῖσθε. ἐγὼ γὰρ ἐδοκιμάσθην μὲν ἐπὶ Θεοπόμπου ἄρχοντος, 698
καταστὰς δὲ χορηγὸς τραγῳδοῖς ἀνήλωσα τριάκοντα μνᾶς, καὶ τρίτῳ μηνὶ Θαργηλίοις νικήσας ἀνδρικῷ χορῷ δισχιλίας δραχμὰς, ἐπὶ δὲ Γλαυκίππου ἄρχοντος εἰς πυῤῥιχιστὰς Παναθηναίοις τοῖς μεγάλοις ὀκτακοσίας· ἔτι δ᾽ ἀνδράσι χορηγῶν εἰς Διονύσια ἐπὶ τοῦ αὐτοῦ ἄρχοντος ἐνίκησα, καὶ ἀνήλωσα σὺν τῇ τοῦ τρίποδος ἀναθέσει πεντακισχιλίας

[1] ὅτου T. R.

ΑΠΑΡΑΣΗΜΟΣ] ΑΠΑΡΑΣΗΜΟΣ ΚΑΙ ΤΕΛΕΙΟΣ. Cont. Nescio, an ad *laudem* hoc adjectum sit a magistellulis, cum contrarium in *vituperationem* adduci videam. Aristoph. Acharn. 516.

Ἀλλ᾽ ἀνδράρια μοχθηρὰ, παρακεκομμένα,
Ἄτιμα καὶ π α ρ ά σ η μ α καὶ παράξενα·

Uti quoque παράσημον νόμισμα et ῥήτωρ παράσημος. Videantur Harpocr. et Lexicographi. Tantundem scio, quid sibi velit Hesych. in hac voce exponenda: Ἀπαράσημον· ἀσυνέκστατον, ἀπαραχάρακτον. Unum hoc scio, exstare in libris editis Antiphontis orationem cum eadem nota, eamque (quicunque demum recte) male certe intellexisse Palmerium, qui interpretatus est, *sine nomine*. Ἀπολογία δωροδοκίας ἀπαρασήμου Cod. Vatic. Taylor. Mihi videtur Palmerius verum vidisse, vocabulum ἀπαράσημος interpretans, *sine nomine*. Caret hæc oratio nomine rei sese defendentis. Nomina reorum sunt σημεῖα, *notæ*, unde oratorum Atticorum et Romanorum orationes inter se distinguuntur. Qui orationes illas duas in Midiam e. c. et in Cononem, aut pro Roscio Amerino et pro Milone inter se distinguas, ubi signa ipsarum, nomina reorum, ipsis detraxeris? Reisk.

Περὶ ὅτου τινὸς ἐμοῦ ψηφιεῖσθε] Scribe: οἵου τινὸς ἐμ. Exempla ubique. Markland. et *in edit. min.* Taylor.

Τρίτῳ μηνὶ] Subaudi μετὰ ταῦτα. Reisk.

δραχμὰς, καὶ ἐπὶ Διοκλέους Παναθηναίοις τοῖς μικροῖς
κυκλικῷ χορῷ τριακοσίας. τὸν δὲ μεταξὺ χρόνον ἐτριηρ-
699 άρχουν ἑπτὰ ἔτη, καὶ ἓξ τάλαντα ἀνήλωσα. καὶ τοσαύτας
δαπάνας δαπανώμενος, καὶ καθ' ἡμέραν ὑπὲρ ὑμῶν κινδυ-
νεύων καὶ ἀποδημῶν, ὅμως [1] εἰσφορὰν τὴν μὲν τριάκοντα
μνᾶς, τὴν δὲ τετρακισχιλίας δραχμὰς εἰσενήνοχα. ἐπειδὴ
δὲ κατέπλευσα ἐπὶ Ἀλεξίου ἄρχοντος, εὐθὺς ἐγυμνασι-
άρχουν εἰς Προμήθεια, καὶ ἐνίκων ἀναλώσας δώδεκα μνᾶς.
καὶ ὕστερον κατέστην χορηγὸς παιδικῷ χορῷ, καὶ ἀνήλωσα 162. 1
πλέον ἢ πεντεκαίδεκα μνᾶς. ἐπὶ δὲ Εὐκλείδου ἄρχοντος
700 κωμῳδοῖς χορηγῶν Κηφισοδότῳ ἐνίκων, καὶ ἀνήλωσα σὺν τῇ
τῆς σκευῆς ἀναθέσει ἑκκαίδεκα μνᾶς· καὶ Παναθηναίοις
τοῖς μικροῖς ἐχορήγουν πυρριχισταῖς ἀγενείοις, καὶ ἀνήλωσα
ἑπτὰ μνᾶς. νενίκηκα δὲ τριήρει μὲν ἁμιλλώμενος ἐπὶ Σουνίῳ,
ἀναλώσας πεντεκαίδεκα μνᾶς. χωρὶς δὲ ἀρχιθεωρίας καὶ
ἀρρηφορίας καὶ ἄλλα τοιαῦτα, εἰς ἃ ἐμοὶ δεδαπάνηται
πλέον ἢ τριάκοντα μναῖ. καὶ τούτων ὧν κατέλεξα, εἰ
ἐβουλόμην κατὰ τὰ γεγραμμένα ἐν τῷ νόμῳ λειτουργεῖν,
οὐδ' ἂν τὸ τέταρτον μέρος ἀνήλωσα.

[1] εἰσφορὰς A.

Κυκλικῷ] Vel κυκλίῳ, ut alii plerique. Plutarch. in Andocide, fin. Καὶ αὐτὸς δὲ ἐχορήγησε κυκλίῳ χορῷ τῇ αὑτοῦ φυλῇ ἀγωνιζομένῳ διθυράμβῳ, καὶ νικήσας ἀνέθηκε τρίποδα ἐφ' ὑψηλοῦ, ἄντικρυς τοῦ πωρίνου σελίνου. Suid. in Πύθιον: Πύθιον ἱερὸν Ἀπόλλωνος Ἀθήνησιν, ὑπὸ Πεισιστράτου γεγονὸς, εἰς ὃ τοὺς τρίποδας ἐτίθεσαν, οἱ τῷ κυκλίῳ χορῷ νικήσαντες τὰ Θαργήλια. Sed utroque modo scribitur, unde textum Horatii in Arte Poetica 136. sollicitare non debuit Bentleius ὁ κριτικώτατος. Taylor.

Τὸν δὲ μεταξὺ χρόνον] Intellige a Theopompo archonte ad Alexiam. Auger.

Ἑπτὰ ἔτη] Vir doctissimus nescit, unde hæc dici possint, quoniam inter Theopompi et Dioclis præturam, non *septennium*, sed *unus* tantum *annus* intercessit. Itaque suo acumine, id est nullo, corrigit: τὸν δὲ μεταξὺ χρόνον ἐτριηράρχουν, ἑπτὰ ἔτι ἢ καὶ ἓξ τάλαντα ἀνήλωσα. Vir ille doctissimus est S. Petit. in Commentario de LL. Atticis, p. 265. Sed fallitur, neque enim per τὸν μεταξὺ χρόνον illud tempus designatur. Nam ut procedente oratione discimus, Reus triremi præfuit, sub imperio X. virorum, et in prœlio ad Arginusas, et Alexia prætore domum rediit, quæ omnia gesta sunt Olymp. 93. post Theopompi, Glaucippi et Dioclis præturas altera. Et profecto si a Theopompo ad Alexiam numeres, anni erunt totidem, quot exhibentur. Taylor.

Ὅμως εἰσφορὰν, τὴν μὲν, — τὴν δὲ, — εἰσενήνοχα] Lege: εἰσφοράς. Patet ex Distributivis, τὴν μὲν, τὴν δέ. Markland.

Κηφισοδότῳ] Videtur hic saltandi magister fuisse, cujus arti debebat hoc defensor hujus causæ, quisquis fuit, ut chorus ab ipso productus reliquos choros saltando vinceret. Reisk. *choregum agens Cephisodoto*, i.e. choregum agens, dum Cephisodotus esset chori dux vel magister. Auger.

Τριήρει μὲν] Μὲν hoc respondet opposito δὲ, non proximo, sed illi, quod p. 517. 1. legitur, in illis τὸν δὲ χρόνον, ὃν — Reliqua χωρὶς δὲ ad μέρος ἀνήλωσα pro parenthetis seu interjectis habeo. Reisk.

Ἀρχιθεωρίας καὶ ἀρρηφορίας] Possit videri ἐνίκησα subaudiri oportere, verum ἐλειτούργησα, vel tale quid malim. Idem. Ad hos accusativos repete νενίκηκα, subaudi κατὰ, et intellige ἀρχιθεωρίας et ἀρρηφορίας munera quædam publica, in quibus certamen erat inter gerentes, et præmia vincentibus. Auger.

β'. Τὸν δὲ χρόνον ὃν ἐτριηράρχουν, ἡ ναῦς ἄριστά μοι
ἔπλει παντὸς τοῦ στρατοπέδου. τεκμήριον δὲ τούτου ὑμῖν
μέγιστον ἐρῶ. πρῶτον μὲν γὰρ Ἀλκιβιάδης, ὃν ἐγὼ περὶ
πολλοῦ ἂν ἐποιησάμην μὴ συμπλεῖν μοι, οὔτε φίλος ὢν οὔτε
συγγενὴς οὔτε φυλέτης ἔπλει ἐπὶ τῆς ἐμῆς νεώς. καίτοι
ὑμᾶς οἶμαι εἰδέναι ὅτι στρατηγὸς [1]ὤν, ᾧ ἐξῆν ποιεῖν ὅ τι ἐβού-
λετο, οὐκ ἄν ποτε ἀνέβη ἐπ' ἄλλην ναῦν εἰ μὴ τὴν ἄριστα
πλέουσαν, μέλλων αὐτὸς [2]κινδυνεύσειν. ἐπειδὴ δὲ [3]ἐκείνους 701
μὲν ὑμεῖς ἐπαύσατε τῆς ἀρχῆς, τοὺς δὲ μετὰ Θρασύλλου
δέκα εἵλεσθε, οὗτοι πάντες ἐβούλοντο ἐπὶ τῆς ἐμῆς νεὼς
πλεῖν, ἀνέβη μέντοι πολλῶν λοιδοριῶν αὐτοῖς γενομένων
Ἀρχέστρατος ὁ [4]Φρεάῤῥιος· ἀποθανόντος δὲ τούτου ἐν
Μιτυλήνῃ, [5]Ἐρασινίδης μετ' ἐμοῦ συνέπλει. καίτοι οὕτω
παρεσκευασμένην τριήρη πόσα οἴεσθε ἀνηλωκέναι χρήματα,
ἢ πόσα τοὺς πολεμίους εἰργάσθαι κακά, ἢ πόσα τὴν πόλιν
εὖ πεποιηκέναι; τεκμήριον δὲ τούτου μέγιστον· ὅτε γὰρ ἐν
τῇ τελευταίᾳ ναυμαχίᾳ αἱ νῆες διεφθάρησαν, οὐδενός μοι
συμπλέοντος στρατηγοῦ — ἵνα καὶ τούτου μνησθῶ, ἐπειδὴ
[6]καὶ τοῖς τριηράρχοις ὠργίσθητε διὰ τὴν γενομένην συμ- 702
φορὰν —, ἐγὼ τήν τε ἐμαυτοῦ ναῦν ἐκόμισα καὶ τὴν
Ναυσιμάχου τοῦ Φαληρέως ἔσωσα. καὶ ταῦτα οὐκ ἀπὸ
τύχης [7]ἐγένετο, ἀλλ' ἀπὸ παρασκευῆς τῆς ἐμῆς· εἶχον γὰρ
χρήμασι πείσας κυβερνήτην Φαντίαν ἅπαντα τὸν χρόνον, ὃς
ἐδόκει τῶν Ἑλλήνων ἄριστος εἶναι, παρεσκευασάμην δὲ καὶ
τὸ πλήρωμα πρὸς ἐκεῖνον καὶ τὴν ἄλλην ὑπηρεσίαν ἀκό-

[1] ὢν om. T. R. A. [2] κινδυνεύειν T. [3] ἐκεῖνον A. [4] Φρεάριος T. A. [5] Ἐρασινείδης T. R. A. [6] δὲ T. [7] ἐγίγνετο T. R. A.

Ἐκείνους] Potius ἐκεῖνον, Alcibiadem sc. TAYLOR. Scribendum ἐκεῖνον, sc. Alcibiadem: de quo loquebatur verbis præcedentibus. Paulo post, Ἐρασινείδης idem opinor est, quem Thucydides et Xenophon Hellen. I. sæpe vocant Ἐρασινίδην. et pro Θρασύλλου Idem scribit Θρασύλου. MARKLAND. Vulgata bene videtur habere. Alcibiadem cum reliquis novem ejus collegis. REISK.

Αὐτοῖς] Melius forsan legeretur ἀλλήλοις. AUGER.

Στρατηγοῦ (ἵνα καὶ τούτου μνησθῶ), ἐπειδὴ δὲ τοῖς τριηράρχοις — συμφοράν. ἐγὼ etc.] Stephanus delet δέ. Pro eo legendum puto καὶ, et locum ita distinguendum: οὐδενός μοι συμπλέοντος στρατηγοῦ (ἵνα καὶ τούτου μνησθῶ, ἐπειδὴ καὶ τοῖς τριηράρχοις ὠργίσθητε — συμφορὰν), ἐγὼ τήν τε ἐμαυτοῦ etc. MARKLAND. Conformavi locum hunc ad mentem Marklandi. Ut etiam hujus rei mentionem faciam, quæ gloriosa mihi est, solus ego inter omnes trierarchos navem meam salvam domum reduxi, meismet auspiciis, tametsi nullus mecum esset imperator. Nam cæteri trierarchi rem ita gesserunt male, ut ipsis perinde, atque imperatoribus, succenseretis. REISK.

Πρὸς ἐκεῖνον] F. προσῆκον. TAYLOR. Vehementer errat vir doctus. optime habet vulgata. milites classiarii et remiges ad bonum gubernatorem qui sunt, hi sunt ei pares atque consentanei, eo digni, perinde

λουθον. καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, πάντες ἐπίστασθε, ὅσοι ἐτυγχάνετε ὄντες ἐκεῖ τῶν στρατιωτῶν. κάλεσον [1] δὲ καὶ Λυσίμαχον.

ΜΑΡΤΥΡΙΑ.

αἱ μὲν τοίνυν σωθεῖσαι τῶν νεῶν δώδεκα ἦσαν· ἐγὼ δ' ὑμῖν δύο ἐκόμισα, τὴν ἐμαυτοῦ καὶ τὴν Ναυσιμάχου τριήρη.

703 γ'. Καὶ οὕτω πολλοὺς κινδύνους ὑπὲρ ὑμῶν κεκινδυνευκὼς καὶ τοσαῦτα ἀγαθὰ εἰργασμένος τὴν πόλιν, [2] νυνὶ δέομαι οὐ δωρεὰν, ὥσπερ ἕτεροι, [3] ἀντὶ τούτων παρ' ὑμῶν λαβεῖν, ἀλλὰ μὴ στερηθῆναι τῶν ἐμαυτοῦ, ἡγούμενος καὶ ὑμῖν αἰσχρὸν εἶναι παρά τε ἑκόντος ἐμοῦ καὶ παρ' ἄκοντος λαμβάνειν. καὶ οὐ τοσοῦτόν μοι μέλει εἴ με δεῖ τὰ ὄντα ἀπολέσαι· ἀλλ' οὐκ ἂν δεξαίμην ὑβρισθῆναι, οὐδὲ παραστῆναι τοῖς διαδυομένοις τὰς λειτουργίας, ἐμοὶ μὲν ἀχάριστα εἶναι τὰ εἰς ὑμᾶς ἀνηλωμένα, ἐκείνους δὲ δοκεῖν ὀρθῶς βεβουλεῦσθαι, ὅτι ὑμῖν οὐδὲν προεῖνται τῶν σφετέρων αὐτῶν. ἂν οὖν ἐμοὶ πεισθῆτε, τά τε δίκαια ψηφιεῖσθε καὶ τὰ λυσιτελοῦντα ὑμῖν αὐτοῖς αἱρήσεσθε. ὁρᾶτε γὰρ, ὦ ἄνδρες
704 δικασταὶ, τὰ [4] προσιόντα τῇ πόλει ὡς ὀλίγα ἐστὶ, καὶ ταῦτα ὡς ὑπὸ τῶν ἐφεστηκότων ἁρπάζεται· ὥστ' ἄξιον ταύτην ἡγεῖσθαι πρόσοδον βεβαιοτάτην τῇ πόλει, τὰς οὐσίας τῶν [5] ἐθελόντων λειτουργεῖν. ἂν οὖν εὖ βουλεύσησθε, οὐδὲν ἧττον ἐπιμελήσεσθε τῶν ἡμετέρων χρημάτων ἢ τῶν ἰδίων τῶν ὑμετέρων αὐτῶν, εἰδότες ὅτι ἕξετε πᾶσι χρῆσθαι τοῖς ἡμετέροις ὥσπερ καὶ πρότερον. οἶμαι δὲ πάντας ὑμᾶς ἐπίστασθαι, ὅτι τῶν ἐμῶν ἐγὼ πολὺ βελτίων ὑμῖν ἔσομαι

[1] δέ μοι ὅμως Ναυσίμαχον A. [2] νῦν T. R. A. [3] ἀντὶ τούτων om. T. [4] προσόντα T. [5] θελόντων T. R. A.

boni atque ille est. Valet idem atque insequens ἀκόλουθον. Reisk.

Λυσίμαχον] Ναυσίμαχον cum Palm. et Schott. Taylor. Recte: nisi ibi legendum Λυσιμάχου. Markland. Καὶ ante nomen hoc proprium aut deletum velim, aut cum μοι, aut cum μοι ὅμως mutatum. Reisk.

Ἡγούμενος καὶ ὑμῖν αἰσχρὸν εἶναι] Conjunctio καὶ, quæ nullius usus est hoc loco, videtur innuere aliquid deesse. Forte: ἡγούμενος ἐμοὶ (vel ἐμοί τε) δεινὸν, καὶ ὑμῖν αἰσχρὸν εἶναι. Sic ad fin. Orat. ἡγουμένους ἡμῖν μὲν δεινὸν, ὑμῖν δὲ αἰσχρὸν εἶναι, εἰ etc. Mox: οὐδὲ παραστῆναι τοῖς διαδυομένοις τὰς λειτουργίας, vertenda erant, *neque exemplum præbere iis, qui detrectant* (vel *subterfugiunt*) *munera publica.* Male Vanderheidius et confuse: *si publicis ministeriis fungentes nihil præcipuum habeant præ iis, qui eadem detrectare solent.* ἐκδεδυκέναι τὰς λειτουργίας vocat Demosth. πρὸς Λεπτίνην, quod Noster διαδύεσθαι. et ἀποκρύπτεσθαι καὶ διαδύεσθαι, adv. Phænippum. Markland.

Ἐκείνους] Rectius ἐκείνοις. Taylor.

Τὰ προσιόντα] Sic dedi de meo, pro προσόντα vulgari. *vectigalia reipublicæ.* Reisk.

ταμίας τῶν τὰ τῆς πόλεως ὑμῖν ταμιευόντων. ἐὰν δέ με πένητα ποιήσητε, καὶ ὑμᾶς αὐτοὺς ἀδικήσετε· ἕτεροι δὲ καὶ ταῦτα διανεμοῦνται, ὥσπερ καὶ τἄλλα.

163. δʹ. Ἄξιον δέ ἐστιν ἐνθυμηθῆναι, ὅτι πολὺ μᾶλλον ὑμῖν προσήκει τῶν ὑμετέρων ἐμοὶ διδόναι ἢ τῶν ἐμῶν ἐμοὶ ἀμφισβητῆσαι, καὶ πένητα γενόμενον ἐλεῆσαι μᾶλλον ἢ πλουτοῦντι φθονῆσαι, καὶ τοῖς θεοῖς εὔχεσθαι τοὺς ἄλλους εἶναι τοιούτους πολίτας, ἵνα τῶν μὲν ἑτέρων [1] μὴ ἐπιθυμήσωσι, τὰ δὲ
σφέτερα αὐτῶν εἰς ὑμᾶς ἀναλίσκωσιν. ἡγοῦμαι δ᾽, ὦ ἄνδρες 705
δικασταί, — καὶ μηδεὶς ὑμῶν ἀχθεσθῇ — πολὺ ἂν δικαιότερον ὑμᾶς ὑπὸ τῶν ζητητῶν ἀπογραφῆναι τὰ ἐμὰ ἔχειν, ἢ ἐμὲ νυνὶ κινδυνεύειν ὡς τοῦ δημοσίου χρήματα ἔχοντα. τοιοῦτον γὰρ ἐμαυτὸν τῇ πόλει παρέχω, ὥστ᾽ ἰδίᾳ [2] μὲν φείδομαι, δημοσίᾳ δὲ λειτουργῶν ἥδομαι, καὶ οὐκ ἐπὶ τοῖς περιοῦσι μέγα φρονῶ, ἀλλ᾽ ἐπὶ τοῖς εἰς ὑμᾶς ἀνηλωμένοις, ἡγούμενος τούτων μὲν αὐτὸς αἴτιος εἶναι, τὴν δὲ οὐσίαν
ἑτέρους μοι καταλιπεῖν, καὶ διὰ ταύτην μὲν ὑπὸ τῶν ἐχθρῶν 706
ἀδίκως συκοφαντεῖσθαι, δι᾽ ἐκεῖνα δὲ ὑφ᾽ ὑμῶν [3] δικαίως σώζεσθαι. ὥστ᾽ οὐκ ἂν εἰκότως ἕτεροί με ἐξητήσαντο παρ᾽

[1] μὴ om. T. [2] μὲν τῶν T. R. μὲν τῶν ἐμῶν A. [3] δικαίως ἂν A.

Καὶ ὑμᾶς] Si κἀμὲ hic non deest, subaudiendum certe est. *non me solum, sed una vos ipsos quoque lædetis.* Idem.

Καὶ ταῦτα] *etiam hæc bona mea administrabunt pari, atque reliqua vestra administrant, modo*, h. e. rapacitate atque furacitate. Idem.

Τοιούτους πολίτας] Qualis nempe ego erga vos fui. Idem.

Ἐπιθυμήσωσι] Μὴ ἐπιθυμήσωσι. Cont. Schott. Recte. Sic Orat. XXV. ἐν ὀλιγαρχίᾳ μὲν μὴ ἐπιθυμεῖν τῶν ἀλλοτρίων, ἐν δημοκρατίᾳ δὲ τὰ ὄντα εἰς ὑμᾶς ἀναλίσκειν. ubi eadem omnia. Markland. Addidi μὴ, quod vulgatis deest. τῶν ἑτέρων idem est atque τῶν ἑτέροις ὄντων ἀγαθῶν. *bonorum quæ sunt in aliorum potestate.* Fuit, cum suspicarer legendum τῶν μὲν γερῶν. *præmia virtutis quidem appetant*, cujusmodi sunt honores in republica, imagines, statuæ, tituli saxis insculpti, convictus in Prytaneo, coronæ aureæ. illa autem præmia sua in rempublicam liberalitate promereantur. Reisk.

Τῶν φείδομαι] Τῶν ἐμῶν φειδ. Cont. Vel dele istud τῶν, vel lege cum viro erudito τῶν ἐμῶν. Utrumvis erit necessarium. Prius malim. Taylor. Lego: τῶν ἐμῶν φείδομαι. ut supra: τῶν ὑμετέρων ἐμοὶ διδόναι, ἢ τῶν ἐμῶν ἐμοὶ ἀμφισβητῆσαι. et paulo ante: τῶν ἐμῶν ἐγὼ πολὺ βελτίων ὑμῖν ἔσομαι ταμίας. Potes etiam legere: τῶν ὄντων φείδομαι. Markland. Aut cum viris doctis ἐμῶν est, interponendum, aut ὄντων, aut ὑπαρχόντων. Observari hic velim lusum in vocabulis φείδομαι et ἥδομαι, dignum Lysia Sophista: nisi potius ei videatur excidisse fortuito. Reisk.

Ἑτέρους μοι] Ἑτέροις με. Schott. Quam indigne homine in literis enutrito! Taylor. Festinanter Schottus et recta contra mentem Auctoris, ἑτέροις με καταλιπεῖν. Optime habet ἑτέρους μοι. Explicat Ovidius, noto isto, Metam. XIII. v. 140.

"Nam genus, et proavos, et quæ non fecimus ipsi,
Vix ea nostra voco."

Mox, pro σώζεσθαι mallem σωθήσεσθαι. Markland. Interpone ἂν potentiale, ut in re dubia, essetne absolvendus, an condemnandus. σώζεσθαι, εἰ ἂν ἄρα σωθήσομαι. Reisk.

ὑμῶν, ἀλλὰ καὶ εἴ τις τῶν ἐμῶν φίλων τοιοῦτον ἀγῶνα ἠγωνίζετο, ὑμᾶς ἂν ἠξίουν ἐμοὶ δοῦναι τὴν χάριν, καὶ εἰ παρ' ἄλλοις ἐκινδύνευον, ὑμᾶς εἶναι τοὺς δεομένους ὑπὲρ ἐμοῦ. τοῦτο [1] δ' οὐκ ἂν εἰπεῖν ἔχοι τις, ὡς πολλὰς ἀρχὰς ἄρξας ἐκ τῶν ὑμετέρων ὠφέλημαι, ἢ ὡς αἰσχρὰς δίκας δεδίκασμαι, ἢ ὡς αἰσχροῦ τινὸς αἴτιός εἰμι, ἢ ὡς τὰς τῆς πόλεως συμφορὰς ἀσμένως εἶδον· ὑπὲρ ἁπάντων δὲ καὶ [2] [τῶν] ἰδίων καὶ
707 [3] τῶν δημοσίων οὕτως ἡγοῦμαί μοι πεπολιτεῦσθαι, καὶ ὑμᾶς εἰδέναι, ὥστε οὐδὲν [4] δεῖν με ἀπολογήσασθαι περὶ αὐτῶν. δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταὶ, τὴν αὐτὴν νῦν περὶ ἐμοῦ γνώμην ἔχειν ἥνπερ καὶ ἐν τῷ τέως χρόνῳ, καὶ μὴ μόνον τῶν δημοσίων λειτουργιῶν μεμνῆσθαι, ἀλλὰ [5] καὶ τῶν ἰδίων ἐπιτηδευμάτων ἐνθυμεῖσθαι, ἡγουμένους ταύτην εἶναι τὴν λειτουργίαν ἐπιπονωτάτην, διὰ τέλους τὸν πάντα χρόνον κόσμιον εἶναι καὶ σώφρονα, καὶ [6] μήθ' ἡδονῆς ἡττηθῆναι μήθ' ὑπὸ κέρδους ἐπαρθῆναι, ἀλλὰ τοιοῦτον παρασχεῖν ἑαυτὸν ὥστε μηδένα τῶν πολιτῶν μήτε μέμψασθαι μήτε δίκην τολμῆσαι [7] προσκαλέσασθαι.

708 ε΄. Οὔκουν ἄξιον, ὦ ἄνδρες δικασταὶ, πειθομένους κατηγόροις τοιούτοις ἐμοῦ καταψηφίσασθαι, οἳ περὶ ἀσεβείας μὲν ἀγωνιζόμενοι τηλικοῦτοι γεγόνασιν, [8] οὐ δυνάμενοι δ' ὑπὲρ τῶν σφετέρων ἁμαρτημάτων ἀπολογήσασθαι ἑτέρων

[1] γε εἰπεῖν T. R. A. [2] [τῶν] om. T. R. A. [3] τῶν om. T. A. [4] δεῖ T. [5] καὶ om. T. [6] μήθ' ὑφ' T. R. A. [7] προκαλέσασθαι T. R. [8] οὐκ ἂν δυν. T. R. A.

Τοῦτό γε εἰπεῖν κ. τ. λ.] Οὐδὲ τοῦτό γε. Cont. Cum interrogatione hæc omnia, ut recte animadvertit Stephanus. Quod cum non animadvertit Scaliger, legit: τοῦτό γε εἰπεῖν οὐκ ἔχοι τίς. Taylor. Lego: εἰπεῖν οὐκ ἂν ἔχοι τις. sic infra: οὐ γὰρ ἂν ἔχοιμι ὅ, τι μεῖζον αὐτοῖς εὐξαίμην κακόν. Passim hæc phrasis occurrit. Stephanus vulgatæ Interrogationem addit, eodem sensu. Sed Lysianus scribendi mos istud alterum postulat, nisi fallor. Markland. Videtur sic leg. δεόμενος ὑπὲρ ἐμοῦ. ἀλλ' οὐδὲ κατ' ἐμοῦ τοῦτό γε. Reisk.

Αἴτιός εἰμι] Interponendum videtur ὑμῖν. Idem.

Δέομαι οὖν ὑμῶν, κ. τ. λ.] Hæc citantur a Suida in τέως, licet corrupte. Ubi observare est auctoris nomen excidisse, orationis solummodo conservari. Taylor.

Δίκην τολμῆσαι προκαλέσασθαι] Lego: προσκαλέσασθαι. Orat. VI. προσεκαλέσατο δίκην ἀσεβείας πρὸς τὸν βασιλέα. Harpocration: προσκαλέσασθαι, τὸ παραγγέλλειν εἰς δίκην. Vide Pollucem VIII. 6. segm. 39. et Viros doctos ad segm. 61. ejusdem Libri. Δίκην προσκαλέσασθαι idem videtur ac εἰς δίκην προκαλέσασθαι. Xenophon Hellen. VII. 4. 11. καὶ δίκας τῶν Φλιασίων προσκαλουμένων, οὐκ ἐδίδοσαν. ubi tamen Leunclavius mavult προκαλουμένων. Markland. Leg. videtur μήτ' ἐς δίκην τολ. προσκαλ.

Τηλικοῦτοι] Potest pariter ad potentiam atque ad ætatem referri. Priorem modum in Latinis meis expressi; sin autem posteriorem præferas, erit hæc sententia: In perpetuis contentionibus forensibus, iisque in causis gravissimis et capitalibus, ut sunt causæ impietatis, ad hoc, quod agunt, ætatis provectioris pervenerunt. Reisk.

κατηγορεῖν τολμῶσι. καὶ ὧν Κινησίας οὕτω διακείμενος
πλείους στρατείας ἐστράτευται, οὗτοι περὶ τῶν τῆς πόλεως
ἀγανακτοῦσι. καὶ ἐξ ὧν μὲν ἡ πόλις εὐδαίμων ἔσται, οὐ
συμβάλλονται, πάντα δὲ ποιοῦσιν ὅπως ὑμεῖς τοῖς εὖ
πεποιηκόσιν [1] ὀργισθήσεσθε. οὗτοι μὲν οὖν, ὦ ἄνδρες δικα-
σταὶ, ἐν τῷ δήμῳ κατείποιεν ὑμῖν τὰ σφέτερα αὐτῶν
ἐπιτηδεύματα· οὐ γὰρ ἂν ἔχοιμι ὅ τι τούτου μεῖζον αὐτοῖς 709
εὐξαίμην κακόν· ἐγὼ δ' ὑμῶν δέομαι καὶ ἱκετεύω καὶ
ἀντιβολῶ μὴ καταγνῶναι δωροδοκίαν ἐμοῦ, μηδ' ἡγήσασθαι
τοσαῦτα χρήματα εἶναι, ἃ [2] ἐγὼ βουληθείην ἄν τι κακὸν τῇ
πόλει γενέσθαι. μαινοίμην γὰρ, ὦ ἄνδρες δικασταὶ, εἰ τὴν μὲν
πατρῴαν οὐσίαν φιλοτιμούμενος εἰς ὑμᾶς ἀναλίσκοιμι, ἐπὶ δὲ
τῷ τῆς πόλεως κακῷ παρὰ τῶν ἄλλων δωροδοκοίην. ἐγὼ μὲν
οὖν, ὦ ἄνδρες δικασταὶ, οὐκ οἶδ' οὕστινας ἢ ὑμᾶς ἐβουλήθην
περὶ ἐμοῦ δικαστὰς γενέσθαι, εἴπερ χρὴ τοὺς εὖ πεπονθότας
περὶ τῶν εὖ πεποιηκότων εὔχεσθαι τὴν ψῆφον φέρειν. καὶ
μὲν δὴ, ὦ ἄνδρες δικασταὶ, — ἐπιθυμῶ γὰρ καὶ τούτων
μνησθῆναι — οὐδεπώποτε λειτουργεῖν ὑπὲρ ὑμῶν δέον
[3] ἐμνήσθην εἰ [4] τοσούτῳ πενεστέρους τοὺς παῖδας κατα- 710
λείψω, ἀλλὰ πολὺ μᾶλλον εἰ μὴ προθύμως ποιήσω τὰ
προσταχθέντα· οὐδ' εἴ ποτε κινδυνεύσειν ἐν ταῖς ναυμαχίαις
μέλλοιμι, οὐδεπώποτ' ἠλέησα οὐδ' ἐδάκρυσα οὐδ' ἐμνήσθην

[1] ὀργισθῆσθε T. [2] ἐγὼ κερδάνας βουλ. A. [3] ἐλογισάμην A. om. T. R. [4] τοσοῦτον T.

Ὧν Κινησίας] Adducit in comparationem Cinesiam, eo quod vulgo habebatur parum virilis et mulierosus, et eo nomine traducitur ab Aristophane in Lysistrata. Palmer. Non intelligo. Cæterum de hoc Cinesia vide Harpocrationem; cujus tempore exstabant Duæ Orationes Lysiæ in eum scriptæ. Markland. ὧν refertur ad οὗτοι. *et hi quibus plures expeditiones Cinesias*, i. e. et hi indignantur de rebus civitatis, quum Cinesias plures quam ipsi expeditiones fecerit. Auger.

Ἃ ἐγὼ] Ἃ ἐγὼ λαβών. Cont. Rectius ὧν ἐγὼ, Scal. Taylor. Sensui aliquid deest. Forte: ἃ ἔχων βουληθείην ἂν etc. *neque ullas pecunias tantas esse putetis, ut, iis acceptis, vellem aliquid infortunii civitati obvenire.* Orat. XXVIII. οὐκ ἔστι τοσαῦτα χρήματα, ὧν ὑμεῖς ἡττηθήσεσθε, ὥστε μὴ τιμωρεῖσθαι τοὺς ἀδικοῦντας. et XXIX. οὐκ ἔστι τοσαῦτα χρήματα ἃ ὑμεῖς, οὓς ἐὰν λαμβάνητε ἀδικοῦντας, ἀποτρέψει τιμωρεῖσθαι. Nisi malis: πρὸς ἃ ἐγὼ βουληθείην, vel ἃ ἐγὼ λαβὼν βουληθείην. eodem sensu. Markland. Interponendum videtur λαβὼν aut δεξάμενος. Reisk.

Οὕστινας] Οὕστινας ἄλλους. Cont. Subaudi ἄλλους μᾶλλον. Sed ἂν addi velim. ut si sic dixisset: οὐκ οἶδ' οὕστινας ἄλλους μᾶλλον ἂν, ἢ ὑμᾶς ἐβουλήθην. Reisk.

Δέον] Post δέον videtur ἐλυπήθην, vel potius ἐνεθυμήθην deesse. Idem.

Εἰ τοσοῦτον] Ἐλογισάμην εἰ τοσοῦτον, aut aliquid simile suppleri jubet Schott. [et Contius]. ἐλυπησάμην alii. Taylor. Tale aliquid certe deest. Markland. Subaudi ὅσον ἂν ἐγὼ εἰς ὑμᾶς ἀναλίσκοιμι. Reisk.

Ἠλέησα] Perinde esse puto, sive absolute hic positum habeatur hoc verbum pro sensu commiserationis allici, sine respe-

γυναικὸς οὐδὲ παίδων τῶν ἐμαυτοῦ, οὐδ' ἡγούμην δεινὸν εἶναι εἰ τελευτήσας ὑπὲρ τῆς πατρίδος τὸν βίον ὀρφανοὺς καὶ πατρὸς ἀπεστερημένους αὐτοὺς καταλείψω, ἀλλὰ πολὺ μᾶλλον εἰ σωθεὶς αἰσχρῶς ὀνείδη καὶ ἐμαυτῷ καὶ ἐκείνοις 164. 1
περιάψω. ἀνθ' ὧν ὑμᾶς ἀπαιτῶ νῦν τὴν χάριν, καὶ ἀξιῶ, ἐν τοῖς κινδύνοις ἐμοῦ τοιαύτην περὶ ὑμῶν γνώμην ἔχοντος, ὑμᾶς νυνὶ ἐν τῷ θαῤῥαλέῳ ὄντας ἐμὲ καὶ τοὺς παῖδας τούτους περὶ πολλοῦ ποιήσασθαι, ἡγουμένους ἡμῖν μὲν δεινὸν ὑμῖν δὲ αἰσχρὸν εἶναι, εἰ ἀναγκασθησόμεθα ἐπὶ τοιαύταις αἰτίαις
711 ἄτιμοι γενέσθαι, ἢ στερηθέντες τῶν ὑπαρχόντων πένητες εἶναι καὶ πολλῶν ἐνδεεῖς ὄντες περιϊέναι, [1] ἀνάξια μὲν [2] ἡμῶν αὐτῶν πεπονθότες, ἀνάξια δὲ τῶν εἰς ὑμᾶς ὑπηργμένων. μηδαμῶς, ὦ ἄνδρες δικασταί· ἀλλ' ἀποψηφισάμενοι τοιούτοις ἡμῖν χρῆσθε πολίταις οἵοισπερ ἐν [3] τῷ πρόσθεν χρόνῳ.

[1] ἄξια T. [2] ὑμῶν T. R. A. [3] τῷ om. T.

ctu ad certum hominem, sive cum respectu ad uxorem et liberos, qui in continenti commemorantur. IDEM.

Ἐν τοῖς κινδύνοις] *vestris* puta, verum hoc additum malim, sive sic: ἐν τοῖς ὑμετέροις κινδύνοις, sive ἐν τοῖς κινδύνοις τοῖς ὑμετέροις. IDEM. Velim addidi ὑμετέροις juxta Reiskii mentem. AUGER.

Ἄξια] Π. ἀνάξια. H. STEPHAN. CONT. Cui Schott. suo merito malo non assentitur. TAYLOR. Quod verum puto, modo legas ἡμῶν pro ὑμῶν, ex Isocrate Orat. de Bigis, p. 703. ubi totum hunc locum imitatur; hoc vero κῶλον ita effert: ἀναξίως δ' αὐτῶν (i. e. ἡμῶν αὐτῶν) καὶ τῶν προγόνων πράττοντας. Demosthenes Orat. de Cherson. ἀνάξιον ὑμῶν, καὶ τῶν ὑπαρχόντων τῇ πόλει, καὶ πεπραγμένων τοῖς προγόνοις. MARKLAND. Dedi ἀνάξια, pro vulgari ἄξια. verum ὑμῶν tuebor. *vobis ipsis indigna*, h. e. alia quam a vobis exspectabantur et vos decebant; *et indigna nostris de vobis meritis*, h. e. alia quam meruimus officiis, quæ a nobis ad vos profecta sunt. ἡμῶν, quæ est conjectura Taylori, probari quoque potest, et confirmatur a Coisl. et Vindobon. Vulgatum ἄξια si qui tuebuntur, his interpretandum sic erit: Quo nobis eveniet id, quod vestræ quidem personæ conveniat, qui judices sitis, severitatem juris plena cum potestate arbitraria exercentes. REISK.

Ἐν πρόσθεν χρόνῳ] Ἐν τῷ πρόσθεν. CONT. Insere Articulum: ἐν τῷ πρόσθεν (vel ἐν τῷ ἔμπροσθεν) χρόνῳ. ita enim semper, opinor, loquitur. MARKLAND.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΤΩΝ ΣΙΤΟΠΩΛΩΝ.

ΥΠΟΘΕΣΙΣ.

Placuit Atheniensibus, qui *πλείστῳ τῶν ἁπάντων ἀνθρώπων ἐπεισάκτῳ σίτῳ* utebantur (verbis utor Demosthenis in Orat. c. Leptinem), multis legibus coercere eorum hominum injurias, qui annonam comprimendo et incendendo, ut loquuntur Jurisconsulti, civium fortunas atterebant. Una erat quæ sub capitis discrimine *ἀπηγόρευσε μηδένα τῶν ἐν τῇ πόλει σῖτον πλείω πεντήκοντα φορμῶν συνωνεῖσθαι.* Ex qua lege hic agitur. Se excusant Dardanarii, quod jubente Magistratu id fecissent, et quod ex studio et benevolentia in remp.

Pag. ed. H.Steph. | Pag. ed. Reisk.

164. 12 α΄. ΠΟΛΛΟΙ μοι προσεληλύθασιν, ὦ ἄνδρες δικασταὶ, 712
θαυμάζοντες ὅτι ἐγὼ τῶν σιτοπωλῶν ἐν τῇ βουλῇ [1] κατηγόρουν, καὶ λέγοντες ὅτι ὑμεῖς, εἰ ὡς μάλιστα αὐτοὺς ἀδικεῖν ἡγεῖσθε, οὐδὲν ἧττον καὶ τοὺς περὶ τούτων ποιουμένους λόγους συκοφαντεῖν νομίζετε. ὅθεν οὖν ἠνάγκασμαι κατηγορεῖν αὐτῶν, περὶ τούτων πρῶτον εἰπεῖν βούλομαι.

β΄. Ἐπειδὴ γὰρ οἱ πρυτάνεις [2] ἀπέδοσαν εἰς τὴν βουλὴν
περὶ αὐτῶν, οὕτως ὠργίσθησαν αὐτοῖς, ὥστε ἔλεγόν τινες 713
τῶν ῥητόρων ὡς ἀκρίτους αὐτοὺς χρὴ τοῖς ἕνδεκα παραδοῦναι θανάτῳ ζημιῶσαι. ἡγούμενος δὲ ἐγὼ δεινὸν εἶναι τοιαῦτα ἐθίζεσθαι ποιεῖν τὴν βουλὴν, ἀναστὰς εἶπον ὅτι μοι δοκοίη κρίνειν τοὺς σιτοπώλας κατὰ τὸν νόμον, νομίζων, εἰ μέν

[1] *μὴ κατηγόρουν* A.

[2] *ἐπέδοσαν* R. A.

Εἰ ὡς] Εἰ καὶ ὡς. Cont.

Αὐτῶν, περὶ] Αὐτῶν, περὶ δὲ. Scal. Male. Taylor.

Ἐπέδοσαν] Dedi. subaudi *τὴν διάγνωσιν.* *tradiderunt, permiserunt, retulerunt.* Reisk.

Οὕτως ὠργίσθησαν κ. τ. λ.] Καὶ θανάτῳ. Cont. Schottus ad emendandum minime natus ita ex suo ingenio Lysiam supplevit: *οὕτως ὠργίσθησαν αὐτοῖς, ὥστε ἔλεγον, ἐπειδὰν τινὲς τῶν ῥητόρων διελέξαντο, ὡς ἀκρίτους αὐτοὺς χρὴ τοῖς ἕνδεκα παραδοῦναι, θανάτῳ ζημιῶσαι.* Quo quid levius? Tu solummodo lege: *οὕτως ὠργίσθησαν α. ὥ. ἔ. τ. τ. ῥ. ὡς ἀκρίτους αὐτοὺς χρὴ τοῖς ἕνδεκα παραδοῦναι καὶ θανάτῳ ζημιῶσαι.* Xenoph. Hellenic. I. 7. 10. *ἂν δὲ δόξωσιν ἀδικεῖν, θανάτῳ ζημιῶσαι καὶ τοῖς ἕνδεκα παραδοῦναι, καὶ τὰ χρήματα δημοσιεῦσαι.* Taylor. Cui bono hæc licentia, cum absque ea omnia bene habeant? Markland. Ad *ὠργίσθησαν* subaudi *οἱ βουλευταὶ*, quod latet in præmisso *βουλήν.* Bene habet hic locus, neque Taylor magis audiendus est, quam Schottus. *παραδοῦναι θανάτῳ ζημιῶσαι,* idem est atque *παραδοῦναι ἐπὶ τῷ* (vel *πρὸς τὸ*) *ζημιῶσαι θανάτῳ,* *tradere XI. viris, quo hi frumentarios morte punirent.* Reisk.

Σιτοπώλας] Σιτοπώλους, Ald. Sed præter linguæ genium, quæ composita a πω-

εἰσιν ἄξια θανάτου εἰργασμένοι, ὑμᾶς οὐδὲν ἧττον ἡμῶν
714 γνώσεσθαι τὰ δίκαια, εἰ δὲ μηδὲν ἀδικοῦσιν, οὐ δεῖν αὐτοὺς
ἀκρίτους ἀπολωλέναι. πεισθείσης δὲ τῆς βουλῆς ταῦτα,
διαβάλλειν ἐπεχείρουν με, λέγοντες ὡς ἐγὼ σωτηρίας εἵνεκα
τῆς τῶν σιτοπωλῶν τοὺς λόγους τούτους ἐποιούμην. πρὸς
μὲν οὖν τὴν βουλὴν, ὅτ' ἦν αὐτοῖς ἡ κρίσις, ἔργῳ [1] ἀπελο-
γησάμην· τῶν γὰρ ἄλλων ἡσυχίαν ἀγόντων, ἀναστὰς
αὐτῶν κατηγόρουν, καὶ πᾶσι φανερὸν ἐποίησα ὅτι οὐχ ὑπὲρ
τούτων ἔλεγον, ἀλλὰ τοῖς νόμοις τοῖς κειμένοις ἐβοήθουν.
ἠρξάμην μὲν οὖν τούτων ἕνεκα· δεδιὼς δὲ τὰς αἰτίας αἰσχρὸν
715 ἡγοῦμαι πρότερον παύσασθαι, πρὶν ἂν ὑμεῖς περὶ αὐτῶν ὅ τι
ἂν βούλησθε ψηφίσησθε.

γ'. Καὶ πρῶτον μὲν ἀνάβηθι [2] καὶ εἰπὲ σὺ ἐμοὶ, Μέ-
τοικος εἶ; Ναί. Μετοικεῖς δὲ πότερον ὡς πεισόμενος τοῖς
νόμοις τοῖς τῆς πόλεως, ἢ ὡς ποιήσων ὅ τι ἂν βούλῃ; Ὡς
πεισόμενος. Ἄλλο τι οὖν [3] ἀξιοῖς ἢ ἀποθανεῖν, εἴ τι πεποί-
ηκας παρὰ τοὺς νόμους, ἐφ' οἷς θάνατος ἡ ζημία; Ἔγωγε.
Ἀπόκριναι δή μοι, εἰ ὁμολογεῖς πλείω σῖτον συμπρίασθαι
716 πεντήκοντα φορμῶν, ὧν ὁ νόμος ἐξεῖναι κελεύει. Ἐγὼ τῶν
ἀρχόντων κελευόντων συνεπριάμην.

δ'. Ἂν μὲν τοίνυν ἀποδείξῃ, ὦ ἄνδρες δικασταὶ, ὡς ἔστι

[1] ἀπελογισάμην T. [2] καὶ om. T. [3] οὐκ ἀξιοῖς R.

λέω nunquam ita format. Corrigendus itaque Hesychius, qui habet Σιτοκάπηλοι, σιτοπῶλοι. lege σιτοπῶλαι. TAYLOR.

Ἡμῶν] Docet actorem senatorem fuisse. Idem est ac si dixisset τῆς βουλῆς. REISK.

Ἐπεχείρουν] Quinam? Num deest τινές? potest fieri; verum potest quoque oratio esse integra. Corona circumstans, hujus causæ tum, quam nos hodie sumus, peritior facile norat, quos actor designaret. IDEM.

Τῶν ἄλλων] Subaudi πρυτανέων, vel βουλευτῶν. Actor ipse quoque de numero prytanum, vel senatorum est. IDEM.

Ἠρξάμην] Sub. ταύτης τῆς δίκης. AUGER.

Τὰς αἰτίας] Scil. τὰς παρὰ τῷ δήμῳ. metuens ego, ne nomen meum malignis sermonibus apud plebem differretur, ac si ego dardanariis clam studerem, et cum iis colluderem. REISK.

Μὲν ἀνάβηθι.] Scribe: μοι ἀνάβηθι. ut centies in his Orationibus. Sequitur: Εἰ πέρυσι ἐμοὶ μέτοικος εἶ; Ναί. Scribendum πέρυσιν ἐμοὶ, vel πέρυσί μοι. Istud Ναὶ est *Responsum* Accusati, sive Rei. Sic Lucas Actor. V. 8. Εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε; ἡ δὲ εἶπε, Ναὶ, τοσούτου. et XXII. 27. Λέγε μοι, εἰ σὺ Ῥωμαῖος εἶ; ὁ δὲ ἔφη, Ναί. MARKLAND.

Εἰ πέρυσι ἐμοὶ μέτοικος εἶ, Ναί.] Egregie Scal. et nos textum vel invitis omnibus Codd. recudimus. Ni habuerint Codd. Groularti, qui mecum hunc locum interpretatur. TAYLOR.

Ἄλλο τι οὖν οὐκ ἀξιοῖς, ἢ ἀποθανεῖν] *ergo nullam aliam ipse tute tibi statuis, quam mortis pœnam?* Sic dedi, de meo addens οὐκ, quo vulgatæ carent. Cui bene respondet responsio: ἔγωγε, scil. οὐκ ἀξιῶ ἄλλο τι πάσχειν, ἢ τὸν θάνατον. Quæ responsio non sit quadratura, si οὐκ a præmissa interrogatione absit. REISK.

Ὡς ἔστι νόμος, ὃς κελεύει etc.] Inepte: si enim Leges *jubeant* frumentum coemere, quodnam opus, ut Archontes idem *jubeant?* Lege: ὃς οὐ κωλύει τοὺς σιτοπώλας etc. cui mox opponitur ἀπαγορεύει. *si igitur ostenderit, judices, ullam esse le-*

νόμος ὃς κελεύει τοὺς σιτοπώλας συνωνεῖσθαι τὸν σῖτον, ἂν οἱ ἄρχοντες κελεύωσιν, ἀποψηφίσασθε· εἰ δὲ μὴ, δίκαιον ὑμᾶς καταψηφίσασθαι. ἡμεῖς γὰρ ὑμῖν παρεσχόμεθα τὸν νόμον, ὃς ἀπαγορεύει μηδένα τῶν ἐν τῇ πόλει [1] πλείω σῖτον πεντήκοντα φορμῶν συνωνεῖσθαι.

ε΄. [2] Χρῆν μὲν τοίνυν, ὦ ἄνδρες δικασταὶ, ἱκανὴν εἶναι 717
ταύτην τὴν κατηγορίαν, ἐπειδὴ οὗτος μὲν ὁμολογεῖ συμπρίασθαι, ὁ δὲ νόμος ἀπαγορεύων φαίνεται, ὑμεῖς δὲ κατὰ τοὺς νόμους ὀμωμόκατε ψηφιεῖσθαι· ὅμως δ᾽, ἵνα πεισθῆτε ὅτι καὶ κατὰ τῶν ἀρχόντων ψεύδονται, ἀνάγκη καὶ μακρότερον εἰπεῖν περὶ αὐτῶν. ἐπειδὴ γὰρ οὗτοι τὴν αἰτίαν εἰς ἐκείνους ἀνέφερον, παρακαλέσαντες τοὺς ἄρχοντας [3] ἠρωτῶμεν. καὶ οἱ μὲν δύο οὐδὲν ἔφασαν εἰδέναι τοῦ πράγματος·
Ἄνυτος δ᾽ ἔλεγεν ὡς τοῦ προτέρου χειμῶνος, ἐπειδὴ τίμιος 718
165. 1 ἦν ὁ σῖτος, τούτων [4] ὑπερβαλλόντων ἀλλήλους καὶ πρὸς σφᾶς αὐτοὺς μαχομένων, συμβουλεύσειεν αὐτοῖς παύσασθαι φιλονεικοῦσιν, ἡγούμενος συμφέρειν ὑμῖν, τοῖς παρὰ τούτων ὠνουμένοις ὡς ἀξιώτατον τούτους πρίασθαι· δεῖν γὰρ αὐτοὺς ὀβολῷ μόνον πωλεῖν τιμιώτερον. ὡς τοίνυν οὐ συμπριαμένους

[1] πλείω om. T. post σῖτον ponit A. [2] χρὴ T. [3] ἠρώτων με T. [4] ὑπερβαλόντων T.

gem, quæ non prohibeat frumentarios coemere frumentum, etiamsi præfecti jusserint; absolvite eum. Ratio hoc postulat. οὐ omittebatur ob præcedens ὅς. MARKLAND. Argumentatio Marklandi frivola et ultra quam par est, arguta est. Bene habet vulgata. REISK.

Σῖτον πεντήκοντα φορμῶν] Emenda cum Stephan. [et Cont.] et Petit. ad LL. Attic. p. 420. σῖτον πλείω πεντήκοντα φορμῶν. ut supra: Εἰ ὁμολογεῖς πλείω σῖτον συμπρίασθαι πεντήκοντα φορμῶν, ὧν ὁ νόμος ἐξεῖναι κελεύει. Quod ad φορμοὺς attinet, vide Aristoph. Thesmoph. 820. Hesych. Polluc. sæpiuscule, etc. Cophinus erat viminibus contextus: quantum frumenti capiebat, non liquet. Sed erat mensuræ genus. Fortasse eadem erat, quam Latini nominabant *cumeram*. Arbitror sane. Nam ita Acro ad Hor. 1. Serm. I. 53. "Cumera vas est ingens vimineum, vel fictile simile doliis, ubi frumentum suum reponebant Agricolæ: vel vas minus capiens quinque sive sex modios." TAYLOR. Recte Stephanus; nisi quod ordinem verborum fuisse reor: ἐν τῇ πόλει πλείω σῖτον etc. ut paulo ante: Εἰ ὁμολογεῖς πλείω σῖτον συμπρίασθαι. Atque hinc forte patefit erroris causa. nempe amittebatur πλείω in simili πόλει. MARKLAND.

Ἠρώτων με] Ἠρώτων αὐτούς. SCHOTT. ἠρωτῶμεν. CONT. Lectio est ἠρωτῶμεν, cui accedit Cod. Coisl. qui habet ἠρώτων μέν. TAYLOR. Lego: παρακαλέσας τοὺς ἄρχοντας ἠρωτώμην. *advocatis præfectis interrogavi eos.* Schottus quoque conjecerat παρακαλέσας, et ἠρώτων αὐτούς. Legere etiam potes ἠρόμην, pro ἠρώτων με. istud propius est: hoc sæpius utitur Lysias. Vel: παρακαλέσας ὡς ἐμὲ τοὺς ἄρχοντας ἠρώτων. ὡς ἐμὲ, *ad meum domum.* MARKLAND. Exhibui, ut volebat Taylor, qui verum hic vidit: *nos, Prytanes, cum arcessivissemus Archontas* [magistros rerum annonariarum], *interrogavimus*, τοὺς σιτοφύλακας. quos numero tres fuisse, ex hoc loco constat. REISK.

Φιλονεικοῦσιν· ἡγούμενος — τούτους πρίασθαι. δεῖν γὰρ etc.] Distingue: φιλονεικοῦσιν· (ἡγούμενος — τούτους πρίασθαι) δεῖν γὰρ etc. MARKLAND.

Ἀξιώτατον] Hic ἀξιώτατος *vilissimus, vilissimo pretio.* AUGER.

καταθέσθαι ἐκέλευεν αὐτοὺς, ἀλλὰ μὴ ἀλλήλοις ἀντωνεῖσθαι συνεβούλευεν, αὐτὸν ὑμῖν Ἄνυτον μάρτυρα παρέξομαι, καὶ ὡς οὗτος μὲν ἐπὶ τῆς προτέρας βουλῆς τούτους εἶπε τοὺς λόγους, οὗτοι δ' [1] ἐπίτηδες συνωνούμενοι φαίνονται.

[2] ΜΑΡΤΥΣ.

719 ὅτι μὲν τοίνυν οὐχ ὑπὸ τῶν ἀρχόντων κελευσθέντες συνεπρίαντο τὸν σῖτον, ἀκηκόατε· ἡγοῦμαι δ', ἂν ὡς μάλιστα περὶ τούτων ἀληθῆ λέγωσιν, οὐχ ὑπὲρ [3] αὑτῶν αὐτοὺς ἀπολογήσεσθαι, ἀλλὰ τούτων κατηγορήσειν. περὶ γὰρ ὧν εἰσὶ νόμοι διαῤῥήδην γεγραμμένοι, πῶς οὐ χρὴ διδόναι δίκην καὶ τοὺς μὴ πειθομένους καὶ τοὺς κελεύοντας τούτοις τἀναντία πράττειν;

ς'. Ἀλλὰ γὰρ, ὦ ἄνδρες δικασταὶ, οἴομαι αὐτοὺς ἐπὶ μὲν τοῦτον τὸν λόγον οὐκ ἐλεύσεσθαι· ἴσως δ' ἐροῦσιν, ὥσπερ καὶ ἐν τῇ βουλῇ, ὡς ἐπ' εὐνοίᾳ τῆς πόλεως συνεωνοῦντο τὸν σῖτον, ἵν' ὡς ἀξιώτατον [4] ὑμῖν πωλοῖεν. μέγιστον δ' ὑμῖν ἐρῶ καὶ περιφανέστατον τεκμήριον ὅτι ψεύδονται.
720 ἐχρῆν γὰρ αὐτοὺς, εἴπερ ὑμῶν [5] ἕνεκα ἔπραττον ταῦτα, φαίνεσθαι τῆς αὐτῆς τιμῆς πολλὰς ἡμέρας πωλοῦντας, ἕως ὁ συνεωνημένος αὐτοὺς ἐπέλιπε· νυνὶ δ' ἐνίοτε τῆς αὐτῆς

[1] ἐπὶ τῆτες R. [2] ΜΑΡΤΥΣ post παρέξομαι ponit T. [3] αὐτῶν T. A. [4] ἡμῖν T. R. A. [5] οὕνεκα T. R. A.

Παρέξομαι. ΜΑΡΤΥΣ. Καὶ ὡς] Συνεβούλευσεν· καὶ ὡς οὗτος μὲν - - - φαίνονται, αὐτὸν ὑμῖν Ἄνυτον μάρτυρα παρέξομαι. ΜΑΡΤΥΣ. Cont. Quæ lectio certe non est improbanda. Auger. Vox ΜΑΡΤΥΣ loco suo mota est. Repone modo post φαίνονται. Taylor. Vox ΜΑΡΤΥΣ in locum alienum migravit, abscissa in medio tenore suo sententia. Restitue: ὡς τοίνυν οὐ συμπριαμένους καταθέσθαι αὐτοὺς ἐκέλευεν — Ἄνυτον μάρτυρα παρέξομαι, καὶ ὡς οὗτος (f. αὐτὸς) μὲν — οὗτοι δὲ — φαίνονται. ΜΑΡΤΥΣ. Deinde post testimonium Anyti pergit: Ὅτι μὲν τοίνυν οὐχ — ἀκηκόατε. Markland.

Ἐπίτηδες] Dedi de meo ἔτι τῆτες. *adhuc hoc anno.* opponuntur enim inter se annus præsens et superior. Reisk.

Ὑπὲρ αὐτῶν] Rescribe: ὑπὲρ αὑτῶν. Taylor. Scribe: ὑπὲρ αὑτῶν. *pro seipsis.* τούτων, scil. τῶν ἀρχόντων. Interpretes Groulartus et Vanderheidius hunc locum non ceperunt: quod mirum, cum sensus admodum obvius sit: *si hæc maxime vera allegent, opinor tamen eos non inde excusaturos esse seipsos, sed accusaturos esse præfectos.* Sic Orat. VI. eadem sententia: καίτοι οὐχ ὑπὲρ αὑτοῦ ἀπολογήσεται, ἀλλὰ καὶ τῶν ἄλλων κατηγορήσει. *quamvis ea ratione non tam se purgabit, quam alios accusabit.* quemadmodum vertit ipse Vanderheidius. Markland.

Τούτων] Redit ad τοὺς ἄρχοντας, vel quod idem est, τοὺς σιτοφύλακας. Reisk.

Ἴσως δ' ἐροῦσιν, κ. τ. λ.] Vid. Suid. in v. Ἄξιον. οἱ ῥήτορες, qui hunc locum laudat, ad mentem potius Auctoris attendens, quam αὐτολεξεὶ describens. Taylor.

Ἕως ὁ συνεωνημένος αὐτοὺς ἀπέλιπε] Passive, *coemptum* frumentum. quod notandum. Orat. XXXIII. ἑκκαίδεκα δραχμῶν ἐωνημένον ἀρνίον. *agnus sedecim drachmis emptus.* Isæus de Hæred. Agn. p. 88. οἰκίαν δὲ Μελίτῃ, τρισχιλίων ὠνημένην. lege: ἐωνημένην. Demosthenes περὶ Παραπρεσβ. ἃ κἂν ἐχθὲς ἐωνημένος ἄνθρωπος εἰπεῖν δυνη-

ἡμέρας ἐπώλουν δραχμῇ τιμιώτερον, ὥσπερ κατὰ μέδιμνον
συνωνούμενοι. καὶ τούτων ὑμᾶς μάρτυρας παρέχομαι. δεινὸν
δέ μοι δοκεῖ εἶναι, εἰ ὅταν μὲν εἰσφορὰν εἰσενεγκεῖν δέῃ, ἣν
πάντες εἴσεσθαι μέλλουσιν, οὐκ ἐθέλουσιν, ἀλλὰ πενίαν
προφασίζονται· ἐφ᾽ οἷς δὲ θάνατός ἐστιν ἡ ζημία καὶ λαθεῖν 721
αὐτοῖς συνέφερε, ταῦτα ἐπ᾽ εὐνοίᾳ φασὶ τῇ ὑμετέρᾳ παρανομῆσαι. καίτοι πάντες ἐπίστασθε ὅτι τούτοις ἥκιστα
προσήκει τοιούτους ποιεῖσθαι λόγους. τἀναντία γὰρ αὐτοῖς
καὶ τοῖς ἄλλοις συμφέρει· τότε γὰρ πλεῖστα κερδαίνουσιν,
ὅταν κακοῦ τινὸς ἀπαγγελθέντος τῇ πόλει τίμιον τὸν σῖτον
πωλῶσιν. οὕτω δ᾽ ἄσμενοι τὰς συμφορὰς τὰς ὑμετέρας
ὁρῶσιν, ὥστε τὰς μὲν πρότεροι τῶν ἄλλων πυνθάνονται, τὰς
δ᾽ [1] αὐτοὶ λογοποιοῦσιν, ἢ τὰς ναῦς [2] διεφθάρθαι τὰς ἐν
τῷ Πόντῳ, ἢ ὑπὸ Λακεδαιμονίων ἐκπλεούσας συνειλῆφθαι,
ἢ τὰ ἐμπόρια κεκλεῖσθαι, ἢ τὰς σπονδὰς μέλλειν ἀποῤῥηθήσεσθαι. καὶ εἰς τοῦτ᾽ ἔχθρας ἐληλύθασιν, ὥστ᾽ ἐν τούτοις 722
τοῖς καιροῖς ἐπιβουλεύουσιν ἡμῖν, ἐν οἷσπερ [3] οἱ πολέμιοι.
ὅταν γὰρ μάλιστα σίτου τυγχάνητε δεόμενοι, ἀναρπάζουσιν

[1] οὗτοι T. A. [2] ἐφθάρθαι T. [3] οὐδ᾽ οἱ R.

θεῖν. et ita Orat. I. adv. Stephanum : et Orat. adv. Polyclem. Passim ita Xenophon libello περὶ Προσόδων. MARKLAND.

Καὶ τούτων ὑμᾶς μάρτυρας παρέχομαι. δεινὸν δέ μοι] Scribe : ὑμῖν μάρτυρας παρέξομαι. ΜΑΡΤΥΡΕΣ. Δεινὸν δέ μοι etc. Fatale est Lysiam circa hanc vocem depravari. IDEM.

Οἴσεσθαι] *indignum autem est, si, quum tributum est pendendum,* quod omnes persolvere debent, *refugiant et paupertatem obtendant : in iis vero, in quibus capitis pœna proposita est, et præstat eos latitare, dicant, ob amorem, quo in vos feruntur, se contra leges peccasse.* GROULART. Et eodem acumine interpres alter. Sed ubi est istud, quod conqueritur δεινόν? Ubi oppositorum vivida contentio, argumentationis solertia, sensus ipse? Hinc illud profecto dici arbitror, quod vulgo dicitur: Mi homo! verba dedisti. Sed tempus est, ut Lysiæ opem feram: *jactitarunt hi dardanarii egregiam suam in rempublicam benevolentiam. Ubi autem exprompta est ista tanta benevolentia? Non in alacri studio tributi pendendi,* quod palam omnibus innotesceret ; *sed in legibus, in quibus capitis res agitur, violandis,* ubi expedit esse quam occultissimis. Lego enim cum Cod. Coisl. ἣν πάντες εἴσεσθαι μέλλουσιν. TAYLOR.

Ἥκιστα] Id est, πάντων ἥκιστα. quod equidem malim sic legi. REISK.

Οὗτοι λογοποιοῦσιν] Mallem : αὐτοί. *ipsi fingunt.* et pro ἐφθάρθαι, restituenda MS. lectio, διεφθάρθαι. Vide ad Orat. XX. MARKLAND. et *in edit. min.* TAYLOR. et AUGER.

Ἐκπλεούσας] Unde? e Piræeone, an e Ponto? posterius equidem rectius arbitror. REISK. Nempe, ἐκ τοῦ Πόντου. AUGER.

Ἀποῤῥηθήσεσθαι] Verbum ἀνειπεῖν h. l. idem est, atque nostrate *aufsagen, einem den Kauf, den Dienst, die Miethe aufsagen. renunciare.* per nuncium ad alterum allegatum ei testatum facere, se nolle in posterum eodem pacto, quo adhuc, teneri, sed ab hoc momento rescissum id velle. REISK.

Ἐν οἷσπερ οὐδ᾽ οἱ πολέμιοι] Particulam infitiantem de meo addidi, re ipsa id subjiciente, et præterea illa proxima εἰρήνης οὔσης confirmant. IDEM.

Ἀναρπάζουσιν] Ἀναρπάζειν τὸν σῖτον est, mandare servis ut frumentum in solaria congerant, ibique clausum et absconditum servare, neque sinere rursus in ædes inferiores deferri, quo vendatur. IDEM.

οὗτοι καὶ οὐκ ἐθέλουσι πωλεῖν, ἵνα μὴ περὶ τῆς τιμῆς διαφερώμεθα, ἀλλ᾽ ἀγαπῶμεν ἂν ὁποσουτινοσοῦν πριάμενοι παρ᾽ αὐτῶν ἀπέλθωμεν· ὥστ᾽ ἐνίοτε εἰρήνης οὔσης ὑπὸ τούτων πολιορκούμεθα. οὕτω δὲ πάλαι περὶ τῆς τούτων πανουργίας καὶ κακονοίας ἡ πόλις ἔγνωκεν, ὥστ᾽ ἐπὶ μὲν τοῖς ἄλλοις ὠνίοις ἅπασι τοὺς ἀγορανόμους φύλακας κατεστήσατε, ἐπὶ δὲ ταύτῃ μόνῃ τῇ τέχνῃ χωρὶς σιτοφύλακας
723 [1] ἀποκληροῦτε. καὶ πολλάκις ἤδη παρ᾽ ἐκείνων πολιτῶν ὄντων δίκην τὴν μεγίστην ἐλάβετε, ὅτι οὐχ οἷοί τ᾽ ἦσαν τῆς τούτων πονηρίας ἐπικρατῆσαι. καίτοι τί χρὴ αὐτοὺς τοὺς ἀδικοῦντας ὑφ᾽ ὑμῶν πάσχειν, ὁπότε καὶ τοὺς [2] οὐ δυναμένους φυλάττειν ἀποκτείνετε;

ζ΄. Ἐνθυμεῖσθαι δὲ χρὴ ὅτι ἀδύνατόν ἐστιν ὑμῖν ἀποψηφίσασθαι. εἰ γὰρ ἀπογνώσεσθε ὁμολογούντων αὐτῶν ἐπὶ τοὺς ἐμπόρους συνίστασθαι, δόξεθ᾽ ὑμεῖς ἐπιβουλεύειν τοῖς εἰσπλέουσιν. εἰ μὲν γὰρ ἄλλην τινὰ ἀπολογίαν ἐποιοῦντο, οὐδεὶς ἂν εἶχε τοῖς ἀποψηφισαμένοις ἐπιτιμᾶν· ἐφ᾽ ὑμῖν [3] γὰρ ὁποτέροις βούλεσθε πιστεύειν· νῦν δὲ πῶς οὐ δεινὰ ἂν δόξαιτε ποιεῖν, εἰ τοὺς ὁμολογοῦντας παρανομεῖν ἀζημίους ἀφήσετε; ἀναμνήσθητε δὲ, ὦ ἄνδρες δικασταὶ, ὅτι πολλῶν ἤδη ἐχόντων ταύτην τὴν αἰτίαν [4][λαμβάνειν]

[1] ἀπεκληροῦτε A. [2] μὴ T. R. A. [3] γάρ ἐστιν R. A.
[4] uncos om. T. R. λαμβάνειν om. A.

Διαφερώμεθα] Subaudi αὐτοῖς. *ne nos emptores secum de pretio contendamus*, aut *rixemur, nolentes tantum dare quantum illi flagitent.* Idem.

Σιτοφύλακος ἀποκληροῦτε] Potius: σιτοφύλακας ἀπεκληροῦτε. ut ἐλάβετε. Schottus quoque σιτοφύλακας. Χωρὶς est *seorsim*, extra ordinem. Markland.

Πολιτῶν ὄντων] Hoc eo spectat, quod in dardanariis permulti essent, non cives, sed solummodo inquilini. Quod si ergo cives respublica punit, quanto magis punire debebit peregrinos. Reisk.

Ὁποτέροις] Ἔστιν ὁποτέροις. Cont. Accusatoribus puta dardanariorum, an ipsis dardanariis sese defendentibus. Reisk.

Πολλῶν ἤδη ἐχόντων ταύτην τὴν αἰτίαν λαμβάνειν] Αἰτίαν, πρόφασιν, vel λόγους, vel ἀπολογίας, καὶ μάρτυρας. Cont. Miror, quid velit vox ultima: et suspicor incuriam Scribæ repetisse eam ex sententia proxime sequenti, δίκην λαμβάνειν. Novi, quid sit ἔχειν αἰτίαν, *culpæ obnoxium esse, reum esse*: quod sæpe admodum occurrit. λαμβάνειν quoque αἰτίαν, licet rarius sit, probum est: ut Orat. XII. οὐ γὰρ δὴ ἑτέρων ἔργων αἰτίαν λαβόντες (*rei*) ἐκ τῆς πόλεως ἐξέπεσον, ἀλλὰ τούτων. Pollux VIII. 10. segm. 120. εἴ τις τῶν φευγόντων ἐπ᾽ ἀκουσίου φόνου αἰτία, δευτέραν αἰτίαν ἑκουσίου προσλάβοι. Thucydides lib. II. segm. 18. αἰτίαν τε οὐκ ἐλαχίστην Ἀρχίδαμος ἔλαβεν ἀπ᾽ αὐτοῦ. et ita Idem VI. 60. Sed ἔχειν λαμβάνειν αἰτίαν mihi ταυτολογίας et Glossematis suspectum est. Si defendi possit, ita intellige: *multos, in quos hæc eadem accusatio* (seu *crimen*) *cadere potuit, morte mulctavistis.* Markland. Aut delendum est, ut vult Markland, λαμβάνειν, quod facile potuit e proximo versu 5. p. 529. quocunque errore huc irrepsisse, aut si quid ejus tamen verum est, affirmem ita leg. esse locum: πολλῶν ἤδη, ἐχόντων ταύτην τὴν αἰτίαν, πειρωμένων λανθάνειν, καὶ μάρτυρας π. *multos, qui, cum ejusdem criminis essent insimulati, conarentur infitiando subterfugere, testesque adeo suæ innocentiæ præstarent.* Reisk.

166. καὶ μάρτυρας παρεχομένων θάνατον κατέγνωτε, πιστοτέ- 724
ρους ἡγησάμενοι τοὺς τῶν κατηγόρων λόγους. καίτοι πῶς ἂν
οὐ θαυμαστὸν εἴη, εἰ περὶ τῶν αὐτῶν ἁμαρτημάτων δικά-
ζοντες, μᾶλλον [1] ἐπεθυμεῖτε παρὰ τῶν ἀρνουμένων δίκην
λαμβάνειν;

η΄. Καὶ μὲν δὴ, ὦ ἄνδρες δικασταὶ, πᾶσιν ἡγοῦμαι
φανερὸν εἶναι, ὅτι οἱ περὶ τῶν τοιούτων ἀγῶνες κοινότατοι
τυγχάνουσιν ὄντες τοῖς ἐν τῇ πόλει, ὥστε πεύσονται ἥντινα
γνώμην περὶ αὐτῶν ἔχετε, ἡγούμενοι, ἂν μὲν θάνατον αὐτῶν 725
καταγνῶτε, κοσμιωτέρους ἔσεσθαι τοὺς λοιποὺς, ἂν δ'
ἀζημίους ἀφῆτε, πολλὴν ἄδειαν αὐτοῖς ἐψηφισμένοι ἔσεσθε
ποιεῖν ὅ τι ἂν βούλωνται. χρὴ δὲ, ὦ ἄνδρες δικασταὶ, μὴ
μόνον τῶν παρεληλυθότων [2] ἕνεκα αὐτοὺς κολάζειν, ἀλλὰ
καὶ παραδείγματος [2] ἕνεκα τῶν μελλόντων ἔσεσθαι· οὕτω
γὰρ ἔσονται μόγις ἀνεκτοί. ἐνθυμεῖσθε δ' ὅτι ἐκ ταύτης
τῆς τέχνης πλεῖστοι περὶ τοῦ σώματος εἰσὶν ἠγωνισμένοι·
καὶ οὕτω μεγάλα ἐξ αὐτῆς ὠφελοῦνται, ὥστε μᾶλλον
[3] αἱροῦνται καθ' ἑκάστην ἡμέραν περὶ τῆς ψυχῆς κινδυνεύειν
ἢ παύσασθαι παρ' ὑμῶν ἀδίκως κερδαίνοντες. καὶ μὲν
δὴ οὐδ' ἂν ἀντιβολῶσιν ὑμᾶς καὶ ἱκετεύωσι, δικαίως ἂν
αὐτοὺς ἐλεήσαιτε, ἀλλὰ πολὺ μᾶλλον τῶν τε πολιτῶν
οἳ διὰ τὴν τούτων πονηρίαν ἀπέθνησκον, καὶ τοὺς ἐμπό- 726
ρους ἐφ' [4] οἷς οὗτοι συνέστησαν· οἷς ὑμεῖς χαριεῖσθε καὶ

[1] ἐπιθυμεῖτε T. A. [2] οὕνεκα T. R. A. [3] αἰτοῦνται T. [4] οὓς T.

Λόγους] Subaudi ἢ τοὺς τῶν πειρωμένων λανθάνειν. Idem.

Λαμβάνειν] Add. ἢ παρὰ τῶν ὁμολογούντων. Cont. Subaudi ἢ τῶν ὁμολογούντων. Reisk.

Οὕνεκα — οὕνεκα] Ἕνεκα — ἕνεκα. Scalig.

Οὕτω] Fort. οὗτοι. Taylor.

Μόγις] Cohæret, non cum ἀνεκτοὶ, sed cum ἔσονται. *vix enim erunt vel hoc pacto tolerabiles*, h. e. vix hoc modo poterit hoc obtineri, ut se gerant tolerabiliter; si nempe pœnarum severitatem exerceatis; nedum ut tolerabiles sint futuri, si vos ad puniendum torpeatis. οὕτω bene habet. Reisk.

Αἰτοῦνται] F. αἱροῦνται. Taylor. Lege: μᾶλλον αἱροῦνται. *malunt*. Demosth. Philipp. III. τούτους μὲν ἐξαπατᾷν αἱρεῖσθαι μᾶλλον ἢ προλέγοντα βιάζεσθαι. et ita passim. Markland.

Τῶν τε πολιτῶν] Subaudi τούτους. illos vestrorum civium (sitophylacas designat, de quibus jam paulo ante mentionem fecerat), qui cum horum frumentariorum fraudes compescere satis non potuissent, ideo capite suo luerunt. Reisk. Explicat Contius: ἐκ τῶν πολιτῶν ἐκείνους οἳ —. Auger.

Καὶ τοὺς ἐμπόρους] Καὶ τοῖς ἐμπόροις. Scal. Inscite. Taylor.

Ἐφ' οἷς] Possit defendi. Nam ἐπί τινι perinde est, in fraudem et noxam alicujus; atque ἐπί τινα. malim tamen in accusat. ἐφ' οὓς, ut usitatius. Reisk.

Οἷς ὑμεῖς κ. τ. λ.] Hæc non recte parenthesi includuntur. Lege: συνέστησαν· οἷς ὑμεῖς χαριεῖσθε, καὶ προθυμοτέρους ποιήσετε, δίκην παρ' αὐτῶν λαμβάνοντες. Ni potius fuisset, παρὰ τούτων. Taylor. Dele Parenthesin, et distingue: συνέστησαν· οἷς ὑμεῖς — ποιήσετε, δίκην παρ' αὐτῶν

προθυμοτέρους ποιήσετε, δίκην παρ' αὐτῶν λαμβάνοντες.
727 εἰ δὲ μή, [1] τίν' αὐτοὺς οἴεσθε γνώμην ἕξειν, ἐπειδὰν πύθωνται ὅτι τῶν καπήλων, οἳ τοῖς ἐκπλέουσιν ὡμολόγησαν ἐπιβουλεύειν, ἀπεψηφίσασθε;

θ'. Οὐκ οἶδ' ὅτι δεῖ πλείω λέγειν· περὶ μὲν γὰρ τῶν ἄλλων τῶν ἀδικούντων, ὅτε δικάζονται, δεῖ παρὰ τῶν κατηγόρων πυθέσθαι, τὴν δὲ τούτων πονηρίαν ἅπαντες ἐπίστασθε. ἂν οὖν τούτων καταψηφίσησθε, τά τε δίκαια ποιήσετε καὶ ἀξιώτερον τὸν σῖτον ὠνήσεσθε, εἰ δὲ μή, τιμιώτερον.

[1] τὴν αὐτὴν T. R.

(vel παρὰ τούτων), λαβόντες. Paulo ante: τῶν τε πολιτῶν, οἳ διὰ etc. Tolle distinctionem, et subintellige τούτους, vel ἐκείνους τῶν πολιτῶν οἳ etc. ut τοὺς ἐμπόρους paulo post. Markland. Subauditur a communi ἐλεήσαιτε. Reisk.

Προθυμοτέρους ποιήσετε] Scil. αὐτοὺς, *eos*, mercatores puta, vel negotiatores. verum reticuit hic loci hoc vocabulum, tametsi necessarium, quia statim sequitur αὐτῶν, quod ad dardanarios redit; ne idem pronomen eodem spiritu de diversissimis usurpatum lectores perturbaret. Idem.

Τὴν αὐτὴν οἴεσθε γνώμην ἕξειν, ἐπειδὰν πύθωνται, ὅτι τῶν καπήλων — ἀπεψηφίσασθε] Facilis hujus loci restitutio. Lege: ἐπειδὰν πύθωνται, ἥνπερ ὅτε τῶν καπήλων — ἀπεψηφίσασθε. Vanderheidius vertit: *alioqui, eodem ipsos animo fore existimate, quo erant, cum intelligerent, caupones vos absolvisse.* Recte supplet: sed pro πύθωνται videtur legisse ἐπύθοντο, sine causa. Ἥνπερ ὅτε, quod interdum εἶχον ὅτε. ut Orat. XV. ad fin. τὴν αὐτὴν γνώμην ἔχοντας — ἥνπερ ὅτε ᾤεσθε πρὸς τοὺς πολεμίους διακινδυνεύειν. Markland. Mihi videtur leg. esse: τίν' αὐτοὺς οἴεσθε γνώμην ἕξειν. *quem ipsis animum existimatis fore, cum audierint* —. Vulgatam si servabimus, erit ad τὴν αὐτὴν subaudiendum τοῖς ἐπιβουλεύουσιν ὑμῖν. *communem causam facturos cum dardanariis, a quibus insidiæ vobis struuntur, existimate.* [αὐτοὺς si optabimus, redibit ad negotiatores frumentum e Ponto Athenas subvehentes. τὴν αὐτὴν si servabimus, subaudiendum erit: οἵαν τέως ἔσχον. *atque adhuc habuerunt.* aut ἣν εἰκός ἐστιν αὐτοὺς ἐκ τῆς τούτων ἀποψηφίσεως ἔχειν. *In Var. Lect.*] Reisk.

Ἐκπλέουσιν] Malim εἰσπλέουσιν. in Piræeum puta, ut antea. Idem.

Ἂν οὖν τούτων κ. τ. λ.] Hunc locum laudat Suidas in v. Ἄξιον, οἱ ῥήτορες, minima fere cum differentia. Taylor.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΠΑΓΚΛΕΩΝΟΣ

ΟΤΙ ΟΥΚ ΗΝ ΠΛΑΤΑΙΕΥΣ.

ΥΠΟΘΕΣΙΣ.

Δίκη ξενίας. Vid. Harpocr. in *Ναυτοδίκαι*, et Poll. VIII. 10. Pancleo servus fugitivus in jus vocatus est ad Polemarchum propter quasdam contumelias ab Oratore, arbitrato eum fuisse *μέτοικον*. At cum ille exceptione fori usus Platæensem se esse dixit, ideoque, civem Atticum, deprehenditur post accuratissimam investigationem habitam, ut Auctoris verbis utar, *μὴ ὅτι Πλαταιεὺς εἶναι, ἀλλ' οὐδὲ ἐλεύθερος.*

Pag. ed. H. Steph. 166. 27 — Pag. ed. Reisk. 728

α'. ΠΟΛΛΑ μὲν λέγειν, ὦ ἄνδρες δικασταὶ, περὶ τουτουῒ τοῦ πράγματος οὔτ' ἂν δυναίμην οὔτε μοι δοκεῖ δεῖν· ὡς δὲ ὀρθῶς τὴν δίκην ἔλαχον τούτῳ Παγκλέωνι οὐκ ὄντι Πλαταιεῖ, τοῦτο ὑμῖν πειράσομαι ἀποδεῖξαι. 729

β'. Ὡς γὰρ ἀδικῶν με πολὺν χρόνον οὐκ ἐπαύετο, ἐλθὼν ἐπὶ τὸ γναφεῖον ἐν ᾧ εἰργάζετο, προσεκαλεσάμην αὐτὸν πρὸς τὸν πολέμαρχον, νομίζων μέτοικον εἶναι. εἰπόντος δὲ τούτου ὅτι Πλαταιεὺς εἴη, ἠρόμην [1] ὁπόθεν δημοτεύ-

[1] ὁπότε T. R. A.

ΠΛΑΤΑΙΕΥΣ] Legendum contendit doctissimus Meurs. *ὅτι οὐκ ἦν Πλωθειεὺς* (nam inter Atticæ populos erat Πλωθειὰ, ut ostenderunt ipse Meursius aliique), "et per totam deinceps orationem," hominis ipsius verbis utor, "ubicunque editur Πλαταιεὺς, Πλαταιεῖ, Πλαταιέα, Πλαταιέων, Πλαταιέας, rescribendum sine dubio Πλωθειεὺς, Πλωθειεῖ, Πλωθειέα, Πλωθειέων, Πλωθειέας." Vid. Attic. Leg. III. 29. Cui nolim aliquid gravius dici, cum, nisi me mea memoria fallat, errorem suum alibi revocet. Platæenses erant civitate donati, uti liquet ex decreto, quod exstat apud Demosth. c. Neær. p. 1380. pen. ed. Reisk. ex Aristoph. in Ranis, et Pausan. Attic. c. 29. aliisque. Vid. Petit. de LL. Attic. p. 133. et Miscell. II. 9. I. 14., Meurs. ipsum de fortuna Athenarum cap. 5. Eodem itaque jure cum Platæensi agendum erat, atque Atheniensi. Præterea locus egregius exstat in fine orationis, qui ad Platæensem solummodo spectare potest: *Πρὶν τοίνυν ταῦτα ὁμολογηθῆναι αὐτῷ, δεδιὼς τὸν Ἀριστόδικον, μεταστὰς ἐντεῦθεν Θήβησι μετῴκει. Καίτοι οἶμαι εἰδέναι ὑμᾶς, ὅτι, εἴπερ ἦν Πλαταιεὺς, πανταχοῦ μᾶλλον, ἢ Θήβησιν, ἦν εἰκὸς αὐτὸν μετοικῆσαι.* Norunt omnes simultates olim intercessisse inter Thebanos et Platæenses: Inter Thebanos et Plothæenses Meursius, credo, solus. TAYLOR. Confer. Observat. Miscell. Amstelodam. T. VII. p. 317. sqq. et Corsini Fast. Attic. T. I. p. 16. sqq. REISK.

Ὁπότε δημοτεύοιτο] *in quem populum accenseretur.* TAYLOR. Lege: ὁπόθε. *ex quo pago esset.* Inusitata vero scævitas in hac Oratione. MARKLAND. ὁπότε (per τ) est in libris, non per ϑ, ut Markland, nescio qui aut unde, recitavit. Arbitror tamen veram lectionem ab eo esse demonstratam. id quod patet e responsione

οιτο, παραινέσαντός τινος τῶν παρόντων προσκαλέσασθαι
730 [1]καὶ πρὸς τὴν φυλὴν ἧστινος εἶναι σκήπτοιτο. ἐπειδὴ δὲ
731 ἀπεκρίνατο ὅτι Δεκελειόθεν, προσκαλεσάμενος αὐτὸν [1]καὶ
πρὸς τοὺς τῇ Ἱπποθοωντίδι δικάζοντας, ἐλθὼν ἐπὶ τὸ κουρεῖον τὸ παρὰ τοὺς Ἑρμᾶς, ἵνα οἱ Δεκελεῖς προσφοιτῶσιν, ἠρώτων, οὕς τε ἐξευρίσκοιμι Δεκελέων ἐπυνθανόμην εἴ τινα γιγνώσκοιεν Δεκελειόθεν δημοτευόμενον Παγκλέωνα. ἐπειδὴ δὲ οὐδεὶς ἔφασκεν γιγνώσκειν αὐτὸν, πυθόμενος ὅτι καὶ ἑτέρας δίκας τὰς μὲν [2]φύγοι τὰς δ' [3]ὠφλήκοι παρὰ τῷ
732 πολεμάρχῳ, ἔλαχον καὶ ἐγώ. πρῶτον μὲν οὖν ὑμῖν Δεκελέων οὓς ἠρόμην μάρτυρας παρέξομαι· ἔπειτα δὲ καὶ τῶν ἄλλων, τῶν λαχόντων τε δίκας αὐτῷ πρὸς τὸν πολέμαρχον

[1] καὶ om. A. [2] φεύγοι A. [3] ὀφλήκοι T.

Δεκελειόθεν. *unde*, h. e. quonam e demo se pateretur nominari, et haberi oriundum, velut demotam. Perinde puto esse, ὀπόθε aut ὀπόθεν legatur. ut pariter ἔμπροσθε et ἔμπροσθεν usurpatur. REISK.

Παραινέσαντος τινὸς τῶν παρόντων — σκήπτοιτο. ἐπειδὴ δὲ ἀπεκρίνατο etc.] Mallem, mutata sede particulæ δὲ, et distinctione, ita legere: παραινέσαντος δέ τινος — σκήπτοιτο, ἐπειδὴ ἀπεκρίνατο etc. MARKLAND.

Ἐπειδὴ δὲ κ. τ. λ.] Narratio est hujusmodi: 'Pancleonem ad Polemarchum in jus vocat Orator ob quasdam contumelias, existimans eum fuisse inquilinum.' (Polemarchus enim, uti Prætor peregrinus apud Romanos, jus dixit de inquilinis. Τἄλλα ὅσα τοῖς πολίταις ὁ ἄρχων, ταῦτα τοῖς μετοίκοις ὁ Πολέμαρχος, Harpocr. in Πολέμαρχος. Vid. Poll. VIII. 9. 'Sed ubi affirmavit se esse domo Platæensem, atque idcirco jure civis Atheniensis uti posse ex decreto, ibi mutato consilio quærit, cui tribui et populo accenseretur, ut ab eo populo jus adipisceretur.' (Nam ut ex Demosthene liquet l. c. ea erat conditio civitatis Platæensibus data, ut unusquisque in tribum aliquam relatus ita demum civis fieret: Κατανεῖμαι δὲ τοὺς Πλαταιέας εἰς τοὺς δήμους καὶ τὰς φυλάς. Atque hæc videtur vis et notio esse τοῦ δημοτεύεσθαι, quod hic occurrit. Vid. Harpocr. in v. Hesych. etc.) 'Qui cum dixisset Δεκελειόθεν, confestim nomine dato apud eos, qui in ista tribu judicabant,' (ea autem erat Hippothoontis

ΘΡΑΣΥΛΛΟΣ. ΘΡΑΣΥΛΛΟΥ. ΔΕΚΕΛΕΥΣ. ΑΝΕΘΗΚΕΝ.
ΧΟΡΗΓΩΝ. ΝΙΚΗΣΑΣ. ΑΝΔΡΑΣΙΝ. ΙΠΠΟΘΟΩΝΤΙΔΙ. ΦΥΛΗΙ.
ΕΥΙΟΣΧΑΛΚΙΔΕΥΣ. ΗΥΛΕΙ. ΝΕΑΙΧΜΟΣ. ΗΡΧΕΝ.
ΚΑΡΚΙΔΑΜΟΣ. ΣΩΤΙΟΣ. ΕΔΙΔΑΣΚΕΝ.

Ex Sponio) 'ad tonstrinam ubi ire consueverant Deceleenses se contulit, et quoscunque ibi ex Deceleensibus offendit, ab iis percunctatus est, quenquamne noverint Pancleonem ei tribui accenseri.' Sed ut hæc se ita habere possint, Græcis est opitulandum. Lege itaque: Ἐπειδὴ δὲ ἀπεκρίνατο, ὅτι Δεκελειόθεν, προσκαλεσάμενος αὐτὸν πρὸς τοὺς (sine καὶ) τῇ Ἱπποθοωντίδι δικάζοντας, καὶ ἐλθὼν ἐπὶ τὸ κουρεῖον τὸ παρὰ τοὺς Ἑρμᾶς, ἵνα οἱ Δεκελεῖς προσφοιτῶσιν, ἠρώτων, οὕστε ἐξευρίσκοιμι Δεκελέων, εἴ τινα γιγνώσκοιεν Δεκελειόθεν δημοτευόμενον Παγκλέωνα. Nam istud ἐπυνθανόμην est glossematicum τοῦ ἠρώτων, indeque natæ hæ turbæ. TAYLOR. Idem est ac si dixisset: ἠρώτων, εἴ πού εἰσί τινες Δεκελεεῖς. *interrogabam, essentne ibi Deceleenses*, et eorum si quos reperissem hoc pacto, eos interrogabam, nossentne aliquem Pancleonem —. [Nam: οὕς τε ἀλλαχοῦ ἐξευρίσκ. *In Var. Lect.*] REISK.

Φύγοι] Malim in præsenti φεύγοι. nam tempus præsens postulat sententia. actiones quasdam in Pancleonem susceptas adhuc pendere nondum disceptatas apud Polemarchum. IDEM.

Ὠφλήκοι] Sic per ω dedi, pro vulgari ὀφλήκοι per omicron. *alias adversus eum actiones jam esse decisas mulctæque ipsum esse condemnatum.* ξενίας puta. nam de ejusmodi causis jus dicebat Polemarchus. IDEM.

Καὶ ἐγώ] Scil. δίκην ξενίας Παγκλέωνι παρὰ τῷ πολεμάρχῳ. IDEM.

καὶ καταδικασαμένων, ὅσοι τυγχάνουσι παρόντες. καί μοι ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΕΣ.

γʹ. Ἐκ μὲν τούτων πεισθεὶς πρὸς τὸν πολέμαρχον αὐτῷ τὴν δίκην ἔλαχον· ἐπειδὴ δέ μοι αὐτὴν ἀντεγράψατο μὴ 167. *εἰσαγώγιμον εἶναι, περὶ πολλοῦ ποιούμενος μηδενὶ δόξαι ὑβρίζειν βούλεσθαι μᾶλλον ἢ δίκην λαβεῖν ὧν ἠδικήθην, πρῶτον μὲν Εὐθύκριτον, ὃν πρεσβύτατόν τε Πλαταιέων ἐγίγνωσκον καὶ μάλιστα ᾤμην εἰδέναι, ἠρόμην εἴ τινα γιγνώσκοι Ἱππαρμοδώρου υἱὸν Παγκλέωνα Πλαταιέα· ἔπειτα δὲ, ἐπειδὴ ἐκεῖνος ἀπεκρίνατό μοι ὅτι τὸν Ἱππαρμόδωρον μὲν γιγνώσκοι, υἱὸν δὲ ἐκείνῳ οὐδένα οὔτε Παγκλέωνα οὔτε ἄλλον οὐδένα εἰδείη ὄντα, ἠρώτων [1] δὴ καὶ τῶν ἄλλων ὅσους ᾔδειν Πλαταιέας ὄντας. πάντες οὖν ἀγνοοῦντες τὸ ὄνομα αὐτοῦ, ἀκριβέστατα ἂν ἔφασάν με πυθέσθαι, ἐλθόντα εἰς τὸν χλωρὸν τυρὸν τῇ ἔνῃ καὶ νέᾳ· ταύτῃ γὰρ τῇ ἡμέρᾳ* 7 *τοῦ μηνὸς ἑκάστου ἐκεῖσε συλλέγεσθαι τοὺς Πλαταιέας. ἐλθὼν οὖν εἰς τὸν τυρὸν ταύτῃ τῇ ἡμέρᾳ ἐπυνθανόμην αὐτῶν, εἴ τινα γιγνώσκοιεν Παγκλέωνα πολίτην σφέτερον. καὶ οἱ μὲν ἄλλοι οὐκ ἔφασαν γιγνώσκειν· εἷς δέ τις εἶπεν ὅτι τῶν μὲν πολιτῶν οὐδενὶ εἰδείη τοῦτο ὂν τὸ ὄνομα, δοῦλον μέντοι ἔφη ἑαυτοῦ ἀφεστῶτα εἶναι Παγκλέωνα, τήν τε ἡλικίαν λέγων τὴν τούτου καὶ τὴν τέχνην ᾗ οὗτος χρῆται. ταῦτ᾽ οὖν ὡς ἀληθῆ ἐστὶ, τόν τε Εὐθύκριτον ὃν πρῶτον ἠρόμην, καὶ τῶν ἄλλων Πλαταιέων ὅσοις προσῆλθον, καὶ [2] τὸν ὃς ἔφη δεσπότης τούτου εἶναι, μάρτυρας παρέξομαι. καί μοι ἐπίλαβε τὸ ὕδωρ.*

[1] δὲ T.

[2] τὸν Νικομήδην A.

Ἀντεγράψατο] Hac exceptione mihi occurrebat, quam ab actuario ad acta referri curabat, forum illud haud esse competens. in eo sibi statum nullum esse. Se civem esse, non inquilinum. Polemarchum non de civibus, sed de peregrinis judicare. IDEM.

Χλωρὸν τυρὸν] Mala fide Interpres, *ad viridem Tyrum*, quo nihil unquam fuit aut erit putidius. Intelligitur locus, ubi Casei recentes venum prostituebantur. Plura dicturus sum in Lectionibus Lysiacis [c. 12.] TAYLOR.

Πολίτην] Exspectabam δημότην. sed bene habet vulgata. Platæenses ab Atheniensibus civitate Attica fuerant donati. Recte igitur, qui genere Platæensis, civitate Atheniensis esset, is πολίτης Πλαταιεὺς appellabatur, ut Platæensibus reliquis consors civitatis Atticæ. REISK.

Ἀφεστῶτα] Egit ergo Nicomedes in Pancleonem ex titulo ἀποστασίου, ut herus in servum fugitivum. IDEM.

Καὶ τὸν] Excidit nomen. Lege: τόν τε Εὐθύκριτον, ὃν πρῶτον ἠρόμην — καὶ τὸν Νικομήδην, ὃς ἔφη δεσπότης τούτου εἶναι.

ΜΑΡΤΥΡΕΣ.

δ΄. Ἡμέραις τοίνυν μετὰ ταῦτα οὐ πολλαῖς ὕστερον
ἰδὼν ἀγόμενον τουτονὶ Παγκλέωνα ὑπὸ Νικομήδους, ὃς
734 ἐμαρτύρησεν αὐτοῦ δεσπότης εἶναι, προσῆλθον βουλόμενος
εἰδέναι ὁποῖόν τι περὶ αὐτοῦ πραχθήσοιτο. τότε μὲν οὖν
ἐπειδὴ ἐπαύσαντο μαχόμενοι, εἶπόν τινες τῶν τούτῳ παρ-
όντων, ὅτι εἴη αὐτῷ ἀδελφὸς ὃς ἐξαιρήσοιτο αὐτὸν εἰς ἐλευ-
θερίαν· ἐπὶ τούτοις ἐγγυησάμενοι παρέξειν εἰς ἀγορὰν
ᾤχοντο ἀπιόντες. τῇ δ᾽ ὑστεραίᾳ τῆς τε [1] ἀντιγράψεως
735 ἕνεκα ταυτησὶ καὶ αὐτῆς τῆς δίκης ἔδοξέ μοι χρῆναι μάρ-
τυρας λαβόντι παραγενέσθαι, ἵν᾽ εἰδείην τόν τ᾽ ἐξαιρησόμε-
νον αὐτὸν καὶ ὅ τι λέγων ἀφαιρήσοιτο. ἐφ᾽ οἷς μὲν οὖν ἐξηγ-
γυήθη, οὔτε ἀδελφὸς οὔτε ἄλλος οὐδεὶς ἦλθε· γυνὴ δὲ φά-
σκουσα αὑτῆς αὐτὸν εἶναι δοῦλον, ἀμφισβητοῦσα τῷ Νικο-
μήδει, καὶ οὐκ ἔφη ἐάσειν αὐτὸν ἄγειν. ὅσα μὲν οὖν αὐτόθι
ἐρρήθη, πολὺς ἂν εἴη μοι λόγος διηγεῖσθαι· εἰς τοῦτο δὲ
βιαιότητος ἦλθον οἵ τε παρόντες τούτῳ καὶ αὐτὸς οὗτος,
ὥστε ἐθέλοντος μὲν τοῦ Νικομήδους ἐθελούσης δὲ τῆς γυναι-
κὸς ἀφιέναι, εἴ τις [2] εἰς ἐλευθερίαν τοῦτον ἄγοι [3] [ἢ] φάσκων
ἑαυτοῦ δοῦλον εἶναι, τούτων οὐδὲν ποιήσαντες ἀφελόμενοι

[1] ἀντιγραφῆς T. R. A. [2] ἢ εἰς T. R. A. [3] ἢ φάσκοι T. A.

Constabit utique ex sequentibus. Taylor. Bene habet h. l. nil deest. τὸν idem est, atque τοῦτον. Centies articulus præpositivus ὁ pro pronomine οὗτος usurpatur. Reisk.

Ὃς ἐξαιρήσοιτο] Si, qui hoc affirmavit, non ipse frater Pancleonis, sed alius aliquis fuit, bene habet locus, sententiaque hæc est: *esse Pancleoni fratrem, nescio quem, qui eum sit in libertatem vindicaturus.* Sin autem, id quod mihi quidem multo est probabilius, ipse frater hæc dicit *se esse fratrem Pancleonis, et se velle ipsum in libertatem asserere.* tum εἶπέ τις erit leg. et καὶ ὡς ἐξαιρ. Idem.

Ἐπὶ τούτοις] In hanc legem, sub hac conditione, ut frater ille Pancleonis eum liberali manu assereret. Idem.

Παρέξειν εἰς ἀγορὰν, ᾤχοντο ἀπιόντες] Sic in libris Lysiæ vulgatis distinctus est hic locus. Ego vero distinctionem, ut vides, mutavi, quemadmodum Taylor quoque fecerat in Latinis. Atheniensium quotidianum opus atque negotium erat forum adire spectandi et audiendi ergo quæ ibi gererentur. Quæ igitur modo narravit, ea extra forum fuerant acta. Idem.

Ἀντιγραφῆς ἕν. ταυτησὶ] *ob hanc* ἀντιγραφὴν, (v. p. 533. 5.) quæ mihi necessitatem imposuit in Pancleonem agendi. id quod nunc facio. Simul digito demonstrat illam exceptionem Pancleonis in tabula exaratam lignea, in aditu tribunalis suspensa, ut judicibus omnibus in conspectu esset. Idem. Per ἀντιγραφὴ intelligo exceptionem rei, et per δίκη litem actoris. Auger.

Αὐτῆς τῆς δίκης] *ob illam actionem* Nicomedis in Pancleonem, ubi frater producendus erat, vi pacti die ante facti. Sub conditione cujus producendi Nicomedes sponsores acceptaverat de corpore Pancleonis præstando. Reisk.

Γυνὴ δὲ] Sub. ἦλθε. Auger.

Ἄγοι φάσκων] Sic dedi, partim ex Aldina, in qua, ut et in Vindobon. est φάσκαν. Vulgo legitur in libris excusis ἄγοι, ἢ φάσκοι. Verum nemo unquam dixit εἰς ἐλευθερίαν ἄγειν, sed sic dicunt omnes εἰς ἐλευθερίαν ἐξαιρεῖσθαι et εἰς δουλείαν ἄγειν. quare nullus dubito sic leg. esse h. l. ἢ εἰς ἐλευθερίαν τοῦτον ἐξαιροῖτο, ἢ εἰς δουλείαν ἄγοι, φάσκων —. Reisk.

ᾤχοντο. ὡς οὖν τῇ τε προτεραίᾳ ἐπὶ τούτοις ἐξηγγυήθη καὶ τότε βίᾳ ᾤχοντο ἀφελόμενοι αὐτὸν, μάρτυρας παρέξομαι ὑμῖν. καί μοι ἐπίλαβε τὸ ὕδωρ.

[1]ΜΑΡΤΥΡΕΣ.

ῥᾴδιον τοίνυν εἰδέναι ὅτι οὐδ᾽ αὐτὸς Παγκλέων νομίζει 736 ἑαυτὸν μὴ ὅτι Πλαταιέα εἶναι, ἀλλ᾽ οὐδ᾽ ἐλεύθερον. ὅστις γὰρ ἐβουλήθη βίᾳ ἀφαιρεθεὶς ἐνόχους καταστῆσαι τοὺς ἑαυτοῦ ἐπιτηδείους τοῖς βιαίοις, μᾶλλον ἢ κατὰ τοὺς νόμους εἰς τὴν ἐλευθερίαν ἐξαιρεθεὶς δίκην λαβεῖν παρὰ τῶν ἀγόντων αὐτὸν, οὐδενὶ χαλεπὸν γνῶναι ὅτι, εὖ εἰδὼς ἑαυτὸν ὄντα δοῦλον, ἔδεισεν ἐγγυητὰς καταστήσας περὶ τοῦ σώματος ἀγωνίσασθαι.

έ. Ὅτι μὲν οὖν Πλαταιεὺς εἶναι πολλοῦ δεῖ, οἶμαι ὑμᾶς ἐκ τούτων σχεδόν τι γινώσκειν· ὅτι δὲ οὐδ᾽ οὗτος, ὃς ἄριστα οἶδε τὰ αὑτοῦ, ἡγήσατο δόξαι ἂν ὑμῖν εἶναι Πλαταιεὺς, ἐξ ὧν ἔπραξε ῥᾳδίως μαθήσεσθε. ἐν τῇ ἀντωμοσίᾳ γὰρ τῆς δίκης ἣν αὐτῷ ἔλαχεν Ἀριστόδικος οὑτοσὶ, ἀμφισβητῶν μὴ πρὸς τὸν πολέμαρχον εἶναί οἱ τὰς δίκας διεμαρτυρήθη μὴ Πλαταιεὺς εἶναι· [2]ἐπισκηψάμενος δὲ τῷ μάρτυρι οὐκ ἐπεξῆλθεν, ἀλλ᾽ εἴασε καταδικάσασθαι [3]αὐτοῦ 737 τὸν Ἀριστόδικον. ἐπεὶ δὲ ὑπερήμερος ἐγένετο, ἐξέτισε τὴν δίκην, καθότι ἔπειθε. καὶ τούτων, ὡς ἀληθῆ ἐστὶ, μάρτυρας ἐγὼ παρέξομαι ὑμῖν. καί μοι ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΕΣ.

ϛ΄. Πρὶν τοίνυν ταῦτα ὁμολογηθῆναι αὐτῷ, δεδιὼς τὸν

[1] ΜΑΡΤΥΡΕΣ om. T. [2] ἐπιςκεψάμενος T. [3] αὐτὸν T.

Ἐπίλαβε τὸ ὕδωρ. ῥᾴδιον τοίνυν etc.] Hic quoque excidit, post ὕδωρ, vox ΜΑΡΤΥΡΕΣ. quam restituit Stephanus [et Contius]. Markland.

Ἔπραξε] Post ἂν ἔπραξε videtur μετὰ ταῦτα deesse. Reisk.

Ἀμφισβητῶν] Redit, non ad Aristodicum, sed ad Pancleonem, ad quem διεμαρτυρήθη quoque redit. Idem.

Ἐπισκεψάμενος] Ἐπισκέμενος, Ald. Unde semel placuit Stephano ἐπεσκημμένος, uti et Scaligero quoque placuisse video. Lege: ἐπισκηψάμενος. Ἐπεσκήψατο, ἀντὶ τοῦ ἐνεκάλεσε ψευδομαρτυριῶν, Harpocr. Ἐπίσκηψις, εἴ τις τὴν διαμαρτυρίαν ὡς ψευδῆ αἰτιῷτο, Poll. VIII. 6. Ἣν οὐδὲ ψευδομαρτυριῶν θέμις ἐστὶν ἐπισκῆψαι, Æsch. c. Timarch. p. 18. 26. ed. Steph. Taylor. ἐπισκεμμένος vel ἐπισκηψάμενος. Cont.

Καθότι ἔπειθε] Vertit Interpres Brabantus: *transactione, ut commodissime potuit, facta.* Nescio unde: certe non ex Lysiæ verbis. Markland. Mulctam dependit, non quatenus illi a judicibus irrogata fuerat; sed quatenus cum Aristodico deciderat, quem rogarat Pancleo, ut mulctæ partem aliquam sibi remitteret. Reisk.

Ταῦτα ὁμολογηθῆναι] Quæ modo narraverat de Pancleonis cum Aristodico transactione seu decisione. Idem.

Ἀριστόδικον, μεταστὰς ἐντεῦθεν Θήβησι μετῴκει. καίτοι 168. 1
οἶμαι εἰδέναι ὑμᾶς ὅτι, εἴπερ ἦν Πλαταιεὺς, πανταχοῦ μᾶλλον ἢ Θήβησιν [1] εἰκὸς ἦν αὐτὸν μετοικῆσαι. ὡς οὖν [2] ᾤκει [ἐκεῖ] πολὺν χρόνον, τούτων ὑμῖν μάρτυρας παρέξομαι. καί μοι ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΕΣ.

738 ζ΄. Ἐξαρκεῖν μοι νομίζω τὰ εἰρημένα, ὦ ἄνδρες δικασταί· ἐὰν γὰρ διαμνημονεύητε, οἶδ᾽ ὅτι τά τε δίκαια καὶ τἀληθῆ ψηφιεῖσθε, καὶ ἃ ἐγὼ ὑμῶν δέομαι.

[1] ἦν εἰκὸς T. R. A.

[2] ᾤκει πολὺν T. R. μετῴκει πολὺν A.

Ὡς οὖν ᾤκει πολὺν χρόνον etc.] Forte: ᾤκει ἐκεῖ πολὺν χρόνον, scil. *Thebis*. Omissa videtur vox ἐκεῖ propter similitudinem cum præcedente ᾤκει. Demosthenes Orat. in Aristocrat. ἧκε μὲν γὰρ ὁ Θερσαγόρας καὶ ὁ Ἐξήκεστος εἰς Λέσβον, καὶ ᾤκουν ἐκεῖ. Matthæus XII. 45. καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ. Markland. et *in edit. min.* Taylor.

Ἐπίλαβε] Ἐπίβαλε, Ald. Ἀλλ᾽ ἐν τοῖς πρόσθεν γέγραπται τρὶς ἐπίλαβε, ὡς ἔχει καὶ ἐνταῦθα τὸ παλαιὸν ἀντίγραφον. H. Stephan. Simile est mendum apud Isæum in oratione de Pyrrhi hæred. p. 39. 18. ed. Steph. Ἀναγίνωσκε· σὺ δ᾽ ἐπίβαλε τὸ ὕδωρ. Quod tu corrigas. Taylor.

Διαμνημονεύητε] Scil. ταῦτα, τὰ ὑπ᾽ ἐμοῦ εἰρημένα. Reisk.

Οἶδ᾽] Εὖ οἶδ᾽ ὅτι est phrasis familiaris. εὖ autem inter διαμνημονεύητε et οἶδ᾽ situm latuit librarium. Taylor. Pro οἶδ᾽ simplici malim, ut certe usitatius, εὖ οἶδ᾽. Reisk.

ΛΥΣΙΟΥ

ΠΡΟΣ ΤΗΝ ΕΙΣΑΓΓΕΛΙΑΝ

ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΙΔΟΣΘΑΙ ΤΩΙ ΑΔΥΝΑΤΩΙ ΑΡΓΥΡΙΟΝ.

ΥΠΟΘΕΣΙΣ.

Defertur ὁ δεῖνα, quod, cum corpore non esset imbecillis, atque etiam artem calleret
Pag. unde quæstum facere posset, stipendium tamen a civitate collatum eis qui corporis Pag.
ed. debilitate laborabant accepisset. Contra eam delationem arguitur. ed.
H.Steph. Reisk.

168. 11 ά. [1]ΟΥ πολλοῦ δέω [2]χάριν ἔχειν, ὦ βουλή, τῷ κατη- 738
γόρῳ, ὅτι μοι παρεσκεύασε τὸν ἀγῶνα τουτονί. πρότερον 741
[3]γὰρ οὐκ ἔχων πρόφασιν ἐφ᾽ ἧς τοῦ βίου λόγον δοίην, νυνὶ

[1] οὐ om. T. R. A. [2] ὀργὴν A. [3] γὰρ om. T.

ΠΕΡΙ ΤΟΥ ΜΗ — ΑΡΓΥΡΙΟΝ] Περὶ τοῦ Ἀδυνάτου, Harpocrat. in Ἀδύνατος. Περὶ τοῦ διδομένου τοῖς ἀδυνάτοις ὀβόλου, Suid. in Ἀνάπηρον ψυχήν. Vide Gronov. ad Harpocr. in v. et Valesium quoque, Perizon. Respons. ad nuper. notit. de variis Æliani etc. locis p. 31., Meurs. Attic. Lect. VI. 5., Petit. de LL. Attic. p. 558., Herald. Animadv. in Salmas. III. 8. Forte legendum: πρὸς τ. εἰσαγ. περὶ τοῦ διδόσθαι τῷ μὴ ἀδυνάτῳ ἀργύριον. Gravissimum istud Atheniensium institutum, de quo hic agitur, memorant bene multi: ad locum Æschinis c. Timarch. p. 14. 40. ed. Steph. ἐν τοῖς ἀδυνάτοις μισθοφοροῦντα hæc habet, quæ non inutiliter hic subjiciantur, σχστης ineditus: Ἀντὶ τοῦ μισθὸν λαμβάνοντα ἐν τῷ καταλόγῳ τῶν λελωβημένων, καὶ ἀδυνάτως ἐχόντων. Νόμος γὰρ ἦν Σόλωνος κελεύων τοὺς τοιούτους ἐκ τοῦ δημοσίου τρέφεσθαι. ΑΛΛΩΣ. Κατὰ μῆνα ἐν τῷ δήμῳ (F. ἐκ τοῦ δημοσίου) ἐδίδοτο τοῖς ἀδυνάτοις πολίταις μισθός. ἀδυνάτους δὲ λέγουσιν πάντας τοὺς ὁπωσδηποτεοῦν ἠχρειωμένους πρὸς ἐπικουρίαν ἑαυτῶν, οἷον τοὺς τυφλούς. ΑΛΛΩΣ. Τοῖς ἀδύνατα σώματα ἔχουσιν ἐχορηγεῖτο ἑκάστης ἡμέρας τριώβολον εἰς τροφὴν ἐκ τοῦ δημοσίου. Et videtur antiquitus huic reipublicæ fuisse peculiare. Μόνοι δ᾽ ἁπάντων ἀνθρώπων τρία ταῦτ᾽ ἐνομίσατε· τῶν μὲν ὑπὲρ τῆς πόλεως τελευτησάντων, αὐτῶν μὲν ἐπαίνους ἐπὶ ταῖς ταφαῖς καθ᾽ ἕκαστον ἔτος λέγειν· τοὺς δὲ παῖδας δημοσίᾳ τρέφειν ἄχρις ἥβης — τοὺς δ᾽ ἀδυνάτους τῶν πολιτῶν δημοσίᾳ τρέφειν. Aristid. Panathen. Recte hic addo, quæ de hac re tradit Lexicon ineditum in biblioth. Coisl. quum quod ceteris expressius sit paulo, tum quod eisdem emendata lectione antecellat. Ἀδύνατοι, οἱ μέρος τι βεβλαμμένοι τοῦ σώματος, ὡς μηδὲ ἐργάζεσθαι· οἳ καὶ ἐχορηγοῦντο τὰ πρὸς τὸ ζῆν παρὰ τῆς πόλεως, μισθοφορούντων αὐτῶν τῶν ἐντὸς τριῶν μνῶν περιουσίαν κεκτημένων, ἐδοκιμάζοντο δὲ οἱ ἀδύνατοι ὑπὸ τῆς τῶν φ'. βουλῆς, καὶ ἐλάμβανον τῆς ἡμέρας, ὡς μὲν Λυσίας, ὀβολὸν ἕνα, ὡς δὲ Φιλόχορος, έ. Ἀριστοτέλης δὲ β'. ἔφη. Montefalc. Biblioth. Coislin. p. 603. Taylor.

Πολλοῦ δέω] Ὀλίγου δέω. Cont. Quæ lectio probatissima est. Auger. Si mentem auctoris assequar, ait Reus, se *plurimam gratiam debere* Accusatori, quod hanc contentionem ipsi comparaverit. Nam cum nullam unquam nactus sit occasionem exponendi suæ vitæ rationes et instituta, quam se transegisse ad laudem confirmat, hodie ejus opera hujusmodi quem exspectavit, quem flagitavit, dicendi loco utatur. Sed profecto Πολλοῦ δέω et Πολλοῦ δεῖ etc. tam est huic sententiæ adversum, quam quod maxime. Πολλοῦ ἐδέησε κριθῆναι, καὶ ἀπολογήσασθαι. N. c. Eratosth. Tam longe abfuit, ut causam dicere liceret. Τοσούτου ἐδέ-

διὰ τοῦτον εἴληφα. καὶ πειράσομαι τῷ λόγῳ τοῦτον μὲν ἐπιδεῖξαι ψευδόμενον, ἐμαυτὸν δὲ βεβιωκότα μέχρι τῆσδε τῆς ἡμέρας ἐπαίνου μᾶλλον ἄξιον ἢ φθόνου. διὰ γὰρ οὐδὲν ἄλλο μοι δοκεῖ παρασκευάσαι τόνδε μοι τὸν κίνδυνον οὗτος ἢ διὰ φθόνον. καίτοι ὅστις τούτοις φθονεῖ οὓς οἱ ἄλλοι ἐλεοῦσι, τίνος ἂν ὑμῖν ὁ τοιοῦτος ἀποσχέσθαι δοκεῖ πονηρίας; εἰ μὲν γὰρ ἕνεκα χρημάτων, [1] συκοφαντεῖ· εἰ δ' ὡς ἐχθρὸν ἑαυτοῦ με τιμωρεῖται, ψεύδεται· διὰ γὰρ τὴν πονηρίαν αὐτοῦ οὔτε φίλῳ οὔτε ἐχθρῷ πώποτε ἐχρησάμην αὐτῷ. [2] ἤδη τοίνυν, ὦ βουλή, δῆλός ἐστι φθονῶν, ὅτι τοιαύτῃ κεχρημένος συμφορᾷ τούτου βελτίων εἰμὶ πολίτης. καὶ γὰρ οἶμαι δεῖν, ὦ βουλή, τὰ τοῦ σώματος δυστυχήματα τοῖς τῆς ψυχῆς
742 ἐπιτηδεύμασιν [3] ἰᾶσθαι καλῶς. εἰ γὰρ ἐξ ἴσου τῇ συμφορᾷ καὶ τὴν διάνοιαν ἕξω καὶ τὸν ἄλλον βίον διάξω, τί τούτου διοίσω;

[1] συκοφαντεῖ με· T. [2] ἢ δὴ R. [3] ἰᾶσθαι. καλῶς. R. A.

ησεν αὐτῷ μεταμελῆσαι — ὥστε. *tantum abfuit, ut eum pœniteret* etc. N. c. Simonem. Ἐγὼ δὲ τοσούτου δέω — ἱκανὸς εἶναι λέγειν — ὥστε δέδοικα κ. τ. λ. N. ineunte orat. περὶ δημοσ. χρημάτ. Τοσούτου γε ἔδει ἐπαγγέλλεσθαι, ὥστ' οὐδ' εἰδέναι φησὶ, τί ἂν ποιῶν ἡμῖν χαρίσαιτο. Demosth. π. παραπρεσβ. Ἵν' εἰδῆτε πολλοῦ δεῖν ἄξιον ὄντα τυχεῖν τοῦ ψηφίσματος αὐτὸν τουτουΐ. Id. c. Aristocr. Ὀλίγου δὲ δέω λέγειν. *parum abest, quin dicam.* Id. de Rhodiorum libertat. Δεῖ ἀντὶ τοῦ λείπεται, οἷον Πολλοῦ γε καὶ δεῖ, ὅπερ καὶ πρῶτον ἔχει πρόσωπον, τὸ δέω, τὸ λείπομαι, ὡς παρὰ Συνεσίῳ, Μικροῦ δέω λέγειν ἐν ὁμοτίμοις ἀγόμενος. Moschop. π. σχεδ. p. 123. Si igitur liceret uti τῷ δέω in prima persona, cum notionem habeat τοῦ χρεία ἐστὶν æque ac ubi τοῦ λείπεται, quod tamen magistelluli videntur mihi invidere, legerem hoc pacto, sc. πολλὴν δέω χάριν ἔχειν, ὦ βουλὴ, τῷ κατηγόρῳ. Quod si ejusmodi usus τοῦ δέω mihi denegetur, ita accipiendus est sensus auctoris: *Plurimum abest, ut gratias dignas accusatori referre possem.* Sed istud duriuscule, cum χάριν ἔχειν non tam videtur dici de *gratiis actis,* sed de animo *ad agendas proclivi* et præparato. Proinde uti distinguuntur Gratias *habere* et *agere* apud Latinos. Taylor. F. οὐ πολλοῦ δέω, vel Πολλοῦ οὐ δέω. In priorem positionem magis inclino, quia sæpe initio scriptorum aliquod damnum passa fuisse comperimus. Quam facile οὐ periit in principio orationis. Ut δέω pro *debeo* in prima persona accipiam, et legam πολλὴν δέω χάριν ἔχειν, a me non impetro. Nam Grammatici et usus uno ore docent δεῖ pro πρέπει vel χρεία ἐστὶ neque primam neque secundam habere personam, uti inter alios Schol. Theocr. Γ. 52. a quorum canonibus religioni est recedere. *In Char. Aphrod.* l. VII. c. 1. p. 586. D'Orville. Si nihil hic deest, videtur ὀργὴν leg. esse pro χάριν. *multum abest, ut irascar.* Verum credibilius est nonnihil hic deesse, ad hunc ferme modum: πολλοῦ δέω τούτῳ μέμφεσθαι, μᾶλλον δὲ καὶ ὁμολογῶ πολλὴν χάριν ἔχειν. *non tantum nil queror de accusatore, sed etiam magnas ei gratias habeo.* Reisk.

Πρότερον οὐκ ἔχων πρόφασιν etc.] Legendum puto: πρότερον γὰρ οὐκ ἔχων πρόφασιν. Hujus vero Orationis meminit Harpocration, V. ἀδύνατοι: ubi pro περὶ τοῦ ἀδυνάτου, forte legendum ὑπέρ. Markland.

Βεβιωκότα] Βίον βεβιωκότα. Cont. Quod velim et ego addidisse. Auger.

Ἄξιον] Malim aut ἀξίως aut ἄξια. Reisk. Potest accipi adverbialiter pro ἀξίως, malim tamen legi ἀξίως. Auger.

Ἢ δὴ τοίνυν] Sic de meo dedi, pro vulgari ἤδη τοίνυν. *ecqua tandem ratione?* Reisk.

Ἐπιτηδεύμασιν ἰᾶσθαι καλῶς] Scribe: καλοῖς. Lucianus Abdic. p. 710. περὶ τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων ἐσπουδακότα. Xenophon Cyrop. lib. VII. ad fin. ἐν δὲ καλοῖς κἀγαθοῖς ἐπιτηδεύμασι διημερεύοντες. Eadem τὰ χρηστὰ ἐπιτηδεύματα vocat Noster Orat. XXXI.

β'. Περὶ μὲν οὖν τούτων τοσαῦτά μοι εἰρήσθω· ὑπὲρ ὧν
δέ μοι προσήκει λέγειν, ὡς ἂν οἷόν τε διὰ βραχυτάτων ἐρῶ.
φησὶ γὰρ ὁ κατήγορος οὐ δικαίως με λαμβάνειν τὸ παρὰ
τῆς πόλεως ἀργύριον· καὶ γὰρ τῷ σώματι δύνασθαι καὶ
οὐκ εἶναι τῶν ἀδυνάτων, καὶ τέχνην ἐπίστασθαι τοιαύτην 743
ὥστε καὶ ἄνευ τοῦ διδομένου τούτου ζῆν. καὶ τεκμηρίοις
χρῆται τῆς μὲν τοῦ σώματος ῥώμης, ὅτι ἐπὶ τοὺς ἵππους
ἀναβαίνω, τῆς δ' ἐν τῇ τέχνῃ εὐπορίας, ὅτι δύναμαι συνεῖναι
δυναμένοις ἀνθρώποις ἀναλίσκειν. τὴν μὲν οὖν ἐκ τῆς τέχνης
εὐπορίαν καὶ τὸν ἄλλον τὸν ἐμὸν βίον, οἷος [1] τυγχάνει
[2] [ὤν], πάντας ὑμᾶς οἴομαι γινώσκειν· ὅμως δὲ κἀγὼ διὰ
βραχέων ἐρῶ. ἐμοὶ γὰρ ὁ μὲν πατὴρ κατέλιπεν οὐδέν, τὴν
δὲ μητέρα τελευτήσασαν πέπαυμαι τρέφων τρίτον ἔτος
Δεῖσθαι ὡς χρὴ] Pro postremo vocabulo malim χρηστοῦ legi. rogare eum, ut virum bonum et honestum, docilem, æquum, et boni publici studiosum. IDEM.

Ζητήσουσιν] Π. πεῖσαι ζητήσουσιν. H. STEPHAN. Quod verissimum arbitror. MARKLAND. πείθειν ζητήσουσιν, vel αἰτήσουσιν. CONT.

Ὥσπερ ἂν τούτους ὁρᾶτε] Aut ὥσπερ αὐτοὺς leg. videtur, aut ὥσπερ νῦν τούτους ὁρᾶτε. REISK. Contius ejicit ἂν, quod a me forsan ejiciendum fuit, vel mutandum in νῦν. AUGER.

τούτοις πρώτοις ἄνδρες ἀμείνους δόξετε εἶναι, ἐπὰν παρὰ τῶν ἀδικούντων δίκην λαμβάνητε. ἐνθυμεῖσθε δὲ ὅτι οὔτε Νικόμαχος οὔτε τῶν αἰτησομένων οὐδεὶς τοσαῦτα ἀγαθὰ πεποίηκε τὴν πόλιν, ὅσα οὗτος ἠδίκηκεν, ὥστε πολὺ μᾶλλον ὑμῖν προσήκει τιμωρεῖσθαι ἢ τούτοις βοηθεῖν. εὖ δ' εἰδέναι χρὴ τοὺς αὐτοὺς τούτους, ὅτι πολλὰ δεηθέντες τῶν κατηγόρων ἡμᾶς μὲν οὐδαμῶς ἔπεισαν, τὴν δὲ ὑμετέραν ψῆφον καταπειράσοντες εἰσεληλύθασιν εἰς τὸ δικαστήριον, καὶ ἐλπίζουσιν ὑμᾶς ἐξαπατήσαντες ἄδειαν εἰς τὸν λοιπὸν χρό-
868 νον λήψεσθαι τοῦ ποιεῖν ὅ τι ἂν βούλωνται. ἡμεῖς μὲν [1] οὖν οὐκ ἠθελήσαμεν ὑπὸ τούτων ἀξιούμενοι πεισθῆναι, τὸ δὲ αὐτὸ τοῦτο παρακαλοῦμεν, μὴ πρὸ τῆς κρίσεως μισοπονηρεῖν, ἀλλ' ἐν τῇ κρίσει τιμωρεῖσθαι τοὺς τὴν [2] ὑμετέραν νομοθεσίαν ἀφανίζοντας· οὕτω γὰρ ἐννόμως διοικηθήσεται τὰ κατὰ τὴν πολιτείαν [3] ἅπαντα.

[1] τοίνυν T. R. A. [2] ἡμετέραν νουθεσίαν T. [3] πάντα T.

'Επὰν παρὰ τῶν] 'Εὰν παρὰ τῶν. Cont.

'Υπὸ τούτων ἀξιούμενοι πεισθῆναι] Mendosam puto vocem penultimam. Forte: ὑπὸ τούτων αἰτουμένων. *ab his rogantibus.* supra meminit τῶν αἰτησομένων, et modo dixerat: *multis precibus orantes, nos accusatores non valuerunt flectere.* Markland. Bene habet ἀξιούμενοι, *rogati.* Vindicavit hoc vocabulum quoque Koen ad Corinthium, p. 68. Reisk.

Τὸ δὲ αὐτὸ τοῦτο παρακαλοῦμεν, μὴ πρὸ τῆς κρίσεως etc.] Præcedentia verba sunt: ἡμεῖς μὲν τοίνυν οὐκ ἠθελήσαμεν ὑπὸ τούτων πεισθῆναι. nos *igitur ab his noluimus exorari.* vix fieri potuit, quin sequeretur: *ad hoc ipsum* vos quoque *hortamur,* τὸ δὲ αὐτὸ τοῦτο καὶ ὑμᾶς παρακαλοῦμεν· καὶ μὴ πρὸ τῆς κρίσεως μισοπονηρεῖν, ἀλλ' ἐν τῇ κρίσει etc. *neque ut ante judicium improbos odio habeatis; sed in judicio* etc. Markland.

Νουθεσίαν] F. νομοθεσίαν. Imo omnino. Nam si figurative *admonitionem* pro legislatione dici velis, utique dixisset auctor νουθέτησιν. T. Magister, Νουθέτησις, οὐ νουθεσία. Taylor. Scribo: τὴν ὑμετέραν νομοθεσίαν ἀφανίζοντας: *sed in judicio punire hos, qui vestram legislationem* (vel, *vestrum jus ferendi leges*) *abolent.* quia, ut supra dixit, *Nicomachus, pro Solone, legislatorem seipsum constituit.* Markland. Dictio τὴν νομοθεσίαν ἀφανίζειν significat, turpissima cum levitate atque cupiditate, et impietate adeo, contemptuque jurium omnium et humanorum et divinorum, in conscriptione legum, quæ res est sanctissima et religiosissime tractanda, versari. Reisk.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΦΙΛΩΝΟΣ

ΔΟΚΙΜΑΣΙΑΣ.

ΥΠΟΘΕΣΙΣ.

Philo in Civium dissensione, quo tempore οἱ xxx ab Exsulibus debellarentur, neutri parti se addixit. Recuperata rep. Senatoris munus ambivit, cum de istiusmodi hominibus longe aliter statuerat Solo, quin etiam qui in seditionibus alterutrius partis non essent, ignominia notarat; de qua constitutione Attica disputat Gellius II. 12.

Pag. ed. H.Steph. | Pag. ed. Reisk.

186. 39 α΄. ΩΙΜΗΝ μὲν, ὦ βουλὴ, οὐκ ἄν ποτ᾽ εἰς τοῦτο τόλ- 869
μης Φίλωνα ἀφικέσθαι, ὥστε ἐθελῆσαι ὡς ὑμᾶς ἐλθεῖν δοκι-
μασθησόμενον· ἐπειδὴ δὲ οὐχ ἕν τι μόνον ἀλλὰ πολλὰ τολ-
μηρός ἐστιν, ἐγὼ δὲ ὀμόσας εἰσῆλθον εἰς τὸ [1] βουλευτήριον
τὰ βέλτιστα συμβουλεύσειν τῇ πόλει, ἔνεστι δὲ ἐν τῷ ὅρκῳ
ἀποφαίνειν Εἴ τίς τινα οἶδε τῶν λαχόντων ἀνεπιτήδειον ὄντα
187. 1 βουλεύειν, ἐγὼ τὴν κατὰ τουτουῒ Φίλωνος ποιήσομαι κατ-
ηγορίαν, οὐ μέντοιγε ἰδίαν ἔχθραν οὐδεμίαν μεταπορευόμε- 870
νος, οὐδὲ τῷ δύνασθαι καὶ εἰωθέναι λέγειν ἐν ὑμῖν ἐπαρθεὶς, ἀλλὰ τῷ πλήθει τῶν ἁμαρτημάτων αὐτοῦ πιστεύων, καὶ τοῖς ὅρκοις οἷς ὤμοσα ἐμμένειν ἀξιῶν. γνώσεσθε μὲν οὖν ὅτι οὐκ ἀπὸ ἴσης παρασκευῆς [2] ἐγώ τε τοῦτον ἐλέγξω οἷός ἐστι, καὶ οὗτος ἐπεχείρησε πονηρὸς εἶναι· ὅμως εἴ τι ἐγὼ ἐλλείποιμι τῷ λόγῳ τῆς κατηγορίας, οὐκ ἂν δίκαιος εἴη οὗτος διὰ τοῦτο ὠφεληθῆναι, ἀλλὰ μᾶλλον, [3] εἴ τι ἱκανῶς διδάξαιμι,

[1] δικαστήριον T. R. A. [2] ἔγωγε τοῦτον T. [3] ὅτι T. A. ὅ τι R.

Ἓν—πολλὰ] Subaudi κατά. AUGER.

Δικαστήριον] Dedi ex mente Bekkeri βουλευτήριον.

Ἔγωγε τοῦτον etc.] Lysiam puto scripsisse: ἐγώ τε τοῦτον—καὶ οὗτος etc. MARKLAND.

Ὅμως εἴ τι ἐγὼ ἐλλείποιμι τῷ λόγῳ τῆς κατηγορίας, etc.] Mallem: ὅμως δὲ, εἴ τι ἐγὼ ἐλλείποιμι τοῦ λόγου etc. Sic Orat. II. ἐλλείπειν τῶν ἀνδρῶν. *inferiores esse viris.* Deinde, pro δικαίως recte Stephanus δίκαιος. IDEM.

Ὅτι ἱκανῶς] Melius abunde εἴ τι. εἴτε ἐγὼ ἐλλείποιμι — εἴ τι ἱκανῶς διδάξαιμι. Nam ineunte accusatione, neutrum adhuc constare poterat. Isocrates de permutat. Ἵν᾽ ἣν μὲν ἱκανῶς δόξω λέγειν, ἔνοχος ἂν φαίνομαι (f. φαίνωμαι) τοῖς ὑπὸ τούτου περὶ

ἐκ τούτων ἀποδοκιμασθῆναι. ἐνδεῶς μὲν γὰρ διὰ τὴν ἀπει-
871 ρίαν πάντων τῶν τούτῳ πεπραγμένων, ἱκανῶς δὲ διὰ τὴν
περὶ αὐτὸν κακίαν, εἰρηκὼς ἂν εἴην. ἀξιῶ δὲ καὶ ὑμῶν, οἵτι-
νες δυνατώτεροι ἐμοῦ εἰσὶ, λόγῳ ἀποφῆναι μείζω ὄντα αὐτοῦ
τὰ ἁμαρτήματα, καὶ ἐξ ὧν ἂν ἐγὼ ὑπολίπωμαι, πάλιν
αὐτοὺς περὶ ὧν ἴσασι κατηγορῆσαι Φίλωνος· οὐ γὰρ ἐκ
τῶν ὑπ' ἐμοῦ λεγομένων δεῖ ὑμᾶς περὶ αὐτοῦ ὁποῖός ἐστι
σκέψασθαι.

ϛ'. Ἐγὼ γὰρ οὐκ ἄλλους τινὰς φημὶ δίκαιον εἶναι βου-
λεύειν περὶ ἡμῶν, ἢ τοὺς πρὸς τῷ εἶναι πολίτας καὶ ἐπιθυ-
872 μοῦντας τούτου. τούτοις μὲν γὰρ μεγάλα τὰ διαφέροντά
ἐστιν εὖ τε πράττειν τὴν πόλιν τήνδε καὶ ἀνεπιτηδείως, διὰ
τὸ ἀναγκαῖον σφίσιν αὐτοῖς ἡγεῖσθαι εἶναι μετέχειν τὸ μέρος
τῶν δεινῶν, ὥσπερ καὶ τῶν ἀγαθῶν μετέχουσιν. [1]ὅσοι δὲ
φύσει μὲν πολῖταί εἰσι, γνώμῃ δὲ χρῶνται ὡς πᾶσα γῆ
πατρὶς αὐτοῖς ἐστὶν ἐν ᾗ ἂν τὰ ἐπιτήδεια ἔχωσιν, οὗτοι
δῆλοί εἰσιν ὅτι ἂν παρέντες τὸ τῆς πόλεως κοινὸν ἀγαθὸν

[1] καὶ γὰρ οἳ φύσει T. R. A.

τῆς δεινότητος τῆς ἐμῆς προειρημένοις· ἣν δὲ ἐνδεέστερον τύχω διαλεχθεὶς, ὧν οὗτος ὑμᾶς προσδοκᾶν πεποίηκε, τὰς πράξεις ἡγήσησθέ μου χείρους εἶναι. Taylor. Forte, ὅ, τι (vel εἴ τι, ut ante) ἱκανῶς etc. et ἐκ τούτου pro τούτων: ut supra διὰ τοῦτο dixit, non ταῦτα. *sed potius rejici merebitur ex isto, quod ego sufficienter probavero.* Ὅ, τι divisim, ut infra, ubi idem mendum bis. Markland. Quia ὅ, τι quasi multitudinem quandam rerum complectitur, ideo possit τούτων defendi, quamquam τούτου singularis utique magis conveniret. Reisk.

Ἀξιῶ δὲ etc.] Distingue: ἀξιῶ δὲ καὶ ὑμῶν, οἵτινες δυνατώτεροι ἐμοῦ εἰσὶ λόγῳ, ἀποφῆναι etc. id est, τινὰς ὑμῶν, vel τούτους ὑμῶν, οἵτινες etc. Δυνατώτεροι λόγῳ, quos δυναμένους λέγειν vocat Orat. XXVII. et XXX. Ita Moses ἦν δυνατὸς ἐν λόγοις, Act. VII. 22. et ita forte intelligendum istud cap. XXV. 5. οἱ οὖν δυνατοὶ ἐν ὑμῖν (scil. κατηγορεῖν) κατηγορείτωσαν αὐτοῦ. *accusent illic*, Cæsareæ. Markland. Λόγῳ cohæret cum ἀποφῆναι, non cum δυνατώτεροι. Nam si cum hoc cohærere deberet, non λόγῳ conveniret, sed λέγειν. Reisk.

Ἐγὼ γὰρ] Credibile est nonnulla deesse ante has voces. Taylor. Nihil hic deest. γὰρ orditur tractationem argumenti, et significat aut *nempe*, *scilicet*, aut *igitur*. Superiora veluti præfatio quædam sϲ̃nt. Reisk.

Ἐπιθυμοῦντας τούτου] Cujus? nihil enim præcessit, ad quod vox τούτου commode referri potest. Conjicio: ἐπιθυμοῦντας τοῦ ἴσου. *æqualitatis cupidos*, id est, non solum ferentes, sed cupientes etiam æquo jure esse cum reliquis civibus; et, ut bonorum, ita malorum quoque Reipub. participes esse, ὁμοίως τοῖς ἄλλοις πολίταις κινδυνεύοντας: contra quam fecit hic Philo, qui duris temporibus patriam deseruit et aufugit. vide sequentia, quæ hunc sensum explicant. Noster Orat. II. οὐ τοῖς ὀλίγοις τοὺς πολλοὺς δουλεύειν ἀξιώσαντες, ἀλλὰ τὸ ἴσον ἔχειν ἅπαντας ἀναγκάσαντες. Ælianus V. H. II. 42. ἤρετο μέντοι τοὺς ἥκοντας, πῶς ἔχουσι πρὸς τὸ ἴσον ἔχειν ἅπαντας. ut recte emendavit Perizonius, pro ἅπαντες. loquitur de Platone, cui Legatos misere Thebani et Arcades, orantes, ut Leges iis scriberet. ἰσονομίαν mox appellat hoc τὸ ἴσον ἔχειν. Max. Tyrius Dissert. IV. ὁ μὲν φίλος ὀρέγεται τοῦ ἴσου, ὁ δὲ κόλαξ τοῦ ἰδίου. Markland. Intellige τούτου, εἶναι πολίτας, eos qui non modo sunt cives, sed qui hoc civium nomen habent carissimum. Auger.

Τὸ μέρος] Sub. κατά. Idem.

Οὗτοι δῆλοί εἰσιν κ. τ. λ.]. Fortasse legendum mecum hoc pacto: οὗτοι δῆλοί

ἐπὶ τὸ ἑαυτῶν ἴδιον κέρδος ἔλθοιεν, διὰ τὸ μὴ τὴν πόλιν ἀλλὰ τὴν οὐσίαν πατρίδα [1] ἑαυτοῖς ἡγεῖσθαι. ἐγὼ τοίνυν ἀποφανῶ Φίλωνα τουτονὶ περὶ πλείονος ποιησάμενον τὴν ἰδίαν ἀσφάλειαν ἢ τὸν κοινὸν τῆς πόλεως κίνδυνον, καὶ ἡγησάμενον κρεῖττον εἶναι αὐτὸν ἀκινδύνως τὸν βίον διάγειν ἢ τὴν πόλιν 873
σώζειν ὁμοίως τοῖς ἄλλοις πολίταις κινδυνεύοντα. οὗτος γὰρ, ὦ βουλὴ, ὅτε ἡ συμφορὰ τῇ πόλει ἦν — ἧς ἐγὼ, καθ᾽ ὅσον ἀναγκάζομαι, κατὰ [2] τοσοῦτον μέμνημαι —, ἐκκεκηρυγμένος ἐκ τοῦ ἄστεος ὑπὸ τῶν Τριάκοντα μετὰ τοῦ ἄλλου πλήθους τῶν πολιτῶν τέως μὲν ᾤκει ἐν ἀγρῷ, ἐπειδὴ δὲ οἱ ἀπὸ Φυλῆς κατῆλθον εἰς τὸν Πειραιᾶ, καὶ οὐ μόνον οἱ ἐκ τῶν ἀγρῶν ἀλλὰ καὶ οἱ ἐκ τῆς ὑπερορίας οἱ μὲν εἰς τὸ ἄστυ οἱ δ᾽ εἰς τὸν Πειραιᾶ συνελέγοντο, καὶ καθ᾽ ὅσον ἕκαστος οἷός τ᾽ ἦν, κατὰ τοσοῦτον ἐβοήθει τῇ πατρίδι, [3] τἀναντία ἅπασι τοῖς ἄλλοις πολίταις ἐποίησε· συσκευασάμενος γὰρ τὰ ἑαυτοῦ ἐνθάδε εἰς τὴν ὑπερορίαν ἐξῴκησε, καὶ ἐν Ὠρωπῷ μετοίκιον κατατιθεὶς ἐπὶ προστάτου ᾤκει, βουληθεὶς παρ᾽ 874
ἐκείνοις μετοικεῖν μᾶλλον ἢ μεθ᾽ ἡμῶν πολίτης εἶναι. οὐ τοίνυν οὐδ᾽ ὥσπερ ἔνιοί τινες τῶν πολιτῶν μετεβάλοντο, ἐπειδὴ ἑώρων τοὺς ἀπὸ Φυλῆς ἐν οἷς ἔπραττον εὐτυχοῦντας, οὐδὲ τούτων τι τῶν εὐτυχημάτων ἠξίωσε μετασχεῖν, ἐπὶ [4] κατειργασμένοις μᾶλλον ἐλθεῖν βουλόμενος ἢ συγκατελθεῖν

[1] αὐτοῖς T. R. A. [2] τοῦτο T. R. τοσοῦτο A. [3] τὰ ἐναντία T. R. A. [4] κατεργασαμένῳ T.

εἰσιν ὅ, τι παρέντες τὸ τῆς πόλεως κοινὸν ἀγαθὸν, ἂν ἐπὶ τὸ ἑαυτῶν ἴδιον κέρδος ἔλθοιεν. Taylor. Bene habet hic locus. idem est, ac si dixisset: περὶ τούτων δῆλον ἐστὶν, ὅτι —. Reisk.

Αὐτὸν ἀκινδύνους] Scribe: αὐτόν. se. Markland.

Τοῦτο μέμνημαι] Num τοσοῦτο. sic certe requirit præcedens ὅσον. et sic paulo post quoque: καθ᾽ ὅσον ἕκαστος οἷός τ᾽ ἦν, κατὰ τοσοῦτον ἐβοήθει. Reisk.

Ἐν ἀγορᾷ] Lepide sane. Exsul, atque infensissimis sicariis rempublicam gerentibus, commodius et tutius domicilium eligere non potuit, quam in foro, in acie atque in ipso lumine istius reipublicæ! In maxima sc. hominum frequentia! Nam in orat. περὶ τοῦ διδόσθαι etc. legitur: Ἕκαστος γὰρ ὑμῶν εἴθισται προσφοιτᾶν, ὁ μὲν πρὸς μυροπώλειον· οἱ δὲ πρὸς κουρεῖον· ὁ δὲ πρὸς σκυτοτομεῖον — καὶ πλεῖστοι μὲν, ὡς ἐγγυτάτω τῆς ἀγορᾶς κατῳκισμένους, ἐλάχιστοι δὲ ὡς τοὺς πλεῖστον ἀπέχοντας αὐτῆς. Neque ubi convenitur solum, sed ubi judicatur maxime. N. de Aristoph. fortun. ἐγγύς τε οἰκῶν τῆς ἀγορᾶς, οὐδὲ πρὸς δικαστηρίῳ οὐδὲ πρὸς βουλευτηρίῳ ὤφθην οὐδεπώποτε. Sed tædet immorari. Jubet locus, ut restituamus ἐν ἀγρῷ. Et restitui, auctore etiam Cod. Coisliniano. Taylor.

Ἐπὶ κατεργασαμένῳ] Ἐπὶ κατεργασαμένων. Cont. Norunt Grammatici, quam raro hic Aoristus passive exponatur: in verbis profecto, quæ activa forma destituuntur, equidem haud scio an unquam. V. σχ. Thucyd. VI. 11. 33. Suid. et Phavorin. in Κατειργάσατο et Κατεργάσασθαι. Hic certe, levissima mutatione, si per Codd. licuerit, reponerem κατειργασμένῳ. Ita fere Pausan. Attic. c. 33. καταφρονήσαντες γὰρ σφίσιν ἐμποδὼν εἶναι Ἀθήνας ἑλεῖν. λίθον Πάριον, ὡς ἐπ᾽ ἐξειργασμένοις ἦγον εἰς τροπαίου ποίησιν. He-

[1]κατεργασάμενός τι τῶν τῇ κοινῇ πολιτείᾳ συμφερόντων.
875 οὐδ᾽ ἦλθεν εἰς τὸν Πειραιᾶ, οὐδ᾽ ἔστιν ὅπου ἑαυτὸν ὑμῖν τάξαι
[2]παρέσχε. [3]καίτοι ὅστις εὐτυχοῦντας ὁρῶν ὑμᾶς ἐτόλμα
προδιδόναι, τί ποτε ὡς μὴ βουλόμεθά γε πράττοντας
ἐποίησεν ἄν;

γ΄. Ὅσοι μὲν τοίνυν διὰ συμφορὰς ἰδίας οὐ μετέσχον
τῶν τότε γενομένων τῇ πόλει κινδύνων, συγγνώμης τινὸς
ἄξιοί εἰσι τυχεῖν — οὐδενὶ γὰρ οὐδὲν ἑκούσιον δυστύχημα
γίγνεται —, ὅσοι δὲ τοῦτο γνώμῃ ἔπραξαν, οὐδεμιᾶς συγ-
γνώμης ἄξιοί εἰσιν· οὐ γὰρ διὰ δυστυχίαν ἀλλὰ δι᾽ ἐπι-
βουλὴν ἐποίησαν αὐτό. καθέστηκε δέ τι ἔθος δίκαιον πᾶσιν
876 ἀνθρώποις τῶν αὐτῶν ἀδικημάτων μάλιστα ὀργίζεσθαι
τοῖς μάλιστα δυναμένοις [4]μὴ ἀδικεῖν, τοῖς δὲ πένησιν ἢ

[1] κατεργασόμενός A. [2] παρασχεῖν T. [3] καὶ γὰρ T. R. [4] μὴ om. T.

rodot. Uran. 94. Οὕτω δὴ ἀποστρέψαντα τὴν νῆα αὐτόν τε καὶ τοὺς ἄλλους ἐπ᾽ ἐξειργασμένοισι ἐλθεῖν εἰς τὸ στρατόπεδον. Taylor. Dedi de meo ἐπὶ κατειργασμένοις. quæ est nota dictio proverbialis, de illis usurpata, qui cum sero veniant, re ab aliis jam peracta, gloriam tamen ejus ad se trahere contendant, quasi ipsi peregissent. Reisk.

Κατεργασάμενος] Vir summus legit κατεργασόμενος. Taylor. Lege: κατεργασόμενός τι. *volens redire re jam confecta, potius quam confecturus aliquid reipub. utile unacum cæteris civibus descendere.* Mox, pro παρασχεῖν, recte legit Stephanus παρέσχε: quod Lycurgus effert: μήτε τὸ σῶμα παρασχόντα τάξαι τοῖς στρατηγοῖς. Noster: οὐδὲ παρῆν μετὰ τῶν ἄλλων ἑαυτὸν τάξας. Orat. XIV. Markland. Ego malim sic legi: ἢ κατελθεῖν συγκατεργασάμενος. *quam in patriam redire, re bene gesta in aliorum eandem rem gerentium societate.* Reisk.

Οὐδ᾽ ἦλθεν] Leg. videtur aut ὁ δὲ οὐδ᾽ ἦλθεν, aut ἀλλ᾽ οὐδ᾽ ἦλθεν. *verum ne in Piræeum quidem venit.* Idem.

Τάξαι] Τάξας χρήσιμον. Cont.

Παρασχεῖν] Π. παρέσχε. H. Stephan. Scal. Cont.

Ὑμᾶς] Melius sane ἡμᾶς, propter istud βουλόμεθα, quod sequitur a tergo. Taylor.

Ὡς μὴ βουλόμεθά γε πράττοντας] Scribe: ὡς μὴ ἠβουλόμεθα, vel ἐβουλόμεθα. *aliter quam voluissemus.* De præteritis enim sermo est. Markland.

Δι᾽ ἐπιβουλὴν] Dubitavi aliquando utrum sincera sunt, et non δι᾽ ἐπιβολὴν aptum foret. interpretis *ex industria* hinc non alienum. *In Char. Aphrod.* l. III. c. 2. p. 254. D'Orville.

Καθέστηκε δέ τι ἔθος δίκαιον πᾶσιν ἀνθρώποις] Ferri potest. Forte tamen scripsit: ἔθος κοινὸν πᾶσιν etc. Isæus de Hæred. Philoct. p. 57. οὑτοσὶ ὁ νόμος, ὦ ἄνδρες, κοινὸς ἅπασι κεῖται. Max. Tyrius Dissert. XXXVIII. p. 402. Ed. Cantab. εἰ δέ ἐστιν οὗτος κοινὸς ἁπάντων νόμος, τὰ κείμενα ἐῶμεν. Sequitur: τῶν αὐτῶν ἀδικημάτων, μάλιστα ὀργίζεσθαι etc. sic distinguendum. Τῶν αὐτῶν ἀδικημάτων, sc. ὄντων, *positis iisdem injuriis*, absolute. Post vocem δυναμένοις, in Edit. Steph. male deest adverbium μή. Markland. Credo hic ex usu frequentissimo reticeri ἕνεκα, χάριν, ὑπὲρ, διά. et modo video H. Stephanum sic cepisse locum in *hac voce. In Char. Aphrod.* l. III. c. 2. p. 254. D'Orville. μάλιστα μὲν ὀργίζεσθαι. Cont. Non male. Ad ἀδικημάτων sub. ἕνεκα. Auger.

Ἀδικεῖν] Vocem hanc, ut importunissimam et otiosam Schottus obelo notavit. Longe aliter et fortasse rectius Cod. noster cum Aldinis τοῖς μάλιστα δυναμένοις μὴ ἀδικεῖν. Quam varietatem miror Stephanum ad oram suæ editionis non pro more admonuisse. Nam ubi a Manutio recedit, id fideliter observasse semper videtur, saltem, ubi id admonere erat operæ pretium. Schottum, credo, in fraudem duxit notissima illa distinctio inter τοὺς δυναμένους et τοὺς πένητας, vel ἀσθενεῖς, quam alibi expressit noster: ἡ αὐτὴ τιμωρία τοῖς ἀσθενεστάτοις πρὸς τοὺς τὰ μέγιστα δυναμένους ἀποδέ-

ἀδυνάτοις τῷ σώματι συγγνώμην ἔχειν διὰ τὸ ἡγεῖσθαι 877
ἄκοντας αὐτοὺς ἁμαρτάνειν. οὗτος τοίνυν οὐδεμιᾶς συγγνώ-
μης ἄξιός ἐστι τυχεῖν· οὔτε γὰρ τῷ σώματι ἀδύνατος [1] ἦν
188. 1 ταλαιπωρεῖν, ὡς καὶ ὑμεῖς ὁρᾶτε, οὔτε τῇ οὐσίᾳ ἄπορος λει- 878
τουργεῖν, ὡς ἐγὼ ἀποδείξω. ὅστις οὖν, ὅσον δυνατὸς ἦν
ὠφελεῖν, τοσοῦτον κακὸς ἦν, πῶς οὐκ ἂν εἰκότως ὑπὸ πάν-
των ὑμῶν μισοῖτο; ἀλλὰ μὴν οὐδ᾽ ἀπεχθήσεσθέ γε τῶν
πολιτῶν οὐδενὶ τοῦτον ἀποδοκιμάσαντες· [2] οὐ γὰρ τοὺς ἑτέ-
ρους ἀλλ᾽ ἀμφοτέρους φανερός ἐστι προδούς, ὥστε μήτε τοῖς 879

[1] ἢ ταλαιπωρεῖ T.

[2] οὔτ᾽ εἰ τοὺς T. R. ὃς οὐ τοὺς A.

δοται. et juxta quoque Eurip. Supplic. 433.

Γεγραμμένων δὲ τῶν νόμων, ὅ, τε ἀσθενὴς
Ὁ πλούσιός τε τὴν δίκην ἴσην ἔχει.

Sed ea non hic locum habet. Non enim in eos gravius advertitur, qui re utuntur lautiori (hoc enim neque ἠθικῶς, neque ἀληθῶς dici potuit), sed in eos, quorum vitæ conditio τὸ peccare fecit minus necessarium, τοὺς δυναμένους μὴ ἀδικεῖν, qui idcirco petulanter atque ἑκουσίως ἀδικοῦσι. Atque ita postulat loci contentio. Vir in nostra disciplina maximus, τοῖς μάλιστα διανοουμένοις ἀδικεῖν. Taylor. Ego μὴ ante ἀδικεῖν, a plerisque vulgatorum exsulans, ex Aldina revocavi. duo cum sunt ejusdem criminis rei, alter qui cavere non potuit, alter qui potuit, omnes homines, ritu æquo et justo, gravius ei succensent, qui cavere cum potuisset delictum, tamen deliquit, quam ei, qui cavere cum vellet, non potuit. Reisk.

Ἢ ταλαιπωρεῖ] Ἀδύνατός ἐστι ἢ ταλαιπωρεῖν. Cont. Aut animus me vehementer fallit, aut gravissimum latet mendum. Locum discutiamus. Supra dixit N. τοῖς vel πένησι, vel ἀδυνάτοις τῷ σώματι veniam potuisse concedi. Atque hoc infra per plura. Sic in h. l. οὔτε τῷ σώματι ἀδύνατος — οὔτε τῇ οὐσίᾳ ἄπορος. Sed nihil relinquitur tertium. Quænam autem est hæc disjunctio? ἢ ταλαιπωρεῖ? Unde nec sensum facile quivis possit extundere. Ut dicam autem, quod res est. Ταλαιπωρεῖν, uti et Ταλαιπωρεῖσθαι etc. de operis dici solet, de labore et strenue aliquid agendo, de membrorum exercitatione. Ita Critias apud Clem. Alexand. p. 741. in editione reverendissimi: Ἄρχομαι δέ τοι ἀπὸ γενετῆς ἀνθρώπου πῶς ἂν βέλτιστος τὸ σῶμα γένοιτο καὶ ἰσχυρότατος, εἰ ὁ φυτεύων γυμνάζοιτο καὶ ἐσθίοι ἐῤῥωμένως καὶ ταλαιπωροίη τὸ σῶμα. Aristoph. Plut.

Τοὺς ξυγγεώργους κάλεσον· εὑρήσεις δ᾽ ἴσως
Ἐν τοῖσιν ἀγροῖς αὐτοὺς ταλαιπωρουμένους.

Id. Lysistrat. 1221.

Εἰ δὲ πάνυ δεῖ τοῦτο δρᾷν,
Ὑμῖν χαρίσασθαι, προσταλαιπωρήσομεν.

σχ. ad l. Πρῶτος τόνδε τὸν πόνον ἀσμένως ὑποφέροιμι. Thucyd. speciatim de labore militari: Ἀθηναῖοι ἀκριβῶς ἔπρασσον — οὐκ εἰωθόσιν οὐδὲ βουλομένοις ταλαιπωρεῖν προσάγοντες τὰς ἀνάγκας. I. 99. Περὶ δὲ τῶν ἔπειτα μελλόντων τοῖς παροῦσι βοηθοῦντας χρὴ ἐπιταλαιπωρεῖν. Id. I. 123. προσθεῖναι τοῖς πόνοις, σχ. ad loc. Non aliter Xenoph. Memorab. II. 1. 18. Ὁ μὲν ἑκουσίως ταλαιπωρῶν ἐπ᾽ ἀγαθῇ ἐλπίδι, φρονῶν εὐφραίνεται· οἷον οἱ τὰ θηρία θηρῶντες ἐλπίδι τοῦ λήψεσθαι ἡδέως μοχθοῦσι. Ubi sane rectius legeretur πονῶν εὐφραίνεται, ut sententia pariter procedat. Ceterum vide præterea Aristoph. Ran. 24. Eccl. 54., Lucian. de Parasito, p. 249. edit. Græv., Hesych. in Πολύτλας et Ταλαίπωρος, Etym. M. in Ἀταλαίπωρον. Jam h. l. mecum refinget, nihil dubito, eruditus lector pulcre et emphatice: οὔτε γὰρ τῷ σώματι ἀδύνατος ἦν ταλαιπωρεῖν· ὡς καὶ ὑμεῖς ὁρᾶτε· οὔτε τῇ οὐσίᾳ ἄπορος λειτουργεῖν· ὡς ἐγὼ ἀποδείξω. Ita mox N. idem significaturus: τῷ σώματι δι᾽ ἀσθένειαν ἀδύνατος κατέστη βοηθῆσαι εἰς τὸν Πειραιᾶ. Taylor.

Οὔτ᾽ εἰ] Π. οὔτε. H. Stephan. οὔτε γὰρ vel εἴ γ᾽ οὐ. Cont. Feliciter Stephanus. Sunt quibus placet ὃς οὔτε τοὺς ἑτέρους, et quibus ὁτιοῦ. Taylor. Lego: τοῦτον ἀποδοκιμάσαντες, ὃς (vel ὅστις) οὐ τοὺς ἑτέρους, ἀλλ᾽ ἀμφοτέρους, φανερός ἐστι προδούς. *si rejeceritis hunc, quem constat non alteros, sed utrosque, prodidisse,* nempe τοὺς ἐν τῷ ἄστει, et τοὺς ἐν τῷ Πειραιεῖ. Mox, pone ὑποστιγμὴν tantum post καταλαβοῦσιν. Markland. In οὔτ᾽ εἰ videor mihi

ἐν τῷ ἄστει γενομένοις φίλον προσήκειν εἶναι τοῦτον — οὐ γὰρ ἠξίωσεν ὡς αὐτοὺς ἐλθεῖν κινδυνεύοντας — μήτε τοῖς τὸν Πειραιᾶ καταλαβοῦσιν· οὐδὲ γὰρ τούτοις ἠθέλησε συγκατελθεῖν, [1] καὶ ταῦτα ὥς φησι καὶ [2] ἀστὸς γενόμενος. εἰ
880 μέντοι τι μέρος περίεστι τῶν πολιτῶν [3] ὅ τι τῶν αὐτῶν μετέ-

[1] φησὶ δὲ καὶ (καὶ om. A.) ταῦτα T. R. A. [2] αὐτὸς T. R. A. [3] ὅτι T.

οὐχὶ cernere. quo admisso leg. erit aut: ὧν (scil. πολιτῶν) οὐχὶ τοὺς ἑτέρους — aut: οὐχὶ γὰρ τοὺς ἑτέρους. *non enim alteros* (seu urbanos, seu exsules e Piræeo), *sed ambos, ut constat, prodidit.* Reisk.

Οὔτ' εἰ τοὺς ἑτέρους ἀλλ' ἀμφοτέρους φανερός ἐστι προδοὺς] In Marg. Ald. diversa lectio notatur εἰ οὐ τοὺς ἑτέρους, unde efficere possis, antiquitus scriptum exstitisse, ἐπεὶ οὐ τοὺς ἑτέρους, alioquin legendum videtur οὐ γὰρ τοὺς ἑτέρους: hoc enim dicto prioris redditur ratio. Addit Orator. ὥστε μήτε τοῖς ἐν τῷ ἄστει γενομένοις φίλον προσήκειν εἶναι τοῦτον (οὐ γὰρ ἠξίωσεν ὡς αὐτοὺς ἐλθεῖν κινδυνεύοντας), μήτε τοῖς τὸν Πειραιᾶ καταλαβοῦσιν, οὐδὲ γὰρ τούτοις ἐθέλησε συγκατελθεῖν· φησὶ δὲ καὶ ταῦτα καὶ αὐτὸς γενόμενος. Hæc multis conjecturis tentata, tamen ita manserunt corrupta, ut etiamnum esse videmus. Mihi duæ in mentem venerunt emendandi viæ: et primum quidem, si φησὶ est retinendum, ea nobis nata est suspicio, lectorem quendam margini libri sui adscripsisse: φησὶ δὲ κἀνταῦθα καὶ αὐτὸς γενόμενος, vel φησὶ δὲ ταῦτα καὶ αὐτὸς παραγενόμενος: *dicit autem hæc Lysias, ut qui et ipse exsulibus in Piræeo affuerit*, quod e Pseudo-Plutarchi vel antiquioris cujusdam Vita Lysiæ intellexerat. Lysiam fuisse, in Piræeo et strenuam exsulibus in recuperanda patria navasse operam, abunde docuit Taylorus in Vita Lysiæ. Hæc autem fortasse in margine notata deinde inter ipsa verba auctoris sunt interposita. Vel si quis hoc nolit, et verba illa retinenda putet, forte scribendum φημὶ; et cætera eodem, quo diximus, modo sunt emendanda, ut actor dicat se quoque in Piræeo fuisse, neque adeo hac de re testes producere; quæ conjectura, quo se tueatur, illud habet, quod in Codd. Paris. et Veneto non legatur φησὶ sed φη. quum ex his in Stephanicam editionem fluxisse videatur φησὶ, quod ab Aldina abest. Ex φη autem eodem jure effingitur φημὶ, ac φησί. Non nego tamen priorem conjecturam majorem mihi videri habere speciem veritatis, quia mox ad confirmanda ea, quæ dixerat, testes producit. Sluiter.

Φησὶ] Hoc verbum apud Ald. deest in lacunula. Si igitur Steph. γενόμενος exposuit per παραγενόμενος (quod tamen duriter dictum est), rectius reposuisset φήσει. Locus satis vitiosus. Hæc ubi in specimine operis suscepti commentatus eram, submonuere viri celeberrimi sanari posse vel hoc modo: sc. φησὶ δὲ καὶ ταῦτα καθ' αὑτὸν γενόμενος. vel: ἔστι δὲ κατὰ ταῦτα καὶ αἴτιος γενόμενος. vel denique ut vir longe maximus: οὐ γὰρ ἠξίωσεν ὡς αὐτοὺς ἐλθεῖν κινδυνεύοντας — οὐδὲ — τούτοις ἠθέλησε συγκατελθεῖν, καὶ ταῦτα καὶ ἀστὸς γενόμενος. Taylor. Nescio quid γενόμενος velit, nisi legendum sit παραγενόμενος. *sed et ipse præsens hæc quoque fatetur.* Markland. Loco huic desperato quam medicinam adhibeam, haud invenio. φησὶ non de suo largitus est Stephanus, sed in codice reperit, fortassis illo, qui hodie asservatur in Regia Parisina n. 2944. cujus ego collationem in libello variantium ad hanc orationem interdum allego. nam in eo codice sola hæc Lysiacarum omnium legitur. ille codex itaque h. l. exhibet φη. idem quoque e Veneto Bessarionis enotavit Zanettius. Sic autem exarare solent librarii Græci vocem φησί. Constat hic lacunam subesse. Reisk.

Εἰ μέντοι] Claudicat oratio, neque profecto Hellenismum sapit. Quid enim monstri est illud μετέσχε τούτῳ pro οὗτος μετέσχε, quid τῶν αὐτῶν μετ' ἐκείνων? Age autem. Ego totum h. l. expediam, ne una quidem literula sollicitata: εἰ μέντοι τι μέρος περίεστι τῶν πολιτῶν, ὅ, τι τῶν αὐτῶν μετέσχε τούτῳ πραγμάτων, μετ' ἐκείνων — βουλεύειν ἀξιούτω. Taylor. Obscura sunt hæc ex defectu Distinctionum. Scribe: ὅ, τι τῶν αὐτῶν μετέσχε τούτῳ πραγμάτων, μετ' ἐκείνων, ἐάν ποτε (ὃ μὴ γένοιτο) λάβωσι τὴν πόλιν, βουλεύειν ἀξιούτω. *si qua igitur restat civium pars, quæ eandem cum hoc* Philone *factionem secuta sit, cum illis, si quando (quod Dii prohibeant!) civitatis regimen susceperint, senatorio munere fungatur.* Λαμβάνειν τὴν πόλιν videtur hoc loco significare *curam reipub. suscipere*, rempublicam administrare, nisi de occupatione *per vim* hæc intelligere mavis. Orat. XII. ubi de τοῖς XXX. loquitur: λαβόντες γὰρ τὰς ἀρχὰς καὶ τὴν πόλιν, ἀμφοτέροις ἐπολέμουν. Infra, pone minimam distinctionem post ὑμῖν ἀποδείξω. Markland.

Τῶν πολιτῶν] Si quod adhuc aliud su-

σχε τούτῳ πραγμάτων, μετ᾽ ἐκείνων, ἐάν ποτε — ὃ μὴ γένοιτο — λάβωσι τὴν πόλιν, βουλεύειν ἀξιούτω.

δ΄. Ὡς οὖν ᾤκει τε ἐν Ὠρωπῷ ἐπὶ προστάτου καὶ ἐκέκτητο ἱκανὴν οὐσίαν καὶ οὔτ᾽ ἐν τῷ Πειραιεῖ οὔτ᾽ ἐν τῷ ἄστει ἔθετο τὰ ὅπλα, ἵνα εἰδῆτε ὅτι ταῦτα πρῶτον ἀληθῆ λέγω, ἀκούσατε τῶν μαρτύρων.

ΜΑΡΤΥΡΕΣ.

ὑπολείπεται τοίνυν αὐτῷ λέγειν ὡς τῷ μὲν σώματι δι᾽ ἀσθέ- 881
νειάν τινα γενομένην ἀδύνατος κατέστη βοηθῆσαι εἰς τὸν Πειραιᾶ, ἀπὸ δὲ τῶν ὑπαρχόντων ἐπαγγειλάμενος αὐτὸς ἢ χρήματ᾽ [1] εἰσενεγκεῖν εἰς τὸ πλῆθος τὸ ὑμέτερον ἢ ὁπλίσαι τινὰς τῶν ἑαυτοῦ δημοτῶν, ὥσπερ καὶ ἄλλοι πολλοὶ τῶν πολιτῶν αὐτοὶ οὐ δυνάμενοι λειτουργεῖν τοῖς σώμασιν. ἵνα οὖν μὴ ἐγγένηται αὐτῷ ψευσαμένῳ ἐξαπατῆσαι, καὶ περὶ τούτων ἤδη σαφῶς ὑμῖν ἀποδείξω. ἐπειδὴ ὕστερον οὐκ ἐξέσται μοι παρελθόντι ἐνθάδ᾽ ἐλέγχειν αὐτόν. καί μοι κάλει αὐτὸν Διότιμον Ἀχαρνέα καὶ τοὺς αἱρεθέντας μετ᾽ αὐτοῦ τοὺς δημότας ὁπλίσαι ἀπὸ τῶν εἰσενεχθέντων χρημάτων.

[2] ΜΑΡΤΥΡΙΑ ΤΩΝ ΠΕΡΙ ΔΙΟΤΙΜΟΝ.

ε΄. Οὗτος τοίνυν οὐχ ὅπως [3] ὠφελήσει τὴν πόλιν ἐν τοιούτῳ καιρῷ καὶ τοιαύτῃ καταστάσει διενοήθη, ἀλλ᾽ ὅπως τι [4] κερδανεῖ ἀπὸ τῶν ὑμετέρων συμφορῶν παρεσκευάσατο· ὁρμώμενος γὰρ ἐξ Ὠρωποῦ, τοτὲ μὲν αὐτὸς μόνος, τοτὲ δ᾽ 882
ἑτέροις ἡγούμενος οἷς τὰ ὑμέτερα δυστυχήματα εὐτυχήματα ἐγεγόνει, περιιὼν κατὰ τοὺς ἀγροὺς καὶ ἐντυγχάνων τῶν πολιτῶν τοῖς πρεσβυτάτοις, οἳ κατέμειναν ἐν τοῖς δήμοις, ὀλίγα μὲν τῶν ἐπιτηδείων ἔχοντες, ἀναγκαῖα δὲ, εὖνοι μὲν ὄντες τῷ πλήθει, ἀδύνατοι δὲ ὑπὸ τῆς ἡλικίας βοηθεῖν, τούτους ἀφῃρεῖτο τὰ ὑπάρχοντα, περὶ πλείονος ποιούμενος αὐτὸς μικρὰ κερδαίνειν ἢ ἐκείνους μηδὲν ἀδικεῖν· οἳ νῦν αὐτὸν

[1] εἰσενέγκειεν R. A. [2] ΜΑΡΤΥΡΕΣ. A. [3] ὠφελῆσαι T. ὠφελήσαι R. A. [4] κερδαίνοι T. R. A.

perest civium genus, qui neque sint urbani, neque rursus e Piræeo. Tyranni ergo. nam hos designat. Reisk.

Γενομένην] Id est, συμβᾶσαν αὐτῷ. malim tamen προσγενομένην. Idem.

Αὐτὸν Διότιμον] Videtur τε interponendum esse. Nam alias αὐτὸν erit inutile. Diotimus ille, ni fallor, aut magister demi fuit, aut princeps illius collegii, cui mandata tum fuit cura municipales armis instruendi. Idem.

Αὐτὸν] Imo vero αὐτῷ. Non enim, si

δι' αὐτὸ τοῦτο οὐχ οἷοί τέ εἰσιν ἐπεξελθεῖν ἅπαντες, διόπερ καὶ τότε ἀδύνατοι τῇ πόλει βοηθεῖν ἦσαν. οὐ μέντοι τοῦτόν γε χρὴ διὰ τὴν ἐκείνων ἀδυναμίαν δὶς ὠφεληθῆναι, τότε [1] τ' ἀφελόμενον ἃ εἶχον, νῦν τε δοκιμασθέντα ὑφ' ὑμῶν· ἀλλὰ κἂν ὁστισοῦν παραγένηται τῶν ἀδικηθέντων, μέγα αὐτὸ ἡγήσασθε εἶναι, καὶ τοῦτον ὑπερμισήσατε, ὅστις ἐτόλμησεν, οἷς ἕτεροι διδόναι παρ' ἑαυτῶν τι προῃροῦντο διὰ τὴν ἀπορίαν οἰκτείραντες αὐτοὺς, τούτων ἀφαιρεῖσθαι τὰ ὑπάρχοντα. κάλει μοι τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

ϛ'. Οὐ τοίνυν ἔγωγε [2] οἶδα ὅ τι ὑμᾶς διαφερόντως δεῖ
883 γινώσκειν περὶ αὐτοῦ, ἢ [3] οἱ [4] οἰκεῖοι γιγνώσκουσι· τοιαῦτα
γάρ ἐστιν, ὥστ' εἰ καὶ μηδὲν αὐτῷ ἄλλο ἡμάρτητο, διὰ μόνα
ταῦτα ἱκανὸν εἶναι ἀποδοκιμασθῆναι. οἷα μὲν οὖν ζῶσα ἡ
μήτηρ αὐτοῦ κατηγόρει, παρήσω· ἐξ ὧν δὲ τελευτῶσα τὸν
βίον διεπράξατο τεκμαιρομένοις, ῥᾴδιόν ἐστιν ὑμῖν γνῶναι
ὁποῖός τις ἦν περὶ αὐτήν. ἐκείνη γὰρ τούτῳ μὲν ἠπίστησεν
ἀποθανοῦσαν ἑαυτὴν ἐπιτρέψαι, Ἀντιφάνει δὲ οὐδὲν [5] προσ-
884 ήκουσα πιστεύσασα ἔδωκεν εἰς τὴν ἑαυτῆς ταφὴν τρεῖς μνᾶς
ἀργυρίου, παραλιποῦσα τοῦτον υἱὸν ὄντα ἑαυτῆς. ἆρα δῆλον
ὅτι εὖ ᾔδει αὐτὸν οὐδὲ διὰ τὸ προσήκειν [6] αὐτῇ τὰ δέοντα ἂν
ποιήσοντα; καίτοι εἰ μήτηρ, ἣ πέφυκε καὶ ἀδικουμένη ὑπὸ
τῶν ἑαυτῆς παίδων μάλιστα ἀνέχεσθαι καὶ μηδ' ὠφελου-

[1] τ' om. T. R. [2] ἤδη ὅτι T. οἶδα ὅτι Λ. [3] οἱ om. T. A. [4] οἰκεῖον T. [5] προσήκοντι A. [6] αὐτῷ T.

bene memini, ἐπεξελθεῖν τινὰ, sed τινὶ, dicitur. Idem.

Τότε ἀφελόμενον] Τότε μὲν ἀφελ. — νῦν δὲ δοκιμασθ. Cont. Videtur τε interponendum esse, quæ syllaba facile potuit in collisione cum τότε elidi. Reisk.

Οὐ τοίνυν κ. τ. λ.] Ἤδειν vel οἶδα, et mox οἱ οἰκεῖοι. Cont. Lege: Οὐ τοίνυν ἔγωγε οἶδα (vel Οὐ τοίνυν ἡγοῦμαι ἤδη), ὅτι ὑμᾶς διαφερόντως δεῖ γιγνώσκειν περὶ αὐτοῦ, ἢ οἱ οἰκεῖοι γιγνώσκουσι. Taylor. Facili negotio hæc restituuntur: Οὐ τοίνυν ἔγωγ' οἶδα, ὅ, τι ὑμᾶς — περὶ αὐτοῦ, ἢ ἃ οἱ οἰκεῖοι γιγνώσκουσι. *non video autem, quid magis ad rem pertineat vos de ipso scire, quam quæ domestici et familiares ejus norunt.* quæ est Versio Vanderheidii. Editio ejus recte habet ὅ, τι divisim. οἰκεῖοι est in MS. Supra, pro αὐτὸν Διότιμον, mallem, αὐτόν τε Διότιμον καὶ τοὺς etc. Sed hoc, et omnia hujusce generis, utpote sensui non omnino necessaria, vix admittentur, nisi ab iis, quorum aures numeris et lectioni Lysianæ assuescunt. Hujusmodi est id, quod sequitur. Markland.

Προσήκουσα] Vel potius προσήκοντι. Taylor. Ex auribus et sono legerem: οὐδὲν προσήκοντι. nec ullam aliam rationem possum reddere, cum sensus vulgatæ optime habeat: quam si retineas, distingue post δὲ, et post προσήκουσα. Mox, pro προσήκειν αὐτῷ, legi quoque potest αὐτῇ. prius, *officium* filii: posterius, *sanguinis conjunctionem* denotabit. Markland. Nullam causam video, cur vulgata sollicitetur. Reisk.

Αὐτῷ] Scribe αὐτῇ. Taylor.

Μάλιστα ἀνέχεσθαι, καὶ μηδ' ὠφελουμένη]

μένη μεγάλα ἔχειν ἡγεῖσθαι διὰ τὸ εὐνοίᾳ μᾶλλον ἢ ἐλέγχῳ
189 τὰ γιγνόμενα δοκιμάζειν, ἐνόμιζε τοῦτον κἂν ἀπὸ τεθνεώσης φέρειν ἑαυτῆς, τί χρὴ ὑμᾶς περὶ αὐτοῦ διανοηθῆναι; ὅστις γὰρ περὶ τοὺς ἑαυτοῦ ἀναγκαίους τοιαῦτα ἁμαρτάνει ἁμαρτήματα, τί ἂν περί γε τοὺς ἀλλοτρίους ποιήσειεν; ὡς οὖν καὶ ταῦτ' ἀληθῆ ἐστὶν, ἀκούσατε αὐτοῦ [1] τοῦ λαβόντος τὸ ἀργύριον, καὶ θάψαντος αὐτήν.

ΜΑΡΤΥΣ.

ζ'. Τί οὖν βουληθέντες ὑμεῖς τοῦτον δοκιμάσαιτε; πότερον ὡς οὐχ ἡμαρτηκότα; ἀλλὰ τὰ μέγιστα περὶ τὴν πατρίδα ἠδίκηκεν. ἀλλ' ὡς ἔσται βελτίων; τοιγάρτοι πρότερον βελτίων γενόμενος περὶ τὴν πόλιν ὕστερον βουλεύειν 885
ἀξιούτω, φανερόν τι ἀγαθὸν ὥσπερ τότε [2] κακὸν ποιήσας. σωφρονέστερον γάρ ἐστιν ὕστερον [3] πᾶσι τῶν ἔργων τὰς χάριτας ἀποδιδόναι· δεινὸν γὰρ ἔμοιγε δοκεῖ εἶναι, εἰ ἐξ ὧν μὲν ἤδη ἡμάρτηκε μηδέποτε τιμωρηθήσεται, ἐξ ὧν δὲ μέλλει εὖ ποιήσειν ἤδη τετιμήσεται. ἀλλ' ἆρα, ἵνα βελτίους ὦσιν οἱ πολῖται ὁρῶντες ἅπαντας ὁμοίως τιμωμένους, διὰ τοῦτο δοκιμαστέον ἐστίν; ἀλλὰ κίνδυνος καὶ τοὺς χρηστοὺς, ἐὰν αἰσθάνωνται ὁμοίως [4] τοὺς πονηροὺς [5] τιμωμένους, [6] παύσε-

[1] τοῦ om. T. [2] ἀγαθὸν T. [3] πᾶσιν ὕστερον A.
[4] τοῖς πονηροῖς T. R. A. [5] τιμώμενοι A. [6] παύσασθαι T.

Ita vellem: μέγιστα ἀνέχεσθαι, καὶ μικρὰ ὠφελ. Posses minori conatu ad hanc normam — καὶ μηδ' ὠφελουμένη μεγάλα, ἔχειν γε ἡγεῖσθαι. Certissime opis, non multum dissimilis huic vel isti conjecturæ, noster indiget. *In Silv. Crit.* WAKEFIELD. μεγάλα refer et ad ὠφελουμένη et ad ἔχειν, quæ ita comparata est ut putet, quum magna non accipiat, magna tamen se habere. AUGER.

Αὐτοῦ λαβόντος] Restitue cum Codd. αὐτοῦ τοῦ λαβόντος. TAYLOR. Omnino recte. MARKLAND.

Ἀγαθὸν ποιήσας] Π. κακὸν ποιήσας. H. STEPHAN. CONT.

Σωφρονέστερον γάρ ἐστιν etc.] Lego: σωφρονεστέρων γάρ ἐστι. *est enim prudentiorum*, vel *prudentum*. tametsi sciam alterum defendi posse ex Thucydide VI. 29. Sic infra: τῶν αὐτῶν εἶναι. et Orat. II. νομίζοντες ἀνδρῶν ἀγαθῶν εἶναι. *rati esse officium fortium virorum.* Xenophon, Ἑλλην. VI. p. 591. καὶ σωφρόνων μὲν δή που ἐστὶ, μηδὲ εἰ μὴ μικρὰ τὰ διαφέροντα εἴη, πόλεμον ἀναιρεῖσθαι. Pro ἀγαθὸν ποιήσας, bene Stephanus κακὸν legit. quæ voces sæpenumero inter se commutantur. MARKLAND. Contius σωφρονεστέρων. deinde pro τῶν ἔργων idem legit τῶν εὐεργεσιῶν, et putat aliquid deesse hujusmodi, ἢ τῶν ἀδικημάτων τιμωρεῖσθαι. Sed mihi videtur non sollicitandam esse vulgatam, et ipse velim non sollicitavisse. Sic construenda est hæc phrasis: σωφρονέστερον γάρ ἐστι τὰς χάριτας πᾶσιν ἀποδιδόναι ὕστερον τῶν ἔργων. AUGER.

Τοῖς πονηροῖς] Τοὺς πονηροὺς, Vir celeberrimus. TAYLOR. Mallem παύσεσθαι, sive sensu Activo seu Neutraliter accipiendum sit. ὁμοίως τοῖς πονηροῖς, *non alia ratione, quam improbi.* nisi malis τοὺς πονηροὺς, sc. ὁμοίως τιμωμένους. MARKLAND. Post αἰσθάνωνται videtur ἑαυτοὺς deesse, aut alias τιμώμενοι leg. est. REISK.

σθαι τῶν χρηστῶν ἐπιτηδευμάτων, τῶν αὐτῶν ἡγουμένους
886 εἶναι τούς τε κακοὺς τιμᾶν καὶ τῶν ἀγαθῶν ἀμνημονεῖν.
ἄξιον δὲ καὶ τόδε ἐνθυμηθῆναι, ὅτι εἰ μέν τις φρούριόν τι
προὔδωκεν ἢ ναῦν ἢ στρατόπεδόν τι, ἐν ᾧ μέρος τι ἐτύγχανε
τῶν πολιτῶν ὄν, ταῖς ἐσχάταις ἂν ζημίαις ἐζημιοῦτο·
οὗτος δὲ προδοὺς ὅλην τὴν πόλιν [1] οὐχ ὅπως τιμωρηθήσε-
ται παρασκευάζεται. καίτοι δικαίως γ' ἂν ὅστις φανερῶς
ὥσπερ οὗτος προὔδωκε τὴν ἐλευθερίαν, οὐ περὶ τοῦ βουλεύ-
ειν ἀλλὰ περὶ τοῦ δουλεύειν καὶ τῆς μεγίστης ἀπορίας [2] ἐκ-
κλησιάζοιτο.

η'. Ἀκούω δ' αὐτὸν λέγειν ὡς, εἴ τι ἦν ἀδίκημα τὸ μὴ

[1] ὅπως μὴ τιμωρηθήσεται, ἀλλὰ καὶ ὅπως τιμηθήσεται, παρασκ. A.
[2] ἐκκλησιάζεται T. R. ἂν ἀγωνίσαιτο A.

Οὐχ ὅπως τιμωρηθήσεται παρασκευάζεται] Add. ἀλλ' ὅπως τιμηθήσεται. Cont. Deesse aliquid video. Taylor. Non mirarer, si codex aliquis proferret: οὐχ ὅπως τιμωρηθήσεται, ἀλλ' ὅπως τιμηθήσεται, παρασκευάζεται. ut paulo post, eadem paronomasia: οὐ περὶ τοῦ βουλεύειν, ἀλλὰ περὶ τοῦ δουλεύειν — ἐκκλησιάζετο. sic enim legendum, prout postulat ἂν, pro ἐκκλησιάζεται. Dion. Halicarnassensis De Thucyd. Idiom. p. 158. ed. Sylb. μὴ περὶ τιμῶν αὐτοῖς ἐστὶν, ἀλλὰ περὶ τιμωριῶν ὁ κίνδυνος. Sic Noster Orat. XXII. ἵνα γράμματα αὐτοῖς ἀντὶ χρημάτων ἀποδείξειε. Markland. Mihi οὐχ ὅπως μὴ τιμωρηθήσεται, ἀλλὰ καὶ ὅπως τιμηθήσεται leg. esse videtur. Reisk.

Οὐχ ὅπως τιμωρηθήσεται παρασκευάζεται] Quod huic loco deesse apparet, id diversa ratione Marklandus et Reiskius supplere conati sunt. Ego vero pæne confirmare ausim Lysiam ita scripsisse: οὐχ ὅπως τιμωρηθήσεται, ἀλλὰ καὶ βουλεύειν παρασκευάζεται. Sequitur enim: καίτοι δικαίως γ' ἂν — οὐ περὶ τοῦ βουλεύειν, ἀλλὰ περὶ τοῦ δουλεύειν καὶ τῆς μεγίστης ἀπορίας ἐκκλησιάζεται (f. l. ἐκκλησιάσαιτο). Hæc pulcherrime superioribus respondent, et hinc intelligitur βουλεύειν debuisse præcedere. Elegans hic est usus formulæ οὐχ ὅπως, sequente ἀλλὰ καὶ vel ἀλλ' οὐδὲ: *non solum non — sed etiam*. Lysias, p. 154. v. 36. ed. Steph. οὐχ ὅπως σκεύη ἀπέδοσθε, ἀλλὰ καὶ αἱ θύραι ἀπὸ τῶν οἰκημάτων ἀπεσπάσθησαν. p. 185. v. 41. ἀλλ' οὐχ ὅπως ὑμῖν τῶν αὑτοῦ τι ἐπέδωκεν, ἀλλὰ καὶ τῶν ὑμετέρων πολλὰ ὑφῄρηται. Xenophon Hellen. l. V. c. 4. §. 34. ὡς οἱ Λακεδαιμόνιοι οὐχ ὅπως τιμωρήσαιντο, ἀλλὰ καὶ ἐπαινέσαιεν τὸν Σφοδρίαν. l. VI. c. 4. §. 3. οὐχ ὅπως τὰς πόλεις ἀφιέντας, ἀλλ' οὐδε τὸ στράτευμα διαλύοντας. Cyropæd. l. I. c. 3. §. 10. μὴ ὅπως ὀρχεῖσθαι ἐν ῥυθμῷ ἀλλ' οὐδ' ὀρθοῦσθαι ἐδύνασθε. Isocrates de Pace p. 168. c. οὐχ ὅπως ἀγανακτοῦμεν, ἀλλὰ καὶ χαίρομεν. Busiridis Laud. p. 322. b. οὐχ ὅπως τῆς ὑπαρχούσης αὐτῶν (leg. αὐτὸν) διαβολῆς ἀπήλλαξας, ἀλλὰ καὶ τηλικαύτην αὐτῷ τὸ μέγεθος παρανομίαν προσῆψας. Conf. p. 229. b. Plataic. p. 297. d. Eadem ratione dicitur οὐχ ὅτι, vel μὴ ὅτι. Lysias, p. 167. v. 31. νομίζει ἑαυτὸν μὴ ὅτι Πλαταιέα εἶναι, ἀλλ' οὐδ' ἐλεύθερον. Xenophon Hellen. l. II. c. 3. §. 18. ὡς διὰ τὸν χειμῶνα οὐδὲ πλεῖν, μὴ ὅτι ἀναιρεῖσθαι τοὺς ἄνδρας δυνατὸν ἦν. Isocrates Except. adv. Callim. p. 374. d. οὐ γὰρ ὅτι τοὺς ἀδικοῦντας ἐκόλαζον, ἀλλ' ἐνίοις καὶ προσέταττον ἐξαμαρτάνειν. Demosthenes in Timocrat. §. γ'. οὐχ ὅτι τῶν ὄντων ἀπεστερήμην ἄν, ἀλλ' οὐδ' ἂν ἔζην. Est hæc formula elliptica; neque tamen, quod nonnulli volunt, pro οὐχ ὅπως οὐ, vel μὴ ὅτι οὐ, dici putem, sed potius manasse e pleniori formula οὐκ ἔστιν, vel οὐ λέξω, ὅπως, ὅτι. De hac formula similibusque cf. Budæus Comment L. Gr. p. m. 777., Vigerus de Idiotismis L. Gr. p. 403., Hoogeveenius ad Viger. p. 428. et de Doctr. Partic. p. 741. sqq. 962. sqq., L. Bos. Ellips. Gr. p. 486. Hunc loquendi morem ad Latinos quoque transiisse, iisque *non modo* et *non solum* dici pro *non solum non* docet A. Muretus Var. Lect. l. x. c. 7. Sluiter.

Ἐκκλησιάζεται] F. ἐκκλησιάζετο. Taylor. Alios ἐκκλησιάζητε dare testatus Taylor, omisit auctores nominare. Sententia postulat ἂν ἀγωνίσαιτο. Reisk.

παραγενέσθαι ἐν ἐκείνῳ τῷ καιρῷ, νόμος ἂν ἔκειτο περὶ αὐτοῦ διαῤῥήδην, ὥσπερ καὶ περὶ τῶν ἄλλων ἀδικημάτων. οὐ γὰρ οἴεται ὑμᾶς γνώσεσθαι ὅτι διὰ τὸ μέγεθος τοῦ ἀδικήματος οὐδεὶς περὶ αὐτοῦ ἐγράφη νόμος. τίς γὰρ ἄν ποτε 887
ῥήτωρ ἐνεθυμήθη ἢ νομοθέτης ἤλπισεν ἁμαρτήσεσθαί τινα τῶν πολιτῶν τοσαύτην ἁμαρτίαν; οὐ γὰρ ἂν δή που, εἰ μέν τις λίποι τὴν τάξιν μὴ αὐτῆς τῆς πόλεως ἐν κινδύνῳ οὔσης ἀλλ' ἑτέρους εἰς τοῦτο καθιστάσης, ἐτέθη νόμος ὡς μεγάλα ἀδικοῦντος· εἰ δέ τις αὐτῆς τῆς πόλεως ἐν κινδύνῳ οὔσης λίποι τὴν πόλιν αὐτὴν, οὐκ ἂν ἄρα ἐτέθη. σφόδρα γ' ἂν, εἴ τις ᾠήθη τινὰ τῶν πολιτῶν ἁμαρτήσεσθαί τι τοιοῦτόν ποτε. τίς δ' οὐκ ἂν εἰκότως ἐπιτιμήσειεν ὑμῖν, εἰ τοὺς μετοίκους μὲν, ὅτι οὐ κατὰ τὸ προσῆκον ἑαυτοῖς ἐβοήθησαν τῷ δήμῳ, ἐτιμήσατε ἀξίως τῆς πόλεως· τοῦτον δὲ ὅτι παρὰ 888
τὸ προσῆκον ἑαυτῷ προὔδωκε τὴν πόλιν, μὴ κολάζοιτε, εἰ μή γε ἄλλῳ τινὶ μείζονι, τῇ γε παρούσῃ ἀτιμίᾳ;

θ'. Ἀναμνήσθητε δὲ διότι ποτὲ τοὺς ἀγαθοὺς ἄνδρας [1]γινομένους περὶ τὴν πόλιν τιμᾶτε καὶ τοὺς κακοὺς ἀτιμάζετε. ἐδείχθη γὰρ ἀμφότερα ταῦτα οὐ τῶν γεγενημένων μᾶλλόν τι ἕνεκα ἢ τῶν γενησομένων, ἵν' ἀγαθοὶ προθυμῶνται γίνεσθαι ἐκ παρασκευῆς, κακοὶ δὲ μηδ' ἐξ ἑνὸς τρόπου ἐπιχειρῶσιν. ἔτι δὲ ἐνθυμήθητε ποίων ἂν ὑμῖν δοκεῖ οὗτος ὅρκων φροντίσαι, ὃς ἔργῳ τοὺς πατρῴους θεοὺς προὔδωκεν· ἢ πῶς ἂν χρηστόν τι βουλεῦσαι περὶ τῆς πολιτείας, ὃς οὐδὲ

[1] γενομένους R. A.

Μὴ αὐτῆς τῆς πόλεως ἐν κινδύνῳ οὔσης, ἀλλ' ἑτέρους εἰς τοῦτο καθιστάσης] Id est, *non bello Defensivo, sed Offensivo*, secundum vulgarem loquendi formam. Deinde distingue: σφόδρα γ' ἂν, εἴ τις ᾠήθη etc. *certe quidem lata fuisset* (ἐτέθη ἂν), *si quis suspicatus fuisset* etc. MARKLAND.

Εἰς τοῦτο] Scil. τὸ ἐν κινδύνῳ εἶναι. REISK.

Ἀδικοῦντος] Sub. αὐτοῦ. AUGER.

Οὐ κατὰ τὸ προσῆκον ἑαυτοῖς] Idem est, ac si dixisset: καίτοι οὐ προσῆκον αὐτοῖς: *tametsi hæc partes eorum haud essent, neque jure ullo tenerentur id facere.* Est quidem ea dictio paulo insolentior, et possent illa duo vocabula κατὰ τὸ prorsus abesse, sine damno sententiæ, et cum elegantia adeo, veruntamen duxit Lysias ea ponenda, ob insequens παρὰ τὸ προσῆκον. REISK.

Ἐτιμήσατε] Ἠτιμήσατε, Vir doctissimus. TAYLOR. Quisque ille fuit vir doctissimus, et a sententia aberravit, et Græce parum se callere prodidit. Nam ἀτιμεῖν non usurpatur, sed ἀτιμάζειν. unde non ἠτιμήσατε, sed ἠτιμάσατε. deinde ἀτιμάζειν non idem est atque ἀτιμοῦν. Neque *dedecorare, infamare*, hic voluit Lysias, sed τιμᾷν, *honorare*. Vulgata h. l. optime habet. Sententia est: *inquilinos qui reipublicæ succurrerunt, quanquam obligati ad id faciendum nullo pacto essent, honoravistis.* REISK.

Κολάζοιτε] Bene habet post ἐτιμήσατε. Similis huic constructio, ubi post aoristum optativus tempus præsens aut futurum indicans sequitur, paulo post habemus in illis: περὶ οὐδενὸς ἡγήσατο, ὑμεῖς δὲ — ἀποδοκιμάσαιτε. IDEM.

ἐλευθερῶσαι τὴν πατρίδα ἐβουλήθη· ἢ ποῖα ἂν ἀπόῤῥητα
889 τηρῆσαι, ὃς οὐδὲ τὰ προειρημένα ποιῆσαι ἠξίωσε; πῶς δ᾽
εἰκός ἐστι τοῦτον, ὃς οὐδὲ τελευταῖος ἐπὶ τοὺς κινδύνους ἦλθε,
πρότερον [1] τῶν κατεργασαμένων καὶ οὕτω συντιμηθῆναι;
σχέτλιον δ᾽ ἂν εἴη, εἰ οὗτος μὲν ἅπαντας τοὺς πολίτας
περὶ οὐδενὸς ἡγήσατο, ὑμεῖς δὲ τοῦτον ἕνα ὄντα μὴ ἀποδοκιμάσαιτε.

ι΄. Ὁρῶ δέ τινας οἳ νῦν μὲν τούτῳ παρασκευάζονται βοηθεῖν καὶ δεῖσθαι ὑμῶν, ἐπειδὴ ἐμὲ οὐκ ἠδύναντο πεῖσαι·
τότε δὲ, ὅτε οἱ κίνδυνοι μὲν ὑμῖν καὶ οἱ μέγιστοι ἀγῶνες
ἦσαν, τὰ δὲ ἆθλα αὐτὴ ἡ πολιτεία ἔκειτο, καὶ ἔδει οὐ μόνον
περὶ τοῦ βουλεύειν ἀλλὰ καὶ περὶ τῆς ἐλευθερίας βουλεύε- 190. 1
σθαι, τότε οὐκ ἐδέοντο αὐτοῦ βοηθῆσαι καὶ ὑμῖν καὶ κοινῇ
τῇ πόλει, καὶ μὴ προδοῦναι μήτε τὴν πατρίδα μήτε τὴν
βουλὴν, ἧς νῦν ἀξιοῖ τυχεῖν οὐ μετὸν αὐτῷ, ἄλλων γε κατεργασαμένων. μόνος δὴ, ὦ βουλὴ, δικαίως οὐδ᾽ ἂν ἀγανα-
890 κτοίη μὴ τυχών· οὐ γὰρ ὑμεῖς νῦν αὐτὸν ἀτιμάζετε, ἀλλ᾽
αὐτὸς αὑτὸν τότε ἀπεστέρησεν, ὅτε οὐκ ἠξίωσεν, [2] ὥσπερ
νῦν προθύμως κληρωσόμενος ἦλθε, καὶ τότε διαμαχόμενος
περὶ αὐτῆς καταστῆναι μεθ᾽ ὑμῶν.

[1] τῶν πρότερον A.

[2] ἧσπερ R.

Οὐδὲ τὰ προειρημένα ποιῆσαι ἠξίωσε] Τὰ προειρημένα hic opponi debent τοῖς ἀποῤῥήτοις, *secretis Senatus consiliis.* Clariorem oppositionem putarem, si scripsisset Noster τὰ διειρημένα, *res palam et distincte explicitas:* nempe, Legum jussa, quæ omnibus patent, et ab omnibus intelliguntur. Sæpe utitur hac voce Philo Judæus. διαῤῥήδην εἴρηται Lysias Orat. I. eodem fere sensu. Nihil tamen muto. Paulo post: τὰ δὲ ἆθλα αὐτὴ ἡ πολιτεία ἔκειτο. *præmium vero ipsa* in medio *jacebat respublica.* Ita Noster Orat. I. Xenophon Cyrop. II. 17. 19. VII. 8. Lycurgus p. 154. Demosthenes Philipp. I. Quod notasse vix operæ pretium fuisset, nisi Vanderheidius infeliciter vertisset: *cum præmia ab ipsa republica proponerentur.* MARKLAND. Bene habet τὰ προειρημένα, *imperata in antecessum,* antequam tempus ratum veniat, quo mandata aut interdicta expediat exerceri seu caveri. magistratus edicens imposterum observanda dicitur προειπεῖν. REISK.

Πρότερον τῶν] Legi transponendo τῶν πρότερον, et sic totum hunc locum interpretor: Quomodo hunc qui — honorari etiam sic (i. e. senatoris gradu decorari, qui gradus erat unius duntaxat anni et omnibus patebat) una cum iis qui prius rem peregerunt, np. civitatem et senatum servarunt. AUGER.

Καὶ οὕτω συντιμηθῆναι; σχέτλιον δ᾽ ἂν εἴη] Videtur sic leg. καὶ οὑτωσί γε τιμηθῆναι; σχέτλιόν γ᾽ ἂν εἴη. REISK.

Ἧσπερ] Sic dedi de meo, pro vulgari ὥσπερ. Idem est, ac si dixisset: οὐκ ἠξίωσεν ὑπὲρ ταύτης καταστῆναι διαμαχόμενος, ὑπὲρ ἧς νῦν προθύμως ἦλθε κληρωσόμενος. IDEM.

Κληρωσόμενος ἦλθε] *venit sorte accepturus*, scil. dignitatem senatoriam. AUGER.

Διαμαχόμενος περὶ αὐτῆς καταστῆναι μεθ᾽ ὑμῶν] Lege: διαμαχούμενος. ut κληρωσόμενος paulo ante. et pro καταστῆναι forte leg. καταταχθῆναι. MARKLAND. et *in edit. min.* TAYLOR.

Καταστῆναι] Si ἐν τάξει subauditur, *stare in acie,* tum bene habebit διαμαχόμενος *dimicans* in præsenti. Sin autem ad καταστῆναι subauditur εἰς τάξιν atque significat *in aciem descendere,* tum utique præferendum fuerit Marklandi διαμαχούμενος *dimicaturus.* REISK.

ια΄. Ἱκανά [1] μοι νομίζω εἰρῆσθαι, καίτοι πολλά γε
παραλιπών· ἀλλὰ πιστεύω ὑμᾶς καὶ ἄνευ τούτων [2] αὐτοὺς
τὰ συμφέροντα τῇ πόλει γνώσεσθαι. οὐ γὰρ ἄλλοις τισὶν 891
ὑμᾶς δεῖ περὶ τῶν ἀξίων ὄντων βουλεύειν τεκμηρίοις χρῆσθαι
ἢ ὑμῖν αὐτοῖς, ὁποῖοί τινες ὄντες αὐτοὶ περὶ τὴν πόλιν ἐδο-
κιμάσθητε. ἔστι [3] γὰρ τὰ τούτου ἐπιτηδεύματα [4] κοινὰ
παραδείγματα καὶ πάσης δημοκρατίας ἀλλότρια.

[1] μὲν T. R. A. [2] αὐτῶν T. [3] γὰρ αὐτοῦ τὰ T. R. A. [4] καινὰ A.

Ἱκανὰ μὲν] Malim ἱκανά μοι. Idem.

Καὶ ἄνευ τούτων αὐτῶν τὰ συμφέροντα etc.] Emphatica vox αὐτῶν minime necessaria videtur. Putò: ἀλλὰ πιστεύω ὑμᾶς, καὶ ἄνευ τούτων, ἀφ' ἑαυτῶν τὰ συμφέροντα τῇ πόλει γνώσεσθαι. Ἀφ' ἑαυτῶν, vel αὐτῶν. *per vos ipsos*, vel potins, *exemplo sumpto a vobis ipsis:* propter Rationem, quæ sequitur. Sic apud Lucam XII. 57. τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον; id est, *cur vero non, exemplum petentes ab eo, quod ordinarie inter vos ipsos fit, quod justum est judicatis?* et ita 2 Cor. X. 7. τοῦτο λογιζέσθω πάλιν ἀφ' ἑαυτοῦ. *a seipso*, seipsum in exemplum adhibens: prout ex sequentibus patet. Si apud Lysiam malis ἐφ' ἑαυτῶν, vide Perizonium ad Ælian. V. H. I. 34. et Demosthenem contra Olympiodor. ἔδησε τὸν ἄνθρωπον καὶ ἐβασάνισεν αὐτὸς ἐφ' ἑαυτοῦ. *ipse per se*, sua auctoritate. quod tamen Ioannes dicit ἀφ' ἑαυτοῦ. XVI. 13. οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ. et XIV. 10. τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ὁ δὲ πατὴρ, ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα. Ita distinguendum. Ὁ δὲ πατὴρ, scil. λαλεῖ αὐτά. de Doctrina et de Miraculis distincte loquitur; quod et alibi passim facit. *ille facit opera quoque.* In Vulgatis hæc confunduntur reclamante sensu et recta ratione. Markland. Mutavi αὐτῶν, cum αὐτοὺς arbitratu meo. *ultro, sponte vestra.* Reisk.

Κοινὰ] Ni ita interpreteris: *exempla quæ ad omnes spectant, ad publicum.* ut ἀγῶνες κοινότατα, Noster c. Dardanar. Legendum omnino καινὰ, ut monuit vir summus. Taylor. Aut cum Tayloro leg. erit καινὰ *nova*, aut mecum ἄκοινα *parum civilia*, quibus uti publice neque licet, neque expedit. Reisk.

Πάσης δημοκρατίας ἀλλότρια] Nisi fallor, magis ad rem præsentem foret δοκιμασίας, quam δημοκρατίας. Mores ejus tales sunt, tam aperti et bene noti, ut in scrutinium et *examen* admitti nec debeant, nec necesse habeant. Markland.

ΛΥΣΙΟΥ

ΚΑΤΑ ΔΙΟΓΕΙΤΟΝΟΣ

ΛΟΓΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Διόδοτος, εἷς τῶν μετὰ Θρασύλλου καταλεγέντων ἐν τῷ Πελοποννησιακῷ πολέμῳ, μέλλων ἐκπλεῖν εἰς τὴν Ἀσίαν ἐπὶ Γλαυκίππου ἄρχοντος, ἔχων νήπια παιδία διαθήκας ἐποιήσατο, καταλιπὼν αὐτοῖς ἐπίτροπον, τὸν ἑαυτοῦ μὲν ἀδελφὸν Διογείτονα, τῶν δὲ παιδίων θεῖόν τε καὶ πάππον ἀπὸ μητέρος. αὐτὸς μὲν οὖν ἐν Ἐφέσῳ μαχόμενος ἀποθνήσκει, Διογείτων δὲ, πᾶσαν τὴν οὐσίαν τῶν ὀρφανῶν διαχειρισάμενος καὶ ἐκ πολλῶν πάνυ χρημάτων οὐδὲν ἀποδείξας, αὐτὸς ἔτι περιὼν κατηγορεῖται πρὸς ἑνὸς τῶν μειρακίων δοκιμασθέντος κακῆς ἐπιτροπῆς. λέγει δὲ κατ᾽ αὐτοῦ τὴν δίκην ὁ τῆς ἐκείνου μὲν θυγατριδῆς τῶν δὲ μειρακίων ἀδελφῆς ἀνήρ.

Dionys. Halic. in Lysia.

ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ.

Διόδοτος Διαγείτονος τοῦ ἀδελφοῦ θυγατέρα γήμας καὶ σχὼν ἐξ αὐτῆς παῖδας, ἐξιὼν ἐπὶ πόλεμον ἐν τοῖς Πελοποννησιακοῖς ἐπίτροπον καταλιμπάνει τῶν παίδων τὸν ἀδελφὸν, καὶ μαχόμενος ἐν Ἐφέσῳ τελευτᾷ τὸν βίον. Ἀθηναίων δέ τις, γήμας τὴν Διοδότου μὲν θυγατέρα Διο-
Pag. ed. Reisk. γείτονος δὲ θυγατριδῆν, ἐγράψατο Διογείτονα κακῆς ἐπιτροπῆς τῶν παίδων. ᾧ Λυσίας γέγραφε Pag. ed. H. Steph.
τὸν κατὰ Διογείτονος λόγον. Scholiast. Hermogenis, p. 411.

892 α΄. ΕΙ μὲν μὴ μεγάλα ἦν τὰ διαφέροντα, ὦ ἄνδρες δικα- 208
σταὶ, οὐκ ἄν ποτε εἰς ὑμᾶς εἰσελθεῖν τούτους εἴασα, νομίζων
893 αἴσχιστον εἶναι πρὸς τοὺς οἰκείους διαφέρεσθαι, εἰδώς [1] τε ὅτι οὐ μόνον οἱ ἀδικοῦντες χείρους ὑμῖν εἶναι δοκοῦσιν, ἀλλὰ καὶ οἵτινες ἂν ἔλαττον ὑπὸ τῶν προσηκόντων ἔχοντες ἀνέχεσθαι μὴ δύνωνται· ἐπειδὴ μέντοι, ὦ ἄνδρες δικασταὶ, πολλῶν χρημάτων ἀπεστέρηνται, καὶ πολλὰ καὶ δεινὰ πεπονθότες ὑφ᾽ ὧν ἥκιστα ἐχρῆν ἐπ᾽ ἐμὲ κηδεστὴν ὄντα

[1] τε om. T.

ΚΑΤΑ ΔΙΟΓΕΙΤΟΝΟΣ] Hanc longe venustissimam et optimam (si Photio fides) orationum Lysiæ conservarunt ii, quorum opera usi sumus in argumento adornando. Quorum hic tamen pro more potiora nonnulla solummodo prælibavit. Memorat etiam idem alibi, sc. p. 381: Πρὸς Διογείτονα περὶ ἐπιτροπῆς, Photius, quo pacto fere Dionys. Halic. ἔστι δὲ λόγος ἐκ τῶν ἐπιτροπικῶν, ἐπιγραφόμενος κατὰ Διογείτονος, ὑπόθεσιν δὲ ἔχων τοιάνδε Διόδοτος εἷς κ. τ. λ. Vid. Victor. Var. Lect. XXIV. 5. TAYLOR.

Εἰδὼς ὅτι οὐ] Melius σχ. Hermog. εἰδώς τε ὅτι. TAYLOR. Ferri potest. Melius tamen putarem εἰδώς τε ὅτι etc. ut connectatur cum νομίζων, quod præcessit. MARKLAND.

Ἀπεστέρηνται] Malim ἀπεστερημένοι. REISK.

Ἐπ᾽ ἐπὲ] Ἐπ᾽ ἐμὲ δὲ, Hermog. schol. F. ἐπ᾽ ἐμὲ δή. TAYLOR.

κατέφυγον, ἀνάγκη μοι γεγένηται εἰπεῖν ὑπὲρ αὐτῶν. ἔχω δὲ τούτων μὲν ἀδελφὴν, Διογείτονος δὲ [1] θυγατριδῆν, καὶ πολλὰ ἀμφοτέρων δεηθεὶς, τὸ μὲν πρῶτον ἔπεισα [2] αὐτοὺς [3] τοῖς φίλοις ἐπιτρέψαι [4] δίαιταν, περὶ πολλοῦ ποιούμενος τὰ τούτων πράγματα μηδένα τῶν ἄλλων εἰδέναι· ἐπεὶ δὲ [5] ὁ Διογείτων ἃ φανερῶς ἔχων [6] ἐξηλέγχετο, περὶ τούτων οὐδενὶ τῶν αὑτοῦ φίλων ἐτόλμα πείθεσθαι, ἀλλ' ἐβουλήθη καὶ φεύγειν δίκας καὶ μὴ οὔσας διώκειν καὶ ὑπομεῖναι τοὺς ἐσχάτους κινδύνους μᾶλλον ἢ τὰ δίκαια ποιήσας ἀπηλ- 894
λάχθαι τῶν πρὸς τούτους ἐγκλημάτων, ὑμῶν δέομαι, ἐὰν μὲν ἀποδείξω οὕτως αἰσχρῶς αὐτοὺς ἐπιτετροπευμένους ὑπὸ τοῦ πάππου ὡς οὐδεὶς πώποτε ὑπὸ τῶν οὐδὲν προσηκόντων ἐν τῇ πόλει, βοηθεῖν αὐτοῖς τὰ δίκαια· εἰ δὲ μὴ, τούτῳ μὲν ἅπαντα πιστεύειν, ἡμᾶς δὲ εἰς τὸν λοιπὸν χρόνον ἡγεῖσθαι χείρους εἶναι. ἐξ ἀρχῆς δ' ὑμᾶς περὶ αὐτῶν διδάξαι πειράσομαι.

209 β'. Ἀδελφοὶ ἦσαν, ὦ ἄνδρες δικασταὶ, Διόδοτος καὶ Διογείτων ὁμοπάτριοι καὶ ὁμομήτριοι, καὶ τὴν μὲν ἀφανῆ οὐσίαν ἐνείμαντο, τῆς δὲ φανερᾶς ἐκοινώνουν. ἐργασαμένου δὲ Διοδότου κατ' ἐμπορίαν πολλὰ χρήματα, πείθει αὐτὸν Διογείτων λαβεῖν τὴν ἑαυτοῦ θυγατέρα, ἥπερ ἦν αὐτῷ μόνη. καὶ γίνονται αὐτῷ δύο υἱοὶ καὶ θυγάτηρ. χρόνῳ δὲ ὕστερον καταλεγεὶς Διόδοτος μετὰ Θρασύλλου τοῦ ἐπὶ τῶν ὁπλιτῶν, καλέσας τὴν ἑαυτοῦ γυναῖκα ἀδελφιδῆν οὖσαν, καὶ τὸν ἐκείνης μὲν πατέρα, αὑτοῦ δὲ κηδεστὴν καὶ ἀδελφὸν ὁμοπάτριον, πάππον δὲ τῶν παιδίων καὶ θεῖον, ἡγούμενος διὰ ταύτας τὰς [7] ἀνάγκας οὐδενὶ μᾶλλον προσήκειν ἑτέρῳ εἰς τοὺς παῖδας [8] αὑτοῦ ἐπιτρόπῳ γενέσθαι, διαθήκην αὐτῷ

[1] ἀδελφιδῆν T. R. A. [2] αὐτοὺς om. T. R. A. [3] τοὺς φίλους T. [4] διαιτᾶν T. R. A. [5] ὁ om. T. R. A. [6] ἐξήλεγκτο T. R. A. [7] ἀναγκαιότητας T. R. A. [8] αὑτοῦ om. T. R. A.

Ἀδελφιδῆν] Uxor actoris erat filia Diodoti, qui erat frater Diogitonis, suscepta e filia Diogitonis, neptis itaque ejusdem Diogitonis, et e filia, et e fratre. Potest ergo et hæc lectio probari, et altera, quæ aliis in libris est, θυγατριδῆν. Reisk.

Τοὺς φίλους] Ita editi, sed et legi *posse* τοῖς φίλοις monuit Sylburgius. Ego autem *oportere*. Atque ita legunt Dionysii Codd. Regii Parisienses, et Hermogenis σχστης Græcus, qui etiam habet ἐπιτρέψαι τὴν δίαιταν. Taylor.

Μὴ οὔσας διώκειν] Vid. Ulpian. ad Demosth. contra Midiam, §. κε'. *denuo lege experiri.* Taylor. Intelligo, exceptione pugnare. Auger.

Ἀδελφοὶ ἦσαν κ. τ. λ.] Vid. Enarrat. Hermog. ad l. 1. de Ideis p. 381., Victor. Var. Lect. XXIV. 5. Taylor.

895 δίδωσι καὶ πέντε τάλαντα ἀργυρίου παρακαταθήκην· [1] ναυ-
τικὰ δὲ ἐπέδειξεν ἐκδεδομένα ἑπτὰ τάλαντα καὶ τετταρά-
896 κοντα μνᾶς, [2] δισχιλίας δὲ ὀφειλομένας ἐν Χεῤῥονήσῳ. ἐπέ-
σκηψε δὲ, ἐάν τι πάθῃ, τάλαντον μὲν ἐπιδοῦναι τῇ γυναικὶ
καὶ τὰ ἐν τῷ δωματίῳ δοῦναι, τάλαντον δὲ τῇ θυγατρί.
κατέλιπε [3] [δὲ] καὶ εἴκοσι μνᾶς [4] τῇ γυναικὶ καὶ τριά-
κοντα στατῆρας Κυζικηνούς. ταῦτα δὲ πράξας καὶ οἴκοι
ἀντίγραφα καταλιπὼν, ᾤχετο στρατευσόμενος μετὰ Θρα-
σύλλου.

897 γʹ. Ἀποθανόντος δὲ ἐκείνου ἐν Ἐφέσῳ, Διογείτων τὴν μὲν
θυγατέρα ἔκρυπτε τὸν θάνατον τοῦ ἀνδρὸς, καὶ τὰ γράμ-

[1] αὐτίκα T. [2] χιλίας T. R. A. [3] [δὲ] om. T. R. A. [4] τῇ γυναικὶ om. A.

Αὐτίκα δὲ ἐπέδειξεν etc.] Lege: ναυτικὰ δὲ ἐπέδειξεν etc. sic infra: φάσκων τὰ ναυτικὰ χρήματα δεῖν ἐκ τούτων τῶν γραμματείων ἀποκομίσασθαι. et paulo post: ἔτι τοίνυν ἐξήλεγχεν αὐτὸν ἑπτὰ τάλαντα κεκομισμένον ναυτικὰ, καὶ τετρακισχιλίας δραχμάς (sic et ibi legendum rursus, pro αὐτίκα). Ναυτικὰ τάλαντα et χρήματα ναυτικὰ sunt, quæ ἐπὶ τόκῳ ναυτικῷ ἐκδίδονται. Diog. Laertius init. Menippi: καὶ γὰρ ναυτικῷ τόκῳ δανείζειν καὶ ἐξενεχυριάζειν. quod δανείζειν ναυτικῶς vocat Idem in Zenone. Demosthenes Orat. I. contra Aphobum, ubi recenset opes a patre suo sibi relictas, inter cætera refert: ναυτικὰ δὲ ἑβδομήκοντα μνᾶς ἔκδοσιν παρὰ Ξούθῳ. Idem in Orat. adv. Lacriti paragraph. δανείζεσθαι ἐν τῷ ἐμπορίῳ ναυτικὰ χρήματα. Proprie vero ἐκδεδομένα de pecunia in *Fœnore nautico* posita. vide Harpocration. V. Ἔκδοσις, et Salmasium de Modo Usurar. p. 192. MARKLAND.

Χιλίας] Quid? Anne μνᾶς, quod proxime præcedit? Cave credas. Maxime si cum Cant. δισχιλίας restituendum est. Rarissime, credo, cum XVI. vel etiam XXXIII. talenta dinumeranda veniunt (tot enim vel χίλιαι vel δισχίλιαι minæ conficiunt), per minas numerant. Tum autem præterea hujusmodi census ultra privati hominis, Diogitonis sc. fortunas excresceret: neque porro credibile est hominem frugi et mercatura exercitatissimum domi solummodo habere ad XII. talenta: foris mutuo data ad XXXIII. Non ausim pronunciare hic subesse δραχμάς. Sed subesse solet, et numeralia ita solute et nude posita sæpissime pro drachmis intelliguntur. Ita Midias injuriam, quam Demostheni intulerat, MMM. drachmis redemit. Vide tamen, quo pacto eam rem retulere Βιόγραφοι. Ἐνέδωκε τοῖς ὑπὲρ αὐτοῦ δεομένοις· αἱ δὲ τρισχίλιαι καθ' ἑαυτὰς οὐκ ἄν μοι δοκοῦσι τὴν Δημοσθένους ἀμβλῦναι πικρίαν, ἐλπίζοντες καὶ δυναμένου περιγενέσθαι, Plutarch. Μειδίαν δὲ τὸν Ἀναγυράσιον πλήξαντα αὐτὸν ἐν τῷ θεάτρῳ χορηγοῦντα, εἰς κρίσιν καταστήσας λαβὼν τρισχιλίας ἀφῆκε τῆς δίκης, Auctor Vit. Rhet. apud eundem Plutarchum. TAYLOR.

Τάλαντον μὲν ἐπιδοῦναι τῇ γυναικὶ, καὶ τὰ ἐν τῷ δωματίῳ δοῦναι] Vel alterum ex Infinitivis delendum, vel sedes eorum mutandas arbitror. ἐπιδοῦναι enim accessionem denotat, *insuper dare*; et ultimo loco poni debere videtur, quando δοῦναι in eadem sententia occurrit. Sequitur: τάλαντον δὲ τῇ θυγατρὶ κατέλιπε, καὶ εἴκοσι μνᾶς τῇ γυναικὶ, etc. Duas ultimas voces cum Schotto omnino tollendas censeo. de Uxore enim jam ante absolverat, et ad Filiam transierat. eas videtur repetisse Librarius ex versu præcedenti. MARKLAND. τῇ γυναικὶ dele cum Schotto. TAYLOR. Sed cave ne faxis. Necessariæ sunt, omnique modo servandæ. Sed sic leg. et distinguendum est, ut distinxi: τῇ θυγατρὶ, *filiæ talentum in dotem constitui.* κατέλιπε δὲ καὶ εἴκοσι μνᾶς τῇ γυναικὶ, sed et præter illud talentum, quod uxori in dotem constituit, si iterum nubere alicui vellet, eidem uxori suæ reliquit viginti minas—in usus vel sumptus quotidianos. REISK.

Διογείτων τὴν μὲν θυγατέρα ἔκρυπτε τὸν θάνατον τοῦ ἀνδρὸς] *Diogiton quidem filiam de mariti morte celavit.* Hinc illustratur Matthæus XIII. 44. θησαυρῷ—ὃν εὑρὼν ἄνθρωπος ἔκρυψε. *quem qui invenit homo, abscondit,* Vulgat. obscure. Vult Evangelista, *tacuit,* nihil dixit, πάντας ἔκρυψε

ματα λαμβάνει ἃ κατέλιπε σεσημασμένα, φάσκων τὰ ναυτικὰ χρήματα δεῖν ἐκ τούτων τῶν γραμματείων κομίσασθαι. ἐπεὶ δὲ τῷ χρόνῳ ἐδήλωσε τὸν θάνατον αὐτοῖς καὶ ἐποίησαν τὰ νομιζόμενα, [1]τὸν μὲν πρῶτον ἐνιαυτὸν ἐν Πειραιεῖ διητῶντο· ἅπαντα γὰρ αὐτοῦ κατελέλειπτο τὰ ἐπιτήδεια· ἐκείνων δὲ ὑπολιπόντων, τοὺς μὲν παῖδας εἰς ἄστυ ἀναπέμπει, τὴν δὲ μητέρα αὐτῶν ἐκδίδωσιν ἐπιδοὺς πεντακισχιλίας δραχμὰς, χιλίαις ἔλαττον ὧν ὁ ἀνὴρ [2]αὐτῆς ἔδωκεν. ὀγδόῳ δ' ἔτει δοκιμασθέντος μετὰ ταῦτα τοῦ πρεσβυτέρου τοῖν μειρακίοιν, καλέσας αὐτοὺς εἶπε Διογείτων, ὅτι καταλίποι αὐτοῖς ὁ πατὴρ εἴκοσι μνᾶς ἀργυρίου καὶ τριάκοντα στατῆρας. ἐγὼ οὖν πολλὰ τῶν ἐμαυτοῦ 898
δεδαπάνηκα εἰς τὴν ὑμετέραν τροφήν. καὶ ἕως μὲν εἶχον, οὐδέν μοι διέφερε· [3]νυνὶ δὲ καὶ αὐτὸς ἀπόρως διάκειμαι· σὺ οὖν, ἐπειδὴ δεδοκίμασαι καὶ ἀνὴρ γεγένησαι, σκόπει αὐτὸς ἤδη πόθεν ἕξεις τὰ ἐπιτήδεια.

δ'. Ταῦτ' ἀκούσαντες ἐκπεπληγμένοι καὶ δακρύοντες ᾤχοντο πρὸς τὴν μητέρα, καὶ παραλαβόντες ἐκείνην ἧκον πρὸς ἐμὲ, οἰκτρῶς ὑπὸ τοῦ πάθους διακείμενοι καὶ ἀθλίως ἐκπεπτωκότες, κλαίοντες καὶ παρακαλοῦντές με μὴ περιϊδεῖν αὐτοὺς ἀποστερηθέντας τῶν πατρῴων μηδ' εἰς πτωχείαν καταστάντας, ὑβρισμένους ὑφ' ὧν ἥκιστα ἐχρῆν, ἀλλὰ βοηθῆσαι καὶ τῆς ἀδελφῆς [4]ἕνεκα καὶ σφῶν [5]αὐτῶν. πολλὰ ἂν εἴη λέγειν ὅσον πένθος ἐν τῇ ἐμῇ οἰκίᾳ ἦν ἐν ἐκείνῳ τῷ χρόνῳ. τελευτῶσα δὲ ἡ μήτηρ αὐτῶν ἠντιβόλει με καὶ ἱκέτευε συναγαγεῖν αὐτῆς τὸν πατέρα καὶ τοὺς φίλους, εἰποῦσα ὅτι, εἰ καὶ πρότερον μὴ εἴθισται λέγειν ἐν ἀνδράσι, τὸ μέγεθος αὐτὴν ἀναγκάσει τῶν συμφορῶν περὶ τῶν σφε-

[1] τὸ T. [2] αὐτῇ ἐπέδωκεν A. [3] νῦν T. R. A.
[4] οὕνεκα T. R. A. [5] αὐτῶν om. T.

τὸ εὕρημα, *omnes celavit de re inventa:* quemadmodum hoc loco Lysias. Xenophon Ἀναβ. I. 9. 19. καὶ ἃ πέπατο αὖ τις, ἥκιστα Κῦρον ἔκρυπτεν. *et quæ quisque possideret, ea Cyrum haudquaquam celarent.* MARKLAND.

Ὑπολιπόντων] Et ὑπολιπόντων retineri potest, et ἐπιλιπόντων substitui. SYLBURG. TAYLOR. Ego equidem ἐπιλειπόντων malim. REISK. Malim cum viris doctioribus ἐπιλειπόντων. AUGER.

Αὐτῆς] Αὐτῇ. SYLBURG. Ego malim αὐτῇ ἐπέδωκεν. Nam in ejusmodi re verbum proprium est ἐπιδιδόναι, non simplex διδόναι. REISK.

Αὐτῆς τὸν πατέρα] Scribe: αὑτῆς. *suum patrem.* MARKLAND. et *in edit. min.* TAYLOR.

Ἀναγκάσει] Si quis malit ἀναγκάζει, per me licet. SYLBURG. Malit Scalig.

τέρων κακῶν δηλῶσαι πάντα πρὸς [1] ἡμᾶς. ἐλθὼν δ' ἐγὼ
ἠγανάκτουν μὲν πρὸς Ἡγήμονα τὸν ἔχοντα τὴν τούτου θυ-
899 γατέρα, λόγους δ' ἐποιούμην πρὸς τοὺς ἄλλους ἐπιτηδείους,
ἠξίουν [2] δὲ τοῦτον εἰς ἔλεγχον ἰέναι περὶ τῶν πραγμάτων.
Διογείτων δὲ τὸ μὲν πρῶτον οὐκ ἤθελε, τελευτῶν δὲ ὑπὸ τῶν
φίλων ἠναγκάσθη.

ε'. Ἐπειδὴ δὲ συνήλθομεν, ἤρετο αὐτὸν ἡ γυνή, τίνα
ποτὲ ψυχὴν ἔχων ἀξιοῖ περὶ τῶν παίδων τοιαύτῃ γνώμῃ
χρῆσθαι, ἀδελφὸς μὲν ὢν τοῦ πατρὸς αὐτῶν, πατὴρ δ'
ἐμός, θεῖος δὲ αὐτοῖς καὶ πάππος. καὶ εἰ μηδένα ἀν- 210
θρώπων ᾐσχύνου, τοὺς θεοὺς ἐχρῆν σε φησὶ
δεδιέναι· ὃς ἔλαβες μέν, ὅτ' ἐκεῖνος [3] ἐξέπλει,
900 πέντε τάλαντα [4] παρ' αὐτοῦ [5] παρακαταθήκην.
καὶ περὶ τούτων ἐγὼ θέλω τοὺς παῖδας παραστη-
901 σαμένη καὶ τούτους [6] καὶ τοὺς ὕστερον ἐμαυτῇ

[1] ὑμᾶς T. A. [2] δὲ καὶ τοῦτον A. [3] ἐξέλιπε T. [4] παρ' αὐτοῦ om. R. A. [5] καταθήκην T. [6] καὶ τοὺς καὶ T.

Taylor. Ego aut ἀναγκάζει aut ἀναγκάσαι in optativo aor. 1. præferam. Reisk.

Τοῦτον] Malim καὶ τοῦτον. Idem.

Ἐξέλιπε] Potius Ἐξέπλει. Taylor. Lege literis transpositis, ἐξέπλει: quod supra dixit ᾤχετο στρατευσόμενος. Dion. Halicarnasseus in Argumento Orationis: Διόδοτος, μέλλων ἐκπλεῖν εἰς τὴν Ἀσίαν ἐπὶ Γλαυκίππου ἄρχοντος, διαθήκας ἐποιήσατο. Patet quoque emendatio ex voce ἔλαβες. si enim scripsisset ἐξέλιπε, dixisse debuit εἶχες, non ἔλαβες. Talis literarum confusio corrupit, nisi fallor, locum Actor. XVII. 14. Εὐθέως δὲ τότε τὸν Παῦλον ἐξαπέστειλαν οἱ ἀδελφοὶ πορεύεσθαι ὡς ἐπὶ τὴν θάλασσαν. Diu suspicatus fueram proprium nomen Urbis alicujus vel Regionis latere sub isto θάλασσαν. non enim Lucas de Paulo solet tam vage et indeterminate scribere, ut ad *mare* eum mitti dicat sine mentione *cujusnam* maris, vel quid ibi *facturus*, et *quo* deinde profecturus. Si Lucas scripsisset: *dimiserunt Paulum, ut iret ad* montes. nonne aliquis quæreret, ad *quosnam* montes, et *quid* ibi *agere* destinaret? Pro θάλασσαν igitur conjeceram Θεσσαλίαν: quam Conjecturam firmatam deprehendi a Bezæ vetustissimo Cod. Cantabrigiensi, com. 15. οἱ δὲ καθιστῶντες τὸν Παῦλον ἤγαγον αὐτὸν ἕως Ἀθηνῶν. deinde Codex iste addit: παρῆλθε δὲ τὴν Θεσσαλίαν· ἐκωλύθη γὰρ εἰς αὐτοὺς κηρύξαι τὸν λόγον. *præteriit autem* Thessaliam: *prohibebatur enim illis prædicare verbum.* unde clare patet Θεσσαλίαν antiquitus lectam fuisse in com. præcedenti: aliter enim ineptum et extra rem erit istud scholion. quare enim Paulum in *Thessalia* potissimum prohibitum fuisse prædicare narraret Annotator iste, si nulla ante facta *Thessaliæ* mentio? cur non in *Bœotia*, per quam, vel in *Attica*, per partem cujus, æque necesse habuit transire, antequam Athenas perveniret? Lucas igitur hoc dicere mihi videtur: Christiani Berœenses dimittebant Paulum proposito eundi in *Thessaliam*, ut ibi Christum prædicaret. quando autem Thessaliam advenit, prohibitus forte fuit a Sp. Sancto (vide c. XVI. 6. 7.), quia tunc Athenas destinabatur. recta igitur Athenas pergit, usque quas eum comitati sunt deductores Berœenses. Ὡς denotat *propositum*, ut apud Xenophontem Ἀναβ. I. 1. 3. συλλαμβάνει Κῦρον, ὡς ἀποκτενῶν. *consilio interficiendi*. et in Orat. de Agesil. p. 652. ἀθροίζων πολὺ στράτευμα, ὡς ἐπὶ τοὺς Ἕλληνας. Thucydides V. 3. ἄρας περιέπλει τὸν Ἄθω, ὡς ἐπὶ τὴν Ἀμφίπολιν. vide Segm. VI. et ita passim Ille, et cæteri fere Græci Scriptores. Porro: idem error insederat Max. Tyrium Dissert. XXX. p. 316. ed. Cantabr. ἡ θάλαττα ἐπικλύζεται, ἡ Αἴτνη φλέγεται. sed restituit Stephanus, ἡ Θετταλία ἐπικλύζεται, ex pari loco Dissert. XXV. Markland.

Καὶ τοὺς καὶ ὕστερον] F. καὶ τοὺς ὕστερον

γενομένους, ὀμόσαι ὅπου ἂν αὐτὸς λέγῃς. καί-
τοι οὐχ οὕτως ἐγώ εἰμι ἀθλία, οὐδ' οὕτω περὶ
πολλοῦ ποιοῦμαι χρήματα, ὥστ' ἐπιορκήσασα
κατὰ τῶν παίδων τῶν ἐμαυτῆς τὸν βίον κατα-
λιπεῖν, ἀδίκως δὲ ἀφελέσθαι τὴν τοῦ πατρὸς
οὐσίαν. ἔτι τοίνυν ἐξήλεγχεν αὐτὸν ἑπτὰ τάλαντα κεκο-
μισμένον [1] ναυτικὰ καὶ τετρακισχιλίας δραχμάς. καὶ τού-
των τὰ γράμματα [2] ἀπέδειξεν· ἐν γὰρ τῇ [3] διοικίσει, ὅτ' ἐκ
Κολυττοῦ διῳκίζετο εἰς τὴν Φαίδρου οἰκίαν, τοὺς παῖδας ἐπι- 902
τυχόντας ἐκβεβλημένῳ [4] τῳ βιβλίῳ ἐνεγκεῖν πρὸς ταύτην.
ἀπέφηνε δ' αὐτὸν [5] ἑκατὸν μνᾶς κεκομισμένον ἐγγύους ἐπὶ
τόκῳ δεδανεισμένας, καὶ ἑτέρας δισχιλίας δραχμὰς καὶ
ἔπιπλα πολλοῦ ἄξια· φοιτᾶν δὲ καὶ σῖτον αὐτοῖς ἐκ Χερ-
ρονήσου καθ' ἕκαστον ἐνιαυτόν. ἔπειτα σὺ ἐτόλμησας
ἔφη εἰπεῖν ἔχων τοσαῦτα χρήματα, ὡς δισχι- 903
λίας δραχμὰς ὁ τούτων πατὴρ κατέλιπε καὶ
τριάκοντα στατῆρας; [6] ἃ παρ' ἐμοὶ [7] καταλει-

[1] αὐτίκα T. [2] ἐπέδειξεν T. R. A. [3] διοικήσει T.
[4] τῳ om. T. R. A. [5] εἴκοσι A. [6] ἅπερ ἐμοὶ T. τούσδε ἐμοὶ A.
[7] καταλειφθέντας A.

κ. τ. λ. Taylor. Scribe, καὶ τοὺς ὕστερον, omisso ultimo καί. Paulo post pro αὐτίκα supra monui legendum ναυτικά. Markland.

Ὅπου ἂν αὐτὸς λέγῃς] F. ὅπου ἂν αὐτὸς θέλῃς. Taylor. Bene habet λέγῃς, tantundem valens atque κελεύῃς. *apud quodcunque tandem tribunal*, vel *templum, tu mihi aias jurandum esse*, h. e. me jubeas jurare. Reisk.

Ἑπτὰ τάλαντα — καὶ τετρακισχιλίας δραχμὰς] Supra ἑπτὰ τάλαντα, καὶ τετταράκοντα μνᾶς. Sed perinde est, ut alibi in superioribus notavi. Ita et hæc quoque concordant, quæ modo dicenda sunt: σὺ ἐτόλμησας εἰπεῖν — ὡς δισχιλίας δραχμὰς ὁ τούτων πατὴρ κατέλιπε, καὶ τριάκοντα στατῆρας. cum prius dixerat: εἶπε Διογείτων, ὅτι καταλίποι αὐτοῖς ὁ πατὴρ εἴκοσι μνᾶς ἀργυρίου, καὶ τριάκοντα στατῆρας. Taylor.

Τῇ διοικήσει] Imo τῇ διοικίσει. nec videri debet hoc ταυτολόγον, ut nec illud Æschinis p. 152. ed. Lips. περὶ τῶν διατριβῶν, ἃς συνδιέτριβον ἀλλήλοις. Mox legitur in cod. Helmst. τῷ βιβλίῳ. sed melius fortasse τῳ (enclitice) βιβλ., id est, τινι. Matthæi.

Διῳκίζετο] Ad Diogitonem redit. Reisk.

Τοὺς παῖδας] Συνέβη τοὺς παῖδας, aut simile. Schott. Quod verum videtur. Markland. Nihil hic deest, sed est oratio obliqua, qualis est referentium ab aliis dicta, apta ex ἔφη præmisso et hic subaudiendo. *aiebat illa mulier, servos Diogitonis reperisse schedas inter transmigrandum ex alia domo in aliam abjectas*, vel *amissas, illasque ad se attulisse*, mulierem puta hæc aientem. Reisk.

Πρὸς ταύτην] Imo vero πρὸς αὐτὴν vel πρὸς ἑαυτήν. Idem.

Ἐγγύους] F. ἐγγείους. creditas super fundis in terra continente. Idem.

Ἐπὶ τόκῳ] Subandi τῷ εἰωθότι, vel εἰθισμένῳ. opponitur hoc fœnus τοῖς ναυτικοῖς χρήμασι. Fœnus nauticum multo erat gravius, quam terrestre, seu illud, quod penditur de fundis et immobilibus. Idem.

Ἑτέρας δισχιλίας δραχμὰς] Mirum ni hæ sint ipsissimæ MM. drachmæ (ut legendum esse supra monui), quæ ne pro totidem *minis* computentur, dudum intercessi. Taylor.

Ἅπερ ἐμοὶ καταλειφθέντα, ἐκείνου τελευτήσαντος ἐξέωκας etc.] Lego: ἅπερ εἰ μὴ κατελείφθη, εἶτα ἐκείνου τελευτήσαντος ἐξέωκας ἂν θυγατριδοῦς ὄντας — ἃς ἐκεῖνος παρά σοι κατέθετο; *quæ opes si non relictæ fuis-*

φθέντα ἐκείνου τελευτήσαντος [1]ἐγώ σοι ἔδωκα. καὶ [2]ἐκβαλεῖν τούτους [3]ἠξίωκας θυγατριδοῦς ὄντας ἐκ τῆς οἰκίας τῆς αὐτῶν ἐν τριβωνίοις, ἀνυποδήτους, οὐ μετὰ ἀκολούθου, οὐ μετὰ στρωμάτων, οὐ μετὰ ἱματίων, οὐ μετὰ τῶν ἐπίπλων ἃ ὁ πατὴρ αὐτοῖς κατέλιπεν, οὐδὲ μετὰ τῶν παρακαταθηκῶν ἃς ἐκεῖνος παρά σοι κατέθετο. καὶ νῦν τοὺς μὲν ἐκ τῆς μητρυιᾶς τῆς ἐμῆς παιδεύεις ἐν πολλοῖς χρήμασιν εὐδαίμονας ὄντας· καὶ ταῦτα μὲν καλῶς ποιεῖς· τοὺς δ' ἐμοὺς ἀδικεῖς, οὓς ἀτίμως ἐκ τῆς οἰκίας ἐκβαλὼν ἀντὶ πλουσίων πτωχοὺς ἀποδεῖξαι προθυμῇ. καὶ ἐπὶ τοιούτοις ἔργοις οὔτε τοὺς θεοὺς φοβῇ, οὔτε ἐμὲ τὴν σὴν θυγατέρα [4]τὴν συνειδυῖαν αἰσχύνῃ, οὔτε τοῦ ἀδελφοῦ μέμνησαι, ἀλλὰ πάντας ἡμᾶς περὶ ἐλάττονος ποιῇ χρημάτων. τότε μὲν οὖν, ὦ
904 ἄνδρες δικασταὶ, πολλῶν καὶ δεινῶν ὑπὸ τῆς γυναικὸς ῥηθέντων, οὕτω διετέθημεν [5]πάντες οἱ παρόντες ὑπὸ τῶν τούτῳ πεπραγμένων καὶ τῶν λόγων τῶν ἐκείνης, ὁρῶντες μὲν τοὺς παῖδας οἷα ἦσαν πεπονθότες, ἀναμιμνησκόμενοι δὲ τοῦ ἀποθανόντος, ὡς ἀνάξιον τῆς οὐσίας τὸν ἐπίτροπον κατέλιπεν, ἐνθυμούμενοι δὲ ὡς χαλεπὸν ἐξευρεῖν ὅτῳ χρὴ περὶ τῶν ἑαυτοῦ πιστεῦσαι τινὰ, ὥστε, ὦ ἄνδρες δικασταὶ, μηδένα τῶν παρόντων δύνασθαι φθέγξασθαι, ἀλλὰ καὶ δακρύοντας μηδὲν ἧττον τῶν πεπονθότων ἀπιόντας οἴχεσθαι σιωπῇ. [6]πρῶτον μὲν οὖν τούτων ἀνάβητέ μοι μάρτυρες.

[7]ΜΑΡΤΥΡΕΣ.

ϛ'. Ἀξιῶ τοίνυν, ὦ ἄνδρες δικασταὶ, τῷ λογισμῷ προσέχειν τὴν νοῦν, ἵνα τοὺς μὲν νεανίσκους διὰ τὸ μέγεθος τῶν συμφορῶν ἐλεήσητε, τοῦτον δ' ἅπασι τοῖς πολίταις ἄξιον

[1] ἐγώ σοι --- τούτους om. T. A. [2] ἐκβάλλειν R. [3] ἐξέωκας T. A. [4] τὴν συνειδυῖαν om. T. [5] πάντες om. T. [6] πρῶτον --- μάρτυρες om. A. [7] ΜΑΡΤΥΡΕΣ. om. T. R. A.

sent, num ideo tu, illo mortuo, nepotes tuos ex filia ejiceres ex ædibus suis — sine fideicommissis, quæ pater eorum apud te deposuerat? Hunc locum, ut mutilum, asteriscis insignivit Vanderheidius, præeunte Schotto: sed sana et integra jam omnia esse puto. MARKLAND.

Τοῦτον δ' ἅπασι τοῖς πολίταις] Opinor: δ' ἐν ἅπασι τοῖς πολίταις. *inter omnes cives.* IDEM.

ὀργῆς ἡγήσησθε. εἰς τοσαύτην [1] γὰρ ὑποψίαν Διογείτων
πάντας ἀνθρώπους εἰς ἀλλήλους καθίστησιν, ὥστε μηδὲ
ζῶντας μηδὲ ἀποθνήσκοντας μηδὲν μᾶλλον τοῖς οἰκειοτάτοις
ἢ τοῖς ἐχθίστοις πιστεύειν· ὃς ἐτόλμησε τὰ μὲν ἔξαρνος γε-
νέσθαι, τὰ δὲ τελευτῶν ὁμολογήσας [2] ἔχειν, εἰς δύο παῖδας
καὶ ἀδελφὴν λῆμμα καὶ ἀνάλωμα ἐν ὀκτὼ ἔτεσιν ἑπτὰ 905
τάλαντα ἀργυρίου καὶ ἑπτακισχιλίας δραχμὰς ἀποδεῖξαι.
καὶ εἰς τοῦτο ἦλθεν ἀναισχυντίας, ὥστε οὐκ ἔχων [3] ὅποι
στρέψειε τὰ χρήματα, εἰς ὄψον μὲν δυοῖν παιδίοιν καὶ
ἀδελφῇ πέντε ὀβολοὺς τῆς ἡμέρας ἐλογίζετο, εἰς ὑποδήματα
δὲ καὶ εἰς γναφεῖον [4] [ἱμάτια] καὶ εἰς κουρεῖον οὐκ ἦν αὐτῷ
κατὰ μῆνα οὐδὲ κατ' ἐνιαυτὸν γεγραμμένα, συλλήβδην δὲ
παντὸς τοῦ χρόνου πλεῖον ἢ τάλαντον [5] ἀργυρίου. εἰς δὲ τὸ
μνῆμα τοῦ πατρὸς οὐκ ἀναλώσας πέντε καὶ εἴκοσι μνᾶς ἐκ
πεντακισχιλίων δραχμῶν, τὸ μὲν ἥμισυ αὐτῶν τίθησι τού-
τοις [6] λελογίσθαι. εἰς Διονύσια τοίνυν, ὦ ἄνδρες δικασταί,
— οὐκ ἄτοπον γάρ μοι δοκεῖ καὶ περὶ τούτου μνησθῆναι — 906
211 ἑκκαίδεκα δραχμῶν ἀπέφανειν ἐωνημένον ἀρνίον, καὶ τούτων
τὰς ὀκτὼ δραχμὰς ἐλογίζετο τοῖς παισίν· ἐφ' [7] ὧν ἡμεῖς
οὐχ ἥκιστα ὠργίσθημεν. οὕτως, ὦ ἄνδρες, ἐν ταῖς μεγάλαις
ζημίαις ἐνίοτε οὐχ ἧττον τὰ μικρὰ λυπεῖ τοὺς ἀδικουμένους·
λίαν γὰρ φανερὰν τὴν πονηρίαν τῶν ἀδικούντων ἐπιδείκνυ-
σιν. εἰς τοίνυν τὰς ἄλλας ἑορτὰς καὶ θυσίας ἐλογίσατο
αὐτοῖς πλέον ἢ τετρακισχιλίας δραχμὰς ἀνηλωμένας, ἕτερά
τε παμπληθῆ, ἃ πρὸς τὸ κεφάλαιον συνελογίζετο, ὥσπερ

[1] δ' T. [2] , ἐλθεῖν εἰς T. A. [3] ὅπου T. R. A.
[4] uncos om. T. ἱμάτια om. A. [5] ἀργυρίου λελόγισται. A.
[6] λελογίσθαι om. A. [7] ᾧ A.

Ἢ τοῖς ἐχθίστοις πιστεύειν] Forte πιστεύσειν, ut de re futura. nisi malis πιστεῦσαι δεῖν. IDEM. Malim πιστεύσειν. AUGER.

Ὁμολογήσας ἔχειν, εἰς δύο παῖδας —] Sic correxi. Sententia est: Tandem aliquando vix et ægre fassus, se habere, (vel penes se esse). retulit in acceptis expensisque pro duobus liberis eorumque una sorore —. REISK.

Ὁμόλογ., ἐλθεῖν] Junge cum ἀποδεῖξαι, *venire ostendere*, Gallice *venir montrer*. AUGER.

Εἰς γναφεῖον ἱμάτια] Εἰς γναφείαν καὶ εἰς ἱμάτια. SCAL. Sylburgius legit: εἰς γναφείαν ἱματίων. quod si admittatur, legi quoque debet κουρὰν, *tonsuram*, pro κουρεῖον. Forte: καὶ εἰς γναφεῖον, ἱμάτιά τε, καὶ εἰς κουρεῖον, οὐκ ἦν etc. Mox, pro τὸ μὲν ἥμισυ αὐτῶν τίθησι τούτοις λελογίσθαι, Schottus conjicit αὐτὰς. perperam: et recte habet αὐτῶν. sic infra: τὸ ἥμισυ τούτων τοῖς ὀρφανοῖς οὖσι λελόγισται. MARKLAND.

Αὐτῶν τίθησι τούτοις λελογίσθαι] Videtur sic leg. τὸ μὲν ἥμισυ αὐτῷ τίθησι. *partem dimidiam sibi imputat*, hoc est, alteras XXV. minas de suo erogasse, et fratris memoriæ condonasse, τὸ δὲ τούτοις λελόγισται, alteras autem XXV. minas illis, nepotibus suis e filia et fratre, imputat, et in rationem expensorum refert. REISK.

Ἐφ' ὧν] Rectius ἐφ' ᾧ. SYLBURG.

διὰ τοῦτο ἐπίτροπος τῶν παίδων καταλειφθεὶς, ἵνα γράμματα αὐτοῖς ἀντὶ τῶν χρημάτων ἀποδείξειε καὶ πενεστάτους ἀντὶ πλουσίων ἀποφήνειε, καὶ ἵνα, εἰ μέν τις αὐτοῖς πατρικὸς ἐχθρὸς ἦν, ἐκείνου μὲν ἐπιλάθωνται, τῷ δ', ἐπεὶ τῶν πατρῴων εἰσὶν ἀπεστερημένοι, πολεμῶσι. καίτοι εἰ ἐβούλετο δίκαιος εἶναι περὶ τοὺς παῖδας, ἐξῆν αὐτῷ, κατὰ τοὺς νόμους οἳ κεῖνται περὶ τῶν ὀρφανῶν καὶ τοῖς ἀδυνάτοις τῶν ἐπιτρόπων καὶ τοῖς δυναμένοις, [1] μισθῶσαι τὸν οἶκον,
907 [2] ἀπηλλαγμένος πολλῶν πραγμάτων, ἢ γῆν [3] πριάμενος ἐκ τῶν προσιόντων τοὺς παῖδας τρέφειν. καὶ ὁπότερον τούτων ἐποίησεν, οὐδενὸς ἂν ἧττον Ἀθηναίων πλούσιοι ἦσαν. νῦν δέ μοι δοκεῖ οὐδεπώποτε διανοηθῆναι ὡς φανερὰν καταστήσων τὴν οὐσίαν, ἀλλ' ὡς αὐτὸς ἕξων τὰ τούτων, ἡγούμενος δεῖν τὴν αὑτοῦ πονηρίαν κληρονόμον εἶναι τῶν τοῦ τεθνεῶτος χρημάτων.

ζ΄. Ὃ δὲ πάντων δεινότατον, ὦ δικασταί· οὗτος γὰρ συντριηραρχῶν Ἀλέξιδι τῷ Ἀριστοδίκου, φάσκων δυοῖν δεού-
908 σας πεντήκοντα μνᾶς ἐκείνῳ συμβαλέσθαι, τὸ ἥμισυ τούτων τοῖς ὀρφανοῖς οὖσι λελόγισται, οὓς ἡ πόλις οὐ μόνον παῖδας ὄντας ἀτελεῖς ἐποίησεν, ἀλλὰ καὶ ἐπειδὰν δοκιμασθῶσιν, ἐνιαυτὸν ἀφῆκεν ἁπασῶν τῶν λειτουργιῶν. οὗτος δὲ πάππος ὢν παρὰ τοὺς νόμους τῆς ἑαυτοῦ τριηραρχίας παρὰ τῶν θυγατριδῶν [4] αὑτοῦ τὸ ἥμισυ πράττεται. καὶ ἀποπέμψας

[1] μισθώσασι R. [2] ἀπηλλαγμένοις T. R. ἀπηλλαγμένῳ A.
[3] πριαμένοις T. R. πριαμένῳ A. [4] αὑτοῦ om. T. R. A.

Εἰσὶν] Aut ante, aut post hoc voc. deest ὑπ' αὐτοῦ. Reisk. Auger.

Ἀπηλλαγμένοις] Ἀπηλλαγμένῳ. Schott. Conjeceram ἀπηλλαγμένῳ, ut ad αὐτῷ referretur, non ad τοῖς δυναμένοις. Quod si verum sit (et verum puto), legi mox debet πριαμένῳ quoque, non πριαμένοις. Markland. Etiam Taylor malebat πριαμένῳ. verum non in ἀπηλλαγμένοις, neque in πριαμένοις est vitium (nam illa duo quidem vocabula labe carent), sed est in v. μισθῶσαι, pro quo dedi de meo μισθώσασι in dativo plur. participii aor. 1. μισθώσασιν ἀπηλλαγμένοις idem est atque ἀπηλλαγμένοις διὰ τοῦ (vel διὰ τὸ) μισθῶσαι. Dativi autem hi apti sunt e τοῖς ἀδυνάτοις καὶ τοῖς δυναμένοις τῶν ἐπιτρόπων. Idem est, ac si dixisset: ἐξῆν αὐτῷ τρέφειν τοὺς παῖδας ποιοῦντι κατὰ τοὺς νόμους τοὺς κειμένους τοῖς ἐπιτρόποις (εἴτε ἀδύνατοί εἰσιν οἱ ἐπίτροποι, εἴτε δύνανται καὶ πλουτοῦσιν αὐτοὶ), τρέφειν τοὺς παῖδας καὶ οὕτως ἀπηλλάχθαι πολλῶν πραγμάτων, ἢ διὰ τοῦ μισθοῦν τὸν οἶκον, ἢ διὰ τοῦ πρίασθαι γῆν. *poterat Diogiton suos nepotes alere e reditibus, si fecisset prout concedunt leges tutoribus (sive illi pauperes, sive divites sunt), ut faciant, nempe, ut pupillos suos alant, e reditibus bonorum, pupillis a patribus relictorum, sive substantiam universam pro mercede annua elocaverint, sive fundos coemerint pro nummis in hæreditate relictis.* [Malim nunc legi ἀπηλλάχθαι. *In Var. Lect.*] Reisk.

Τῷ Ἀριστοδίκου] Fratri puta, non filio. Id quod e p. 625. 10. patet. Idem.

Ἐκείνῳ συμβαλέσθαι] *una cum illo contulisse.* Auger.

Τοῖς ὀρφανοῖς οὖσι] Aut τοῖς cum τούτοις est mutandum, aut potius τοῖς παισὶν ὀ. οὖ. *pueris hisce tametsi orbi essent.* item legi posset: τοῖς παισὶν ἀδελφιδοῖς (vel θυγατριδοῖς) καὶ ὀρφανοῖς οὖσι. *tametsi sui nepotes ex fratre vel filia, iique orbi essent.* Reisk.

εἰς τὸν Ἀδρίαν ὁλκάδα δυοῖν ταλάντοιν, ὅτε μὲν [1] ἀπέστελλεν, ἔλεγε πρὸς τὴν μητέρα αὐτῶν ὅτι τῶν παίδων ὁ κίνδυνος εἴη· ἐπεὶ δὲ ἐσώθη καὶ ἐδιπλασίασεν, αὐτοῦ τὴν ἐμπορίαν ἔφασκεν εἶναι. [2] καίτοι εἰ μὲν τὰς ζημίας τούτων ἀποδείξει, τὰ δὲ σωθέντα τῶν χρημάτων αὐτὸς ἕξει, ὅπῃ μὲν ἀνήλωται τὰ χρήματα, οὐ χαλεπῶς εἰς τὸν λόγον ἐγγράψει, ῥαδίως δὲ ἐκ τῶν ἀλλοτρίων αὐτὸς πλουτήσει. καθ' ἕκαστον μὲν οὖν, ὦ δικασταὶ, πολὺ ἂν εἴη ἔργον πρὸς ὑμᾶς λογίζεσθαι. ἐπειδὴ δὲ μόλις παρ' αὐτοῦ παρέλαβον τὰ γράμματα, μάρτυρας ἔχων ἠρώτων Ἀριστόδικον τὸν ἀδελφὸν τοῦ Ἀλέξιδος — αὐτὸς γὰρ ἐτύγχανε τετελευτηκὼς — εἰ ὁ λόγος αὐτῷ εἴη τῆς τριηραρχίας· ὁ δὲ ἔφασκεν εἶναι· καὶ 909
ἐλθόντες οἴκαδε εὕρομεν Διογείτονα [3] τέτταρας καὶ εἴκοσι μνᾶς ἐκείνῳ συμβεβλημένον εἰς τὴν τριηραρχίαν. οὗτος δὲ ἐπέδειξε δυοῖν δεούσας πεντήκοντα μνᾶς ἀνηλωκέναι, ὥστε τούτοις λελογίσθαι [4] ὅσονπερ ὅλον τὸ ἀνάλωμα αὐτῷ γεγένηται. καίτοι τί αὐτὸν οἴεσθε πεποιηκέναι περὶ ὧν αὐτῷ οὐδεὶς σύνοιδεν, ἀλλ' αὐτὸς μόνος διεχείριζεν, ὃς ἃ δι' ἑτέρων ἐπράχθη καὶ οὐ χαλεπὸν ἦν περὶ τούτων πυθέσθαι, ἐτόλμησε ψευσάμενος τέτταρσι καὶ εἴκοσι μναῖς τοὺς αὑτοῦ θυγατριδοῦς ζημιῶσαι; καί μοι ἀνάβητε τούτων μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

η'. Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ δικασταί· ἐγὼ δ' ὅσα τελευτῶν ὡμολόγησεν αὐτὸς ἔχειν χρήματα, ἑπτὰ τάλαντα καὶ τετταράκοντα μνᾶς, ἐκ τούτων αὐτῶν λογιοῦμαι, πρόσοδον μὲν οὐδεμίαν ἀποφαίνων, ἀπὸ δὲ τῶν ὑπαρχόντων ἀναλίσκων, καὶ θήσω ὅσον οὐδεὶς πώποτε ἐν τῇ 910
πόλει, εἰς δύο παῖδας καὶ ἀδελφὴν καὶ παιδαγωγὸν καὶ θεράπαιναν χιλίας δραχμὰς ἑκάστου ἐνιαυτοῦ, [5] μικρῷ

[1] ἀπέστειλεν T. A. [2] καὶ μέντοι T. [3] τετταράκοντα T. [4] ὅσον ἅπερ T. [5] μικρὸν T.

Τὰ γράμματα] Rationem gestæ tutelæ. Markland. Idem.

Τετταράκοντα] Lege τέτταρας cum Cantabrig. et Schotto. Taylor. Sic mox: ἐτόλμησε ψευσάμενος, τέτταρσι καὶ εἴκοσι μναῖς τοὺς αὐτοῦ θυγατριδοῦς ζημιῶσαι, de eadem summa utrobique agitur.

Ὅσον ὅπερ] Ὅσονπερ. Taylor. Sylburgius: ὅσον ὑπὲρ ὅλων etc. *pro toto illo negotio in universum*. Verum puto, ὅσονπερ. Markland.

Περὶ τούτων] Παρὰ τούτων. Sylburg. Sine necessitate. Reisk.

ἔλαττον ἢ τρεῖς δραχμὰς τῆς ἡμέρας. ἐν ὀκτὼ ἔτεσιν αὗται γίνονται ὀκτακισχίλιαι δραχμαὶ, καὶ ἀποδείκνυνται, ἓξ τάλαντα περιόντα τῶν ἑπτὰ ταλάντων καὶ εἴκοσι μναῖ. οὐ γὰρ ἂν δύναιτο ἀποδεῖξαι οὔθ' ὑπὸ τῶν λῃστῶν ἀπολωλεκὼς, οὔτε ζημίαν εἰληφὼς, οὔτε χρήσταις ἀποδεδωκὼς [1] * * *

[1] asteriscos om. T. R. A.

Τῶν ἑπτὰ ταλάντων] Ista septem talenta modo in initio computi erant VII *cum* XL *minis*: quæ nescio quo pacto ex hoc loco exciderunt. Ecce enim

	Tal.	Min.
	7	40
Subduct. 8000 drachm. -	1	20
Residuum erit —	6	20

TAYLOR.

Τῶν ἑπτὰ ταλάντων, καὶ εἴκοσι μναῖ] Deesse hic quædam ad calculum animadvertimus. SCHOTT. Recte. nempe desunt voces τῶν τετταράκοντα μνῶν post εἴκοσι μναῖ· quippe 6000 drachmæ efficiunt 60 minas, seu Talentum Atticum: 2000 vero drachmæ, Viginti minas. Si igitur ex Septem Talentis deducas 6000 drachmas, et ex Quadraginta minis 2000 drachmas, restabunt Sex Talenta et Viginti minæ. Eodem recidet, si legas: καὶ ἀποδείκνυνται ἓξ τάλαντα περιόντα, καὶ εἴκοσι μναῖ. οὐ γὰρ ἂν etc. omissis vocibus τῶν ἑπτὰ ταλάντων, quæ Marginali notæ forte debentur. MARKLAND.

'Απολωλεκὼς] Post ἀπολωλεκὼς videtur οὐδὲν deesse. REISK. Sub. τὰ χρήματα, vel aliud quid. AUGER.

ΛΥΣΙΟΥ

ΟΛΥΜΠΙΑΚΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Λόγος πανηγυρικὸς, ἐν ᾧ πείθει τοὺς Ἕλληνας ἀγομένης Ὀλυμπιάσι τῆς πανηγύρεως ἐκβάλλειν Διονύσιον τὸν τύραννον τῆς ἀρχῆς καὶ Σικελίαν ἐλευθερῶσαι, ἄρξασθαί τε τῆς ἔχθρας αὐτίκα μάλα, διαρπάσαντας τὴν τοῦ τυράννου σκηνὴν χρυσῷ καὶ πορφύρᾳ καὶ ἄλλῳ πλούτῳ πολλῷ κεκοσμημένην. ἔπεμψε γὰρ θεωροὺς εἰς τὴν πανήγυριν ὁ Διονύσιος ἄγοντας θυσίαν τῷ θεῷ. μεγαλοπρεπής τε καταγωγὴ τῶν θεωρῶν ἐγίνετο ἐν τῷ τεμένει καὶ πολυτελὴς, ἵνα θαυμασθείη μᾶλλον ὁ τύραννος ὑπὸ τῆς Ἑλλάδος. ταύτην λαβὼν τὴν ὑπόθεσιν τοιαύτην πεποίηται τὴν ἀρχὴν τοῦ λόγου. Dionys. Halic. in Lysia.

Pag. ed. H. Steph. Pag. ed. Reisk.

212 α΄. ΑΛΛΩΝ τε πολλῶν καὶ καλῶν ἔργων ἕνεκα, ὦ 911
ἄνδρες, ἄξιον Ἡρακλέους μεμνῆσθαι, καὶ ὅτι τόνδε τὸν
ἀγῶνα πρῶτος συνήγειρε δι' εὔνοιαν τῆς Ἑλλάδος. ἐν μὲν
γὰρ τῷ τέως χρόνῳ ἀλλοτρίως αἱ πόλεις πρὸς ἀλλήλας
διέκειντο· ἐπειδὴ δὲ ἐκεῖνος τοὺς τυράννους ἔπαυσε καὶ τοὺς
ὑβρίζοντας ἐκώλυσεν, ἀγῶνα μὲν σωμάτων ἐποίησε, φιλοτιμίαν δὲ [1]πλούτῳ, γνώμης δ' ἐπίδειξιν ἐν τῷ καλλίστῳ
τῆς Ἑλλάδος, ἵνα τούτων ἁπάντων ἕνεκα εἰς τὸ αὐτὸ συνέλ- 912
θωμεν, τὰ μὲν ὀψόμενοι, τὰ δὲ ἀκουσόμενοι· ἡγήσατο γὰρ
τὸν ἐνθάδε σύλλογον ἀρχὴν [2]γενέσθαι τοῖς Ἕλλησι τῆς πρὸς
ἀλλήλους φιλίας. ἐκεῖνος μὲν οὖν ταῦθ' ὑφηγήσατο· ἐγὼ δὲ
ἥκω οὐ μικρολογησόμενος οὐδὲ περὶ τῶν ὀνομάτων μαχου-

[1] πλούτου A. [2] γενήσεσθαι A.

ΟΛΥΜΠΙΑΚΟΣ] Præter Dionys. Halic. qui nobis conservavit luculentum hoc fragmentum, memorant Theo c. 1. et Diod. Sic. ad Olymp. XCVIII. Μετὰ δὲ ταῦτα διεγέλων τὸν Διονύσιον, καὶ κατεγίνωσκον ἐπὶ τοσοῦτον, ὥστε τινὰς τολμῆσαι διαρπάζειν τὰς σκηνάς. καὶ γὰρ Λυσίας ὁ ῥήτωρ τότε διατρίβων ἐν Ὀλυμπίᾳ προετρέπετο τὰ πλήθη μὴ προσδέχεσθαι τοῖς ἱεροῖς ἀγῶσι τοὺς ἐξ ἀσεβεστάτης τυραννίδος ἀπεσταλμένους θεωρούς. ὅτε καὶ τὸν Ὀλυμπιακὸν λόγον ἐπιγραφόμενον ἀνέγνω. TAYLOR.

Πλούτῳ] Lege πλούτου. TAYLOR. Verius πλούτου, ut σωμάτων ἀγῶνα, et γνώμης ἐπίδειξιν, casu secundo. Orat. II. ἀγῶνες τίθενται ἐπ' αὐτοῖς ῥώμης καὶ σοφίας καὶ πλούτου. MARKLAND. Bene habet vulgata. genitivus si debebit hic obtinere, malim πλούτων. REISK.

Ἐν τῷ καλλίστῳ] Sub. τόπῳ, quod addit Contius. AUGER.

Ἡγήσατο γὰρ — ἀρχὴν γενέσθαι] Vel γενήσεσθαι, vel ἀρχὴν ἂν γενέσθαι, opinor legendum. MARKLAND. Etiam Matthæi V. C. γενήσεσθαι adscripserat. Sæpissime tamen aoristus vicem futuri gerit. REISK.

Ὀνομάτων] Pungit philosophos, quorum pleræque pugnæ super meris vocabulis. IDEM.

μενος. ἡγοῦμαι γὰρ ταῦτα, ἔργα μὲν εἶναι [1]σοφιστῶν λίαν
913 ἀχρήστων καὶ σφόδρα βίου δεομένων, ἀνδρὸς δὲ ἀγαθοῦ καὶ
πολίτου πολλοῦ ἀξίου περὶ τῶν μεγίστων συμβουλεύειν,
ὁρῶν οὕτως αἰσχρῶς διακειμένην τὴν Ἑλλάδα, καὶ πολλὰ
μὲν αὐτῆς ὄντα ὑπὸ τῷ βαρβάρῳ, πολλὰς δὲ πόλεις ὑπὸ
τυράννων ἀναστάτους γεγενημένας. καὶ ταῦτα εἰ μὲν δι'
ἀσθένειαν ἐπάσχομεν, στέργειν ἂν ἦν ἀνάγκη τὴν τύχην·
ἐπειδὴ δὲ διὰ στάσιν καὶ τὴν πρὸς ἀλλήλους φιλονεικίαν,
πῶς οὐκ ἄξιον τῶν μὲν παύσασθαι τὰ δὲ κωλῦσαι, εἰδότας
ὅτι φιλονεικεῖν μέν ἐστιν εὖ πραττόντων, γνῶναι δὲ τὰ βέλ-
τιστα [2]πονούντων. ὁρῶμεν γὰρ τοὺς κινδύνους καὶ μεγάλους
914 καὶ πανταχόθεν περιεστηκότας· ἐπίστασθε δὲ ὅτι ἡ μὲν
ἀρχὴ τῶν κρατούντων τῆς θαλάσσης, τῶν δὲ χρημάτων
βασιλεὺς ταμίας, τὰ δὲ τῶν Ἑλλήνων σώματα τῶν δαπα-
νᾶσθαι δυναμένων, ναῦς δὲ πολλὰς [3]μὲν αὐτὸς κέκτηται,
πολλὰς δ' ὁ τύραννος τῆς Σικελίας. ὥστε ἄξιον τὸν μὲν πρὸς
ἀλλήλους πόλεμον καταθέσθαι, τῇ δ' αὐτῇ γνώμῃ χρω-
μένους τῆς σωτηρίας ἀντέχεσθαι, καὶ περὶ μὲν τῶν παρελη-
λυθότων αἰσχύνεσθαι, περὶ δὲ τῶν μελλόντων ἔσεσθαι δε-
διέναι, καὶ τοὺς προγόνους μιμεῖσθαι, οἳ τοὺς μὲν βαρβάρους

[1] σοφὰ τῶν λίαν χρηστῶν T. [2] τῶν αὐτῶν T. R. τῶν ἀτυχούντων A.
[3] μὲν om. T. R. post αὐτὸς ponit A.

Χρηστῶν] Ad nomin. χρήστης referri voluit Sylburg. TAYLOR. Conjicio: ἔργα μὲν εἶναι σοφιστῶν λίαν ἐριστικῶν (vel ἐριστῶν), καὶ σφόδρα βίου δεομένων. *arbitror enim hæc esse sophistarum valde contentiosorum, et victus valde indigentium.* Aristocles apud Eusebium Præp. Evang. XV. 1. σοφισταὶ, καὶ ἐριστικοὶ, καὶ ῥήτορες. Dion. Halicarnassensis in Isocrate: πεφυρμένην δὲ παραλαβὼν τὴν ἄσκησιν τῶν λόγων ὑπὸ τῶν περὶ Γοργίαν καὶ Πρωταγόραν σοφιστῶν, πρῶτος ἐχώρησεν ἀπὸ τῶν ἐριστικῶν τε καὶ σοφιστικῶν ἐπὶ τοὺς πολιτικούς. ita legendum puto pro, καὶ φυσικῶν. Ex Diog. Laertio Lib. IX. Vit. Protagoræ: καὶ πρῶτος — σόφισμα τοῖς πραγματολογοῦσι προσήγαγε· καὶ τὴν διάνοιαν ἀφεὶς, πρὸς τοὔνομα διελέχθη. καὶ τὸ νῦν ἐπιπόλαιον γένος τῶν ἐριστικῶν ἐγέννησεν. Quin et scripsit Protagoras τέχνην ἐριστικῶν, teste eodem Laertio. Legi quoque potest ἀχρήστων pro χρηστῶν. MARKLAND. Ego dedi σοφιστῶν λίαν ἀχρήστων. *sophistarum ineptorum, nulli rei utilium.* REISK.

Ἐπειδὴ δὲ] Scil. ταῦτα πάσχομεν. quanquam nullus dubito, nonnihil hic deesse. IDEM.

Τῶν μὲν — τὰ δὲ] Malim τῆς μὲν, scil. στάσεως, et τὴν δὲ, scil. φιλονεικίαν. Pro κωλῦσαι nescio an κολοῦσαι leg. sit. IDEM.

Γνῶναι δὲ τὰ βέλτιστα, τῶν αὐτῶν] Οὐ τῶν αὐτῶν. CONT. Nisi fallor, scripsit Lysias τῶν ἀτυχούντων, non τῶν αὐτῶν; et forte ἐστι τῶν εὖ πραττόντων. *rixari et contendere solent rebus secundis utentes: qui vero in adversis sunt, quid optimum factu sit, consulere.* Huc tendit Ratio, et confirmant sequentia. Mox, δαπανᾶσθαι significatione activa sumendum, *pecuniam insumere;* ut Orat. XXV. πλείω τῶν ὑπὸ τῆς πόλεως προσταττομένων ἐδαπανώμην. Interpres Brabantus male vertit: *consumi et deleri.* MARKLAND. Videtur sic ferme leg. γνῶναι δὲ τὰ βέλτιστα τῶν δεδιότων περὶ αὐτῶν, aut τῶν ἐν κινδύνῳ καταστάντων. *consilia autem capessere sapientissima, est hominum de se sollicitorum, aut in discrimine versantium.* REISK. Pro τῶν αὐτῶν dedi de meo πονούντων.

Πολλὰς αὐτὸς] Malim μὲν interponi. IDEM. αὐτὸς, rex Persarum. AUGER.

ἐποίησαν τῆς ἀλλοτρίας ἐπιθυμοῦντας τῆς σφετέρας αὐτῶν ἐστερῆσθαι, τοὺς δὲ τυράννους ἐξελάσαντες κοινὴν ἅπασι τὴν ἐλευθερίαν κατέστησαν.

β΄. Θαυμάζω δὲ Λακεδαιμονίους πάντων μάλιστα, τίνι ποτὲ γνώμῃ χρώμενοι καιομένην τὴν Ἑλλάδα περιορῶσιν, ἡγεμόνες ὄντες τῶν Ἑλλήνων οὐκ ἀδίκως καὶ διὰ τὴν ἔμφυτον ἀρετὴν καὶ διὰ τὴν πρὸς τὸν πόλεμον ἐπιστήμην, μόνοι δὲ οἰκοῦντες ἀπόρθητοι καὶ ἀτείχιστοι καὶ ἀστασίαστοι καὶ ἀήττητοι καὶ [1] τρόποις ἀεὶ τοῖς αὐτοῖς χρώμενοι· ὧν ἕνεκα ἐλπὶς ἀθάνατον τὴν ἐλευθερίαν αὐτοὺς [2] κεκτῆσθαι, καὶ ἐν τοῖς παρεληλυθόσι κινδύνοις σωτῆρας γενομένους τῆς Ἑλλά-

[1] τόποις T.

[2] κεκτήσεσθαι A.

Τὴν πρὸς τὸν πόλεμον ἐπιστήμην] Num τὴν τῶν περὶ τὸν πόλ. ἐπιστ. Reisk.

Τόποις ἀεὶ τοῖς αὐτοῖς] Lege: τρόποις. *moribus*. quod, de Lacedæmoniis dictum, probatione non indiget. Quæ vero præcedunt sic distingui debent: ἡγεμόνες ὄντες τῶν Ἑλλήνων (οὐκ ἀδίκως, καὶ διὰ — ἐπιστήμην), μόνοι δὲ οἰκοῦντες ἀπόρθητοι etc. quæ ultima Vanderheidius sic vertit: *soli vero portu careant*. Miror, unde hanc interpretationem expiscatus est. Vult Lysias: *soli vero ex omnibus Græcis terram habitantes vastationibus hostilibus non obnoxiam*, vel, *quæ non vastata fuit*; (vide Hesychium V. ἀπόρθητος) unde Epaminondas apud Ælianum Var. Hist. XIII. 42. dicit: *Laconicam* πεντακοσίοις ἐνιαυτοῖς ἀδῄωτον οὖσαν, *per quingentos annos non vastatam*. scil. usque ad tempora sua, quæ seriora erant hujus Orationis scriptione. Demades: ὁ δὲ πρότερον ἀπείρατος ὢν πολεμίας σάλπιγγος Εὐρώτας, Βοιωτοὺς ἐν τῇ Λακωνικῇ στρατοπεδεύοντας εἶδεν. loquitur de pugna Leuctrica. Dinarchus adv. Demosthenem: τότε τὴν ἐν Λεύκτροις μάχην ἐνίκησεν ἡ τῶν Θηβαίων πόλις, τότε εἰς τὴν ἀπόρθητον νομιζομένην εἶναι Λακεδαιμονίων χώραν εἰσέβαλον. Archidamus apud Isocratem p. m. 245. ἐν γὰρ τοῖς ἐπέκεινα χρόνοις, οὐδένες πώποτε κρείττονες ἡμῶν εἰς ταύτην τὴν χώραν εἰσέβαλον. de Laconica loquitur. Æschines κατὰ Τιμάρχ. §. λε΄. οὐ πόλιν (l. πολὺν) χρόνον τὴν Σπάρτην ἀπόρθητον οἰκήσουσι, τοιούτοις ἐν ταῖς ἐκκλησίαις συμβούλοις χρώμενοι. Thucydides quoque ad hanc Lacedæmoniorum felicitatem alludit lib. VIII. segm. 24. et Max. Tyrius Dissert. XXXIII. p. 346. Edit. Cantabr. vocat Spartam πόλιν ἀθέατον πολεμίων, ἀθέατον ξενικῶν ἀσπίδων. unde Xenophon narrat Ἑλλην. lib. VI. 5. 28. post pugnam Leuctricam, quando Thebani Laconicam vastabant, mulieres Spartanas *ne fumum quidem aspicere sustinuisse*, ἅτε οὐδέποτε ἰδοῦσαι πολεμίους, *quippe quæ hostes nunquam vidissent*. et magnus inde honor Thebanis, ὅτι πεπορθηκότες τὴν χώραν τῶν Λακεδαιμονίων ἐφαίνοντο, ut refert Idem Ἑλλην. VII. 1. 35. Patet jam, quare ἀπόρθητοι hic dicantur Lacedæmonii. Sit igitur ut Laconica, secundum Epaminondæ dictum, ἀπόρθητος et ἀδῄωτος fuerit per 500 annos, nempe usque ad pugnam Leuctricam, seu Olympiad. CII. Justinus enim, qui lib. III. refert, Periclem (multis annis ante Epaminondam) "Spartanorum agros vastasse, *et* totam Spartam deprædatam esse," refellitur a Perizonio ad Æliani locum modo citatum. Sed quomodo refellemus Thucydidem? qui lib IV. 41. narrat, Messenios, anno VII Belli Peloponnesiaci, seu Olympiad. LXXXVIII. 4. *agrum Laconicum latrociniis infestasse* (ἐλῄϊζον) *maximisque maleficiis affecisse*. et notat rem hanc novam Lacedæmoniis contigisse: οἱ δὲ Λακεδαιμόνιοι, ἀμαθεῖς (potius ἀπαθεῖς) ὄντες ἐν τῷ πρὶν χρόνῳ λῃστείας, καὶ τοῦ τοιούτου πολέμου, — οὐ ῥᾳδίως ἔφερον. *Lacedæmonii vero, quod superiore tempore latrocinia et hujusmodi bellum non experti fuerant, ægre ferebant*. vide et V. 14. ubi iterum meminit λῃστευομένης τῆς χώρας. Non igitur, ut videtur, ἀδῄωτος Laconica usque ad tempora Epaminondæ. nisi dicendum sit, has incursiones non adeo magni momenti fuisse nec inter vastationes numerari dignas. Markland.

Κεκτῆσθαι] Malim κεκτήσεσθαι in futuro tertio. Reisk.

916 δος περὶ τῶν μελλόντων προορᾶσθαι. οὐ τοίνυν ὁ ἐπιὼν καιρὸς τοῦ παρόντος βελτίων· οὐ γὰρ ἀλλοτρίας δεῖ τὰς τῶν ἀπολωλότων συμφορὰς νομίζειν ἀλλ' οἰκείας, οὐδ' ἀναμεῖναι ἕως [1] ἂν ἐπ' αὐτοὺς ἡμᾶς αἱ δυνάμεις ἀμφοτέρων ἔλθωσιν, ἀλλ' ἕως ἔτι ἔξεστι, τὴν τούτων ὕβριν κωλῦσαι. τίς γὰρ οὐκ [2] ἂν ἐνορῶν ἐν τῷ πρὸς ἀλλήλους πολέμῳ μεγάλους αὐτοὺς γεγενημένους; ὧν οὐ μόνον αἰσχρῶν ὄντων ἀλλὰ καὶ
917 δεινῶν, τοῖς μὲν μεγάλα ἐξημαρτηκόσιν ἐξουσία γεγένηται τῶν πεπραγμένων, τοῖς δὲ Ἕλλησιν οὐδεμία αὐτῶν τιμωρία [3] * * *

[1] ἂν om. T. A. [2] ἂν αἰσχύνοιτο ἐνορῶν A. [3] asteriscos om. T. R. A.

Ἀμφοτέρων] Regis Persarum puta, et Dionysii. Idem.

Ἐνορῶν] Π. ἐνορᾷ, ἢ, ἐνορῴη. H. Stephan. Ultimum verius puto. Markland. Hic deest parum quid. fort. leg. est: τίς γὰρ οὐκ ἂν ἐντρέποιτο ὁρῶν. ecquem enim non pudeat videntem? Ad πολέμῳ subauditur ἡμῶν. αὐτοὺς redit ad hostes communes Græciæ modo nominatos. Reisk. Fort. τίς γὰρ οὐκ ἀνιᾶται ὁρῶν.

ΛΥΣΙΟΥ

ΠΕΡΙ ΤΟΥ ΜΗ ΚΑΤΑΛΥΣΑΙ

ΤΗΝ ΠΑΤΡΙΟΝ ΠΟΛΙΤΕΙΑΝ ΑΘΗΝΗΣΙ

ΛΟΓΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Τοῦ δήμου κατελθόντος ἐκ Πειραιῶς καὶ ψηφισαμένου διαλύσασθαι πρὸς τοὺς ἐν ἄστει καὶ μηδενὸς τῶν γεγενημένων μνησικακεῖν, δέους δὲ ὄντος μὴ πάλιν τὸ πλῆθος εἰς τοὺς εὐπόρους ὑβρίζῃ τὴν ἀρχαίαν ἐξουσίαν κεκομισμένον, καὶ πολλῶν ὑπὲρ τούτου γινομένων λόγων, Φορμίσιός τις τῶν συγκατελθόντων μετὰ τοῦ δήμου γνώμην εἰσηγήσατο, τοὺς μὲν φεύγοντας κατιέναι, τὴν δὲ πολιτείαν μὴ πᾶσιν ἀλλὰ τοῖς τὴν γῆν ἔχουσιν παραδοῦναι, βουλομένων ταῦτα γενέσθαι καὶ Λακεδαιμονίων. ἔμελλον δὲ τοῦ ψηφίσματος τούτου κυρωθέντος πεντακισχίλιοι σχεδὸν Ἀθηναίων ἀπελαθήσεσθαι τῶν κοινῶν. ἵνα [1] δὴ μὴ τοῦτο γένοιτο, γράφει τὸν λόγον τόνδε
Pag. ed. H.Steph. ὁ Λυσίας τῶν ἐπισήμων τινὶ καὶ πολιτευομένων. εἰ μὲν οὖν ἐῤῥήθη τότε ἄδηλον· σύγκειται γοῦν ὡς πρὸς ἀγῶνα ἐπιτηδείως. ἔστι δὲ ὅδε. Pag. ed. Reisk.
Dionys. Halic. in Lysia.

213 α΄. ΟΤΕ ἐνομίζομεν, ὦ Ἀθηναῖοι, τὰς γεγενημένας συμ- 917
φορὰς ἱκανὰ μνημεῖα τῇ πόλει καταλελεῖφθαι, ὥστε μηδ'
ἂν τοὺς ἐπιγινομένους ἑτέρας πολιτείας ἐπιθυμεῖν, τότε δὴ
οὗτοι τοὺς κακῶς πεπονθότας καὶ ἀμφοτέρων πεπειραμένους
ἐξαπατῆσαι ζητοῦσι τοῖς αὐτοῖς ψηφίσμασιν οἷσπερ καὶ
πρότερον. διὸ δὴ καὶ τούτων μὲν οὐ θαυμάζω, ὑμῶν δὲ τῶν
ἀκροωμένων, ὅτι πάντων [2] ἐστὲ ἐπιλησμονέστατοι [3] καὶ πά-
σχειν ἑτοιμότατοι κακῶς ὑπὸ τοιούτων ἀνδρῶν, οἳ τῇ μὲν 918
τύχῃ τῶν [4] ἐκ Πειραιῶς πραγμάτων μετέσχον, τῇ δὲ γνώμῃ

[1] μὴ δὴ T. [2] εἰσὶ T. R. [3] ἢ T. R. [4] ἐκ om. T.

Ἐνομίζομεν] Π. νομίζομεν. H. Stephan. Opinor, quia sequitur ζητοῦσι, in Præsenti. sed nihil muta. sic enim loquitur Orat. XXVIII. ὅταν γὰρ ἡγησάμεθα σωτηρίας ἀντειλῆφθαι, δεινότερα ὑπὸ τῶν ἡμετέρων ἀρχόντων πάσχομεν ἢ ὑπὸ τῶν πολεμίων. Markland.

Ἀμφοτέρων] Oligarchiæ puta atque democratiæ. Reisk.

Εἰσὶν ἐπιλησμονέστατοι ἢ πάσχειν ἑτοιμ.] Ἐπιλησμ. οἱ πάσχειν ἑτ. H. Stephan. F. ἐστὲ ἐπιλησμ. καὶ πάσχειν ἑτοιμ. Taylor. Si cogitasset vir maximus corruptam esse vocem εἰσὶν, nihil præterea mutatum isset. Lego ἐστὲ, *estis*: præcessit enim ὑμῶν. Sententia est maxime perspicua: *estis omnium hominum obliviosissimi, vel male pati paratissimi.* Markland. Aut ἐστὲ est leg. aut ἐνίων addendum post ἀκροωμένων. *vestrum autem, qui me auditis, quosdam miror esse mortalium omnium aut obliviosissimos, aut paratissimos ad mala patiendum.* Reisk.

Τῶν ἐκ Πειραιῶς] Præpositionem, qua

τῶν ἐξ ἄστεος. καίτοι τί ἔδει φεύγοντας κατελθεῖν εἰ χειροτονοῦντες ὑμᾶς αὐτοὺς [1] καταδουλώσεσθε;

β΄. Ἐγὼ μὲν οὖν, ὦ Ἀθηναῖοι, [2] οὔτε γένει ἀπελαυνόμε-
919 νος [3] οὔτε οὐσίᾳ ἐλάττων, ἀλλ' ἀμφότερα τῶν ἀντιλεγόντων πρότερος ὢν, ἡγοῦμαι ταύτην μόνην σωτηρίαν εἶναι τῇ πόλει, ἅπασιν Ἀθηναίοις τῆς πολιτείας μετεῖναι, ἐπεὶ ὅτε καὶ τὰ τείχη καὶ τὰς ναῦς καὶ τὰ χρήματα καὶ [4] συμμάχους
920 [5] ἐκτησάμεθα, οὐχ [6] ὅπως ἵνα [7] Ἀθηναῖον τινὰ ποιήσωμεν διενοούμεθα, ἀλλὰ καὶ Εὐβοεῦσιν ἐπιγαμίαν ἐποιούμεθα· νῦν δὲ καὶ τοὺς ὑπάρχοντας πολίτας [8] ἀπελῶμεν; οὐκ, ἄν ἔμοιγε πειθώμεθα, οὐδὲ μετὰ τῶν τειχῶν καὶ ταῦτα ἡμῶν

[1] καταδουλοῦσθε T. [2] οὔτε ἡλικίᾳ, οὔτε R. [3] οὔτε οὐσίᾳ ἐλάττων om. T. R. [4] τοὺς συμμάχους A. [5] ἐκτήμεθα T. [6] οὕτως T. [7] Ἀθηναίων T. R. [8] ἀπολοῦμεν T. A. ἀπελοῦμεν R.

vulgatæ carent, de meo addidi. Malim tamen totum locum sic legi: τῇ μὲν τύχῃ τοῖς ἐκ Πειραιῶς τῶν πραγμάτων μετέσχον, τῇ δὲ γνώμῃ τοῖς ἐξ ἄστεος. Idem.

Χειροτονοῦντες] Idem est, ac si dixisset: εἰ αὐτοὶ χειροτονεῖτε τοὺς μέλλοντας ὑμᾶς καταδουλώσεσθαι. Idem.

Ὑμᾶς] Ὑμεῖς. Schott. Veritus nimirum

"Primo ne medium, medio ne discrepet imum."

Atque id profecto cavit sedulo. Taylor.

Καταδουλοῦσθε] F. καταδουλώσεσθε. Taylor.

Οὔτε γένει] Π. οὔτε ἡλικίᾳ, οὔτε γένει. H. Stephan. Sequitur enim ἀμφότερα, quæ *duo* antecedentia postulat. Sed si argumentum Orationis specles, aptius videbitur: οὔτε πλούτῳ, οὔτε γένει. Phormisii enim ψήφισμα, si perlatum fuisset, exclusurum erat a republica Quinque millia pauperum et plebeiorum civium. Huic se opponit Orator, *dives* (*ætas* enim non adeo ad rem præsentem) et *nobilis* quidam Atheniensis, pro quo hanc Orationem scripsit Lysias. Quod vero Stephanus in marginem Edit. suæ ex Conjectura retulerat, id Sylburgius quasi ex Cod. MS. prolatum citare videtur, et hoc loco, et nonnullis aliis. Markland. Mihi videtur deesse vox χρήμασιν, vel πλούτῳ, prouti voluit Marklandus. Præterea licet non reprehendam lectionem ἀπελαυνόμενος, malim tamen, si in Codice quodam inveniatur, scribi ἀπολειπόμενος, quia sequitur: ἀλλ' ἀμφότερα τῶν ἀντιλεγόντων πρότερος ὤν. Frequens est usus verbi ἀπολείπεσθαι, hoc sensu, *relinqui ab alio, vinci, superari, inferiorem esse*. Vid. Isocrat. Panath. p. 234. E. 245. B. 266. A. 276. D. 284. D. et Aristophan. Equit. 522. Sluiter.

Ἐπεὶ ὅτε καὶ] Malim ἐπεὶ καὶ ὅτε. Reisk.

Οὐχ οὕτως κ. τ. λ.] Π. οὐχ ὅπως ἵνα Ἀθηναῖόν τινα ποιήσωμεν. H. Stephan. Cont. οὐ τοῦτο μόνον ἵνα Ἀθηναίων ταῦτα ποιήσωμεν διενοούμεθα. *Observatt. human.* IV. 9. Schott. Recte Stephanus. Sed quid est ποιήσωμεν? hoc menti Oratoris adversa fronte pugnat. Scribo: ἀπολέσωμεν. sequitur enim: νυνὶ δὲ καὶ τοὺς ὑπάρχοντας πολίτας ἀπολοῦμεν; *nunc vero*, non modo novos non adsciscemus, sed *etiam illos, qui jam sunt cives, amittemus?* Orat. XIII. πολλοὺς γὰρ τῶν πολιτῶν καὶ ἀγαθοὺς ἀπωλέσαμεν. Andocides de Myster. §. κζ. καὶ μὴ βούλεσθε Θετταλοὺς καὶ Ἀνδρίους πολίτας ποιεῖσθαι δι' ἀπορίαν ἀνδρῶν, τοὺς δὲ ὄντας πολίτας — ἀπόλλυτε. apposite. Dicit Lysias: Istis duris temporibus tam longe abfuimus a cogitatione et consilio *amittendi* quenquam civem Atheniensem, ut etiam jus ἐπιγαμίας Euboensibus concesserimus, ut inde novorum civium accessione Respublica firmaretur. Markland. Pro vulgari οὐχ οὕτως dedi οὐχ ὅπως. In ἵνα videor mihi exitum vocabuli ἄπολιν cernere. nam α postrema litera facile potuit e proximo insequente vocabulo adhærescere. Leg. ergo: οὐχ ὅπως, ἵνα ἄπολιν Ἀθην. Reisk. *non solum non ut aliquem faceremus Atheniensem*, ut alicui jus civitatis tribueremus. Auger.

Ἀπελοῦμεν] Sic dedi de meo, quod idem est atque ἀπελάσομεν, *expellemus*. Reisk.

Πειθώμεθα] Leg. πείθησθε, ut mox p. 633, 9. Sluiter.

αὐτῶν περιαιρησόμεθα, ὁπλίτας πολλοὺς καὶ ἱππέας καὶ
τοξότας, ὧν ὑμεῖς ἀντεχόμενοι βεβαίως δημοκρατήσεσθε,
τῶν δὲ ἐχθρῶν πλέον ἐπικρατήσετε, ὠφελιμώτεροι δὲ τοῖς
συμμάχοις ἔσεσθε· ἐπίστασθε γὰρ [1][ἐν] ταῖς ἐφ' ἡμῶν ὀλι-
γαρχίαις γεγενημέναις, καὶ οὐ τοὺς γῆν κεκτημένους ἔχον-
τας τὴν πόλιν, ἀλλὰ καὶ πολλοὺς μὲν αὐτῶν ἀποθανόντας,
πολλοὺς δ' ἐκ τῆς πόλεως ἐκπεσόντας, οὓς ὁ δῆμος κατα-
γαγὼν ὑμῖν μὲν τὴν ὑμετέραν ἀπέδωκεν, αὐτὸς δὲ ταύτης
οὐκ ἐτόλμησε μετασχεῖν. ὥστε, ἂν ἔμοιγε πείθησθε, οὐ
τοὺς εὐεργέτας, καθὸ δύνασθε, τῆς πατρίδος ἀποστερήσετε, 921
οὐδὲ τοὺς λόγους πιστοτέρους τῶν ἔργων οὐδὲ τὰ μέλλοντα
τῶν γεγενημένων νομιεῖτε. ἄλλως τε καὶ μεμνημένοι τῶν
περὶ τῆς ὀλιγαρχίας μαχομένων, οἳ τῷ μὲν λόγῳ τῷ δήμῳ
πολεμοῦσι, τῷ δὲ ἔργῳ τῶν ὑμετέρων ἐπιθυμοῦσιν· [2]ἅπερ
κτήσονται, ὅταν ὑμᾶς ἐρήμους συμμάχων λάβωσιν.

γ΄. Εἶτα [3]τοῖς τῶν [4]ὑμῖν ὑπαρχόντων [5]ἐρῶσι τίς ἔσται 922
σωτηρία τῇ πόλει, εἰ μὴ [6]ποιήσωμεν ἃ Λακεδαιμόνιοι κε-

[1] ἐν om. T. R. uncos om. A. [2] ὅπερ T. [3] οἱ A. [4] ἡμῖν T. R. A. [5] ἐρῶντες ἐρωτῶσι A. [6] ποιήσωμεν Λακεδαιμονίοις T.

Ἐπίστασθε κ. τ. λ.] Ἐπίστασθε γὰρ ταῖς ἐφ' ἡμῶν ὀλιγαρχίαις γεγενημέναις οὐ τοὺς γῆν κεκτημένους ἔχοντας τὴν πόλιν, πολλοὺς μὲν αὐτῶν ἀποθανόντας κ. τ. λ. omissis καὶ et deinde, ἀλλὰ καὶ. *Ibid.* SCHOTT. Vel delendum videtur καὶ, vel ponendum supra: ἐπίστασθε γὰρ καὶ ταῖς ἐφ' ἡμῶν etc. Quemadmodum in Luca erratum V. 35. ἐλεύσονται δὲ ἡμέραι καὶ ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νύμφιος, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις. ubi καὶ, ita positum, nulli neque usui neque Venustati inseruit. Repone: ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ — καὶ τότε νηστεύσουσιν etc. et ita plane Matthæus IX. 15. ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ — καὶ τότε νηστεύσουσιν. et Marcus II. 20. ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ — καὶ τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις. MARKLAND. Dele καί. *In edit. min.* TAYLOR. Pro ταῖς malim ἐν ταῖς. Pone proximum πιστοτέρους deesse suspicor δεῖν εἶναι. REISK. καὶ, *etiam.* οὐ junge cum ἔχοντας τὴν πόλιν. Pro καὶ οὐ Contius οὐ μόνον. AUGER.

Ὅπερ] Π. ἅπερ. H. STEPHAN. SCALIG. CONT. Recte. MARKLAND.

Εἶτα κ. τ. λ.] Εἶτα οἱ τῶν ἡμῖν ὑπαρχόντων ἐπιθυμοῦντες ἐρῶσι τίς ἔσται κ. τ. λ. SCHOTT. εἶτα τῶν ἡμῖν ὑπαρχόντων ἐρωτῶσι τίς ἔσται --- ἃ Λακεδαιμόνιοι κελ. CONT. Depravatissima sunt hæc. Forte ita legendum et distinguendum: εἶτα, τοῖς τῶν ἡμῖν ὑπαρχόντων ἐπιθυμοῦσιν, ἐρωτῶσι, Τίς ἔσται σωτηρία τῇ πόλει, εἰ μὴ ποιήσωμεν ἃ Λακεδαιμόνιοι κελεύουσιν, ἔγωγε τούτοις εἰπεῖν ἀξιῶ, Τί τῷ πλήθει περιγενήσεται, εἰ ποιήσαιμεν ἃ ἐκεῖνοι προστάττουσιν; *deinde iis, qui facultatibus nostris inhiant, si quærant, Quænam salus erit civitati, nisi fecerimus ea, quæ Lacedæmonii jubent; ego vicissim dicere æquum puto, Quid populo supererit, si quæ isti jubent fecerimus?* Non dubitari potest, quin desit ἐπιθυμοῦσιν, propter ista, τῶν ἡμῖν ὑπαρχόντων: et paulo ante dixerat, eodem sensu, τῶν ὑμετέρων ἐπιθυμοῦσιν: unde forte omissa hæc vox, propter viciniam; quod aliquoties fit. Pro ἐγὼ δὲ lego ἔγωγε: tametsi istud ferri possit. MARKLAND. et *in edit. min.* TAYLOR. Videtur leg. εἶτα οἱ τῶν ὑμῖν ὑπαρχόντων ἐρῶντες ἐρωτῶσι, τίς ἔσται σωτηρία τῇ πόλει, εἰ μὴ ποιήσομεν, ἃ Λακεδαιμόνιοι κελεύουσιν. et sic ex parte quoque correxi. REISK. Leg. εἶτα τούτων ἡμῖν ὑπαρχόντων ἐροῦσι, vel ἐρωτῶσι. SLUITER.

Λακεδαιμονίοις] Π. ἃ Λακεδαιμόνιοι κελεύουσιν. H. STEPHAN. ποιήσαιμεν Λακεδαιμονίοις ἃ κελεύουσιν, vel ποιήσαιμεν Λακεδαιμονίοις τὰ κελευόμενα. SYLBURG. ποιήσομεν. SCALIG.

λεύουσιν; ἐγὼ δὲ [1] τούτους εἰπεῖν ἀξιῶ, τί τῷ πλήθει περιγενήσεται, εἰ ποιήσαιμεν ἃ ἐκεῖνοι προστάττουσιν. εἰ δὲ μή, πολὺ κάλλιον μαχομένους ἀποθνήσκειν ἢ φανερῶς ἡμῶν αὐτῶν θάνατον καταψηφίσασθαι. ἡγοῦμαι γάρ, ἐὰν [2] μὴ πείθω, ἀμφοτέροις κοινὸν εἶναι κίνδυνον. ὁρῶ δὲ Ἀργείους καὶ Μαντινέας τὴν αὐτὴν ἔχοντας γνώμην, [3] τὴν αὐτῶν οἰκοῦντας, τοὺς μὲν ὁμόρους ὄντας Λακεδαιμονίοις, τοὺς δὲ ἐγγὺς οἰκοῦντας, καὶ τοὺς μὲν οὐδὲν ἡμῶν πλείους, τοὺς δὲ οὐδὲ τρισχιλίους [4] ὄντας. ἴσασι γὰρ ὅτι, κἂν πολλάκις εἰς τὴν τού-
923 των [5] ἐμβάλλωσι, πολλάκις αὐτοῖς ἀπαντήσονται ὅπλα λαβόντες, ὥστε οὐ καλὸς ὁ κίνδυνος αὐτοῖς δοκεῖ εἶναι, ἐὰν μὲν νικήσωσι, τούτους [6] καταδουλώσεσθαί γε, ἐὰν δὲ ἡττηθῶσι, σφᾶς αὐτοὺς [7] ὑπαρχόντων ἀγαθῶν ἀποστερῆσαι· ὅσῳ δ' ἂν ἄμεινον πράττωσι, [8] τοσούτῳ ἐπιθυμοῦσι κινδυνεύειν.

δ'. Εἴχομεν δέ, ὦ ἄνδρες, καὶ ἡμεῖς ταύτην τὴν γνώμην,

[1] τούτοις T. [2] μὲν T. [3] τὴν αὐτῶν οἰκοῦντας om. T. A. [4] ὄντας. οὐκοῦν Λακεδαίμονες ἐκείνοις ἐπετίθενται. A. [5] ἐμβάλωσι T. R. A. [6] μὴ καταδουλώσασθαι, ἐὰν A. [7] τῶν ὑπαρχόντων A. [8] τοσούτῳ ἧττον ἐπιθ. A.

Τούτοις] Π. τούτους. H. Stephan.

Εἰ δὲ μὴ] Deesse videtur δυνήσονται, scil. hoc docere. Reisk. Hic significat *alioqui, cæterum.* Auger.

Ἐὰν μὲν πείθω] Π. ἐὰν μὴ πείθω. H. Stephan. Sed non de *se* solo loquitur Orator, de *omnibus* vero Atheniensibus. unde verum puto: ἡγοῦμαι γάρ, ἐὰν πεισθῶμεν, ἀμφοτέροις κοινὸν ἂν εἶναι κίνδυνον. *reor enim, si ita faciamus, utrisque commune periculum futurum,* id est, Lacedæmoniis æque ac nobis. non illi immunes erunt periculi, si nos arma capere atque urbem defendere nobis persuaderi sinamus. Hoc voluisse Oratorem (nempe, bello *defensivo* uti), sequentia Argivorum et Mantinensium atque ipsorum etiam Atheniensium exempa evincunt. ἂν εἶναι pro ἔσεσθαι, ut passim. Markland. Pro μὲν dedi μή. Quod si autem servandum sit μέν, leg. erit sic: ἐὰν μὲν πείθω, ἑτοίμην ἀμφοτέροις εἶναι τὴν σωτηρίαν, ἐὰν δὲ μή, κοινὸν εἶναι τὸν κίνδυνον. Reisk.

Ἀμφοτέροις] *utrisque,* scil. iis qui fundum possident, et iis qui non possident. Auger.

Τὴν αὐτῶν οἰκοῦντας] Addidi; nam illis vis inest: Video Argivos et Mantineenses *suum solum incolere,* h. e. ex eo a Lacedæmoniis non expelli, tametsi Argivi finitimi sunt ipsis, et Mantineenses haud procul a Laconica habitant. quoniam scilicet utrique, tam Argivi quam Mantineenses, antiquam servant Reip. formam, neque pauperes expellendo ipsi semet debilitant. Reisk.

Ἴσασι] Lacedæmonii puta. Idem.

Τούτων] Argivorum et Mantineensium. Idem.

Πολλάκις] Secundi loco malim τοσαυτάκις. *toties.* Idem.

Ἀπαντήσονται] Argivi puta et Mantineenses. Idem.

Αὐτοῖς] Lacedæmoniis. Idem.

Καταδουλώσεσθαί] Καταδουλώσασθαί. Sylburg. Sic leg. et distinguendum videtur: νικήσωσι τούτους, οὐ καταδουλώσεσθαί γε. *si vincant* (Lacedæmonii) *hos* (Argivos et Mantineenses), *non tamen hoc se consecuturos, ut illos in servitutem redigant.* Reisk.

Πράττωσι] Lacedæmonii. Idem.

Τοσούτῳ ἐπιθυμοῦσι] Lege ἐπιθυμῆσαι, ita postulante constructione, ut καταδουλώσασθαι (sic enim legendum, non καταδουλώσεσθαι), et ἀποστερῆσαι. Stephanus inserit μᾶλλον post τοσούτῳ. non necessarium forte, cum tam usitata sit istius vocis Ellipsis. Markland. et *in edit. min.* Taylor. Post τοσούτῳ, non μᾶλλον, sed potius ἧττον addendum videtur, *hoc minus cupiunt.* Reisk.

ὅτε τῶν Ἑλλήνων ἤρχομεν, καὶ ἐδοκοῦμεν καλῶς βουλεύε-
σθαι περιορῶντες μὲν τὴν χώραν τεμνομένην, οὐ νομίζοντες
δὲ χρῆναι περὶ αὐτῆς διαμάχεσθαι· ἄξιον γὰρ ἦν ὀλίγων
ἀμελοῦντας πολλῶν ἀγαθῶν φείσασθαι. νῦν δὲ, ἐπεὶ ἐκείνων
μὲν ἁπάντων μάχῃ ἐστερήμεθα, ἡ δὲ πατρὶς [1] ἡμῶν λέλει-
πται, ἴσμεν ὅτι ὁ κίνδυνος οὗτος μόνος ἔχει τὰς ἐλπίδας τῆς 924
σωτηρίας. ἀλλὰ [2] γὰρ χρὴ ἀναμνησθέντας ὅτι ἤδη καὶ ἑτέ-
ροις ἀδικουμένοις βοηθήσαντες ἐν τῇ ἀλλοτρίᾳ πολλὰ τρό-
παια τῶν πολεμίων ἐστήσαμεν, ἄνδρας ἀγαθοὺς περὶ τῆς
πατρίδος καὶ ἡμῶν αὐτῶν γίνεσθαι, πιστεύοντας μὲν τοῖς
θεοῖς καὶ ἐλπίζοντας ἐπὶ τὸ δίκαιον μετὰ τῶν ἀδικουμένων
ἔσεσθαι. δεινὸν γὰρ ἂν εἴη, ὦ Ἀθηναῖοι, εἰ ὅτε μὲν ἐφεύγο-
μεν, ἐμαχόμεθα Λακεδαιμονίοις, ἵνα κατέλθωμεν, κατελ-
θόντες δὲ φευξόμεθα, ἵνα μὴ μαχώμεθα. οὐκοῦν αἰσχρὸν εἰ
εἰς τοῦτο κακίας ἥξομεν, ὥστε οἱ μὲν πρόγονοι καὶ ὑπὲρ τῆς
τῶν ἄλλων ἐλευθερίας Ἑλλήνων διεκινδύνευον, ὑμεῖς δὲ οὐδὲ
ὑπὲρ τῆς ὑμετέρας αὐτῶν τολμᾶτε πολεμεῖν; [3]* * *

[1] ἡμῖν μόνη λέλ. A. [2] γὰρ om. T. [3] asteriscos om. T. R. A.

Μάχῃ] F. leg. μιᾷ μάχῃ. Idem. Auger.

Ἡμῶν λέλειπται] Malim ἡμῖν μόνη λέλ. Reisk.

Ἔσεσθαι] Pro ἐλεύσεσθαι. Vel ut alii: καὶ ἐλπίζοντας τὸ δίκαιον μετὰ τῶν ἀδικουμένων ἔσεσθαι. Taylor. ἐλπίζοντας δὲ τὸ δίκαιον, vel ἐλπίζοντας τὴν νίκην. Cont. ἔσεσθαι, np. τοὺς θεούς. Si τὸ ἐπινίκιον idem valeret ac τὴν νίκην, et hujus exempla suppeterent, posset legi: ἐλπίζοντας δὲ τὸ ἐπινίκιον. Auger. Pro ἐπὶ leg. ἔτι. *speramus causam justam etiamnum profuturam iis, qui injuriam passi sunt.* ita Lysias pro Polystrat. p. 160. 6. ed. Steph. ἀγωνίζεσθαι εὖ μετὰ τοῦ δικαίου. Orat. Funebr. p. 191. 22. τὸ δὲ δίκαιον ἔχοντες σύμμαχον. ibid. 33. ὑπὲρ τῶν ἀσθενεστέρων μετὰ τοῦ δικαίου διαμάχεσθαι. p. 192. 12. περὶ τοῦ δικαίου διαμάχεσθαι. p. 196. 17. καὶ περὶ τοῦ δικαίου μαχόμενοι. Sluiter.

Δεινὸν γὰρ ἂν εἴη κ. τ. λ.] V. Aristot. Rhetor. II. 24. Taylor.

Οὐκοῦν αἰσχρὸν κ. τ. λ.] Alii sine interrogatione legunt, atque interpretantur: *turpe igitur foret* etc. Huds. Idem.

LYSIÆ ORATIONUM

FINIS.

ΛΥΣΙΟΥ ΑΠΟΣΠΑΣΜΑΤΑ.

Α.

Pag. ed. Reisk. 3

ΚΑΤ᾽ ΑΙΣΧΙΝΟΥ ΠΕΡΙ ΤΗΣ ΔΗΜΕΥΣΕΩΣ ΤΩΝ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΧΡΗΜΑΤΩΝ.[1]

